† ἀνόζεστα· τὰ μὴ ἐζεσμένα ⟨ἀπόζεστα ?⟩ [91]
ἀνοηταίνει (Attici)· μωραίνει
ἀνόητος· μωρός, ἠλίθιος, ἀσύνετος, ἄφρων
ἀνόθευτος· γνήσιος
† ἀνόθηρον· νωθρόν [96]
† ἀνοικτές (Eur. Tro. 782)· ἀταλαιπώρητον ⟨ος — ος⟩
ἀνοίκτως (Eur. Tro. 751)· ἀνηλεῶς. ἀταλαιπωρήτως
ἀνοιμώζοντα· ἀναστενάζοντα
ἀνοιμῶξαι· στενάξαι. ὀλολύξαι [5301]
ἀνοῖτο (Σ 473)· ἀνύοιτο. τελειοῖτο ⟨v. ἄνεται⟩
ἀνόκαιον (Xen. Anab. V 4, 16)· ὑπερῷον. γράφεται καὶ ἀνώγεων [4]
ἀνοκωχή (Thuc. I 66 al.)· ἀναχώρησις, ἀνοχή [6. 7]
ἀνόλβους· ἀπόρους. ἀνοήτους. κακοδαίμονας

COD. 50 Rectius ἀνικμ| cf. ἀπικμῶντο et ἀφικλῶντο 51 ἰκμάμα 52 συντρέφεσθαι ⟨v. ἀνείλεσθαι⟩ ⟨65 πετόμενος Cyr. 63. 171⟩ Post 67 ἀνίργου· ⟨marg. ἀνίγρου a pr. m.⟩ χαλεποῦ λυπηροῦ 75 ποιεῖν; cf. Bekk. lex. 80, 9 ⟨77 ἀνίψαλλον EM. Cyr.⟩ 81 ἀννεμεῖν 84 ἀβαρῶς 88 πιανετίωνος — θεσμοφορίαν 5303 ἀνόκεον 4 ἀνοικῆ· τὸν EM 110, 55 9 Cf. 5646

HES. 40 ἀνιερῶσαι· ἀναπαιωνίσαι ⟨v. ἀμπαιανίσαι⟩ 41 ἀνίθ᾽ ω (Θ 377)· ἀνὰ τὸ ὀρθόν 42 ἀνίεσθαι· τὸ ἀπολύεσθαι. συγχωρεῖσθαι. κουφίζεσθαι 44 ἀνιηθέντα (Β 291)· λυπηθέντα Ad 46 ἀναπαύει] ἐνδιδεῖ 49 ἀνήκεστον· ἀνίατον 59 ἀνιμᾶσθαι· ἀντλεῖν (Moer. Att.; cf. ἀπαλλᾶσθαι) 60 ἀνιμέναι· ἐκλελυμέναι ⟨ἀνει.⟩ 61 ἀνίξειαν (Δ 114)· ὁρμήσειαν 62 ἀνιόντα (Ζ 480)· ὑποστρέφοντα 64 ἀνιπταμένη· ἠνεῳγμένη ⟨ἀναπεπταμένη⟩ 65 ανιπτάμενος· ἀναπετασθείς ⟨ἀναπτάμενος⟩ 66 ἀνίπτοισιν (Ζ 266)· ἀνίπτοις 68 ἀνίσει· ἀναφέρει ⟨ἀνοίσει⟩ 70 ἀνιστάμενος (Α 58)· ἀναστάς 71 ἀνίστη (Ω 515)· ἤγειρεν, οἱονεὶ (Eur. Ion. 1129) ἀναστάς 76 ἀνιχνεύων (Χ 192)· ἀναζητῶν τὰ ἴχνη 79 ἀνίωγμον (Θ 89)· κατὰ τὴν δίωξιν, ἢ τὴν ταραχήν 87 ἀνόχμους (Σ 546)· κατὰ τὰς ἐπὶ στίχον φυτείας. τὴν σχιζομένην αὔλακα 91 ἀνοήμων (Β 278)· ἄνους, ἄφρων Ad 93 ἄνοντος] ἢ ανύοντος, ἢ δρῶντος 96 ἀνείας (Eur. Hec. 640)· μωρίας 5301 ἀνοίσω (Iob. VII 13)· ἀναφέρω. ἀνα(βι)βάσω 4 † ἀνοκηδεολόγον (schol. Il. Α 97)· τὸν παρὰ τὸ εἰκὸς † εἰρημένον 6 ἀνόλεθρον (Plat. Phaed. 88 B)· ἀθάνατον. ἀκίνδυνον. Ὄλεθρος γὰρ ὁ θάνατος καὶ ὁ κίνδυνος 7 ἀνάλκητον· ὑφ' οὗ τι ἀνέλκητον

(ἀνολόφυκτον· ἀδάκρυτον) [10—13]
ἀνομένῳ· † ἀρνουμένῳ
ἀνομολογίαι· αἱ διὰ λόγων συγκαταθέσεις [16]
ἄνομον· τὸ μὴ ὑποκείμενον νόμῳ. παράνομον. πρὸ τοῦ νόμου
ἄνομος γνώμη· ἡ ἔξω μᾶλλον νόμου
ἀνονδόκως· ἄνωθεν
ἀνό(ν)ητον (Eur. Or. 1520. fr. 390)· ἀνωφελῆ, ἀκερδόν
(ἄνοντος Ar. Vesp. 369)· ἡ ἀνύοντος. ἡ δρῶντος ⟨v. ἄντος⟩
ἀνοπαῖα (α 320)· ὀρνέου ὄνομα καὶ εἶδος. ἡ ἀνὰ τὴν ὀπὴν τῆς θύρας, ἡ ἀνὰ τὴν θυρίδα. ἡ ἄφωνος [23]
ἀνορ· νοῦς, ὑπὸ Σκυθῶν
ἀνοργάζειν· ἀνακινεῖν.
ἀνοργίας· ἀμυησίας
ἀνόρεος πόλεμος· ἀνδρεῖος. ὁ πρὸς τοὺς ἄνδρας. Σοφοκλῆς Ναυπλίῳ (fr. 400) [28]
ἀνόρουσεν (Ι 193)· ἀνώρμησεν
ἀνορταλίζειν (Ar. Eqq. 1344)· (ἀν)άλλεσθαι, ἐντεῦθεν καὶ οἱ νεοττοὶ ὀρτάλιχοι. καὶ τὸ τὰ παιδία ταῖς χερσὶν ἀναπάλλειν
† ἀνοσάμικτον· ὀλιγόρ(ρ)υτον ὕδωρ
ἀνόσια· βέβηλα, ἄδικα, ἄνομα [33]
ἀνοσιουργηθέντων· ἀνοσίως ἐργασθέντων
ἀνόστεος (Hesiod. opp. 522 = 524)· ὁ θαλάσσιος πολύπους. σκώληξ
ἄνοστοι (ω 528? EM. 112, 5)· μὴ ἐπιστρέφοντες, ὅθεν ἦλθον
ἀνοσχήν· ἄνανδρος
ἀνοτότυκτον· ἀθρήνητον
† ἀνούλεγοι· ἀνώλεθροι
ἄνουροι· ἄβρεκτοι. ὑψηλοί
† ἄνου· ἄνω. Ἴωνες
ἄνους· ἀσύνετος [43]
(ἀν' οὖς ἔχων· ἄνω τὸ οὖς ἔχων.) Αἰσχύλος Λυκούργῳ (fr. 122) [45]
(ἀνοχή· ἀνατολή)
ἀνοχ.'.ου· ἀνατολικοῦ
ἀνοχλίζων· ἀναμοχλεύων
ἀνοψίην· τὸ μὴ βλέπειν [50]
ἄνσατον· ἄψασθαι. συνάψαι. Κρῆτες ⟨v. ἐνσευδηάψαι⟩
ἀνσατήρ· βουβών. Λάκωνες
ἀνσερίσασθαι· τὸ μόνον πρὸς τὸ πῦρ στῆναι. Λάκωνες [54—57]
Ἀνταγορίδας· γένος Ἀθήνησιν
ἀντάδει· ἐναντιοῦται [60]
ἀνταίας· πολεμίας. ἐχθρᾶς. Σοφοκλῆς Πολυείδῳ (fr. 219)
ἀνταίαν· ἔκτοπον, χαλεπήν. Σοφοκλῆς τισίῳ (fr. 63)
ἀνταία· ἐναντία ⟨ἡ ἀντία⟩. ἱκέσιος. Αἰσχύλος Σεμέλῃ (fr. 367). σημαίνει δὲ καὶ δαίμονα. καὶ τὴν Ἑκάτην δὲ Ἀνταίαν λέγουσιν, ἀπὸ τοῦ ἐπιπέμπειν αὐτά
ἀνταίρουσιν· ἀντιλέγουσι. Σοφοκλῆς Θυέστῃ (fr. 244)
† ἀντακάς· σήμερον
ἀντακαῖοι (Herod. IV 53)· ἰχθῦς κητώδεις
† ἀντακές· σημεῖον [68]
† ἀνταλλαγήν ⟨—γῆν⟩· ἀναπαύσασθαι. Κρῆτες
† ἀνταλλές· ταύτης τῆς ἡμέρας [71]
ἀνταμιλλᾶσθαι· ἀντερίζειν
ἀντᾶν· ἀντιάζειν, ἱκετεύειν
ἀνταναγνῶναι (Cratin. XLIV p. 190)· ἀντιβάλλειν βιβλίον [75—77]

COD. 13 ἀν' ὅμιλον Cyr. 171 21 δρῶντος ⟨v. 5293⟩ 25 ἀνακινεῖν, ἀνάλλεσθαι καὶ τὸ τὰ π. τ. χ. ἀναβάλλειν. ἀνοργίας· 30 ἄλλεσθαι .... ὀρτάλιχοι. ἀνοσάμι-
γ
κτον· Post 36 ordo erat hic ἄνου· ἄνω .... Λυκούρ. ἀνοσχήν .... ὑψηλοί. ἀνοχή· 38 ἀνότευκτον (nolui ἀνόχευτον· ἀθάρνευτον) 44 schol. Soph. OC. 674 49 ἀνοψοφίην 58 Ἀθηνήϊσιν 59 ἀντάδεται 64 ἀντεροῦσιν 66 ἀντακεοί

HES. 10 ἀνομβρεῖ· ἀναβάλλει (LXX) 11 ἄνομεν (Greg. Naz. Arc. V 70 p. 203, Dr.)· πορευθῶμεν 12 ἀνώμαλον· τραχεῖαν 13 ἀνώμαλον (Γ 449)· κατὰ τὸ πλῆθος: ἡ ἔκφυλον ⟨ad ἀνώμαλον⟩ 16 ἀνόθως (Philo Iud. II p. 461, 7)· γνησίως 23 ἀνόπιν (recens)· εἰς τοὐπίσω 28 ἀνορούσαι· ὁρμῆσαι. † κατάγουσαι 33 ἀνόσ(τ)ιμος (δ 182)· (ἀ)νοστῆσαι οὐκ ἦν 43 ἀνούτατος (Δ 540)· ἄτρωτος ἐκ χειρός 45 ἀνοχή· μακροθυμία, παρὰ τὸ ἀνέχειν, καὶ ἀνέχεσθαι. ⟨v. post ἀνέξεται⟩ ἡ χάριτι (Rom. III 26) 50 ἀνστάντες δέ (Β 398)· ἀναστάντες δέ 54 ἀνστήτην (Λ 305)· ἀνέστησαν, δυϊκῶς 55 ἄνστησον (Κ 176)· ἀνάστησον 56 ἄντα· ἐξεναντίας (Ν 404), κατὰ πρόσωπον 57 ἀνταγονῆς, τίς· ἀντίπαλος 60 ἄνται (ι 139)· ἄνεμοι 68 ἀντάλλαγμα· ἀντόμοιον ⟨Eur. Or. 1157 et gl. sacr.⟩ 71 ἀντάμειψιν (Psalm. CXVIII 11)· ἀνταπόδοσιν 75 ἀνταναιρεθῇ (Psalm. LXXII 7)· ἀφανισθῇ 76 ἀνταναίρεται (Psalm. X 5)· ἀφαιρεῖται 77 ἀντανακλωμένη (Sapient. XVII 19)· κατ' ἀνάκλησιν ⟨sic⟩ διὰ ⟨al. ἀπό⟩ τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ἣν καλοῦσιν ἠχώ. καὶ ἐπὶ φωτός. ἡ ἀντιπίπτουσιν ⟨sic⟩

ἀντανελέσθαι· ἀντιλαβεῖν χεῖρονα
ἀντανελών· ἐκκοπών ⟨ὄπτων?⟩ ἀφελών [80]
ἄνταξ· ἐν μέρει ⟨v. ὑπαντάξ⟩
ἀντάξιον· ἴσον κατὰ τὴν ἀξίαν [83]
ἄνταρ· ἀετὸς ὑπὸ Τυρρηνῶν. Εὐφορίων δὲ δίασμα [85. 86]
ἀντᾶσθαι· συναντᾶν
ἀντεγράψατο (Demosth. 1044, 5)· ἀντεδικάσατο [89. 90]
†ἀντετοῦς· τοῦ αὐτοῦ ἔτους. Λάκωνες ⟨σατανείους⟩
†ἀντεῖν· ὁ ἐναντίος τῇ ἀγωγῇ
ἀντείχοντο· κατέσχον [94]
ἀντεκκομιεῖ· [ἀντευξεῖ] ἀντεκ(κ)ομίσει [ἀντεκφέρει]
ἀντέκτισις· ἀνταπόδοσις
ἀντεμβριάζειν· ἀντεξετάζειν
ἀντεμμάσασθαι· ἀνταποδοῦναι. ἐπιπλῆξαι. Εὐριπίδης πολλίασιν (fr. 614)
ἀντεμφανίζων· ἀντιδεικνύς
ἀντεξάγοντες· ἀντεκφέροντες
ἀντεξάγω· ἀντεκφέρω. † ἀντιστήκω ⟨σηκῶ ad ἀντεξισάζω?⟩
ἀντεξετάζω· ἀντερωτῶ
ἀντεπήει· ἀντεπήρχετο
ἀντέπιπτεν· ἐναντιοῦτο
ἀντεποισόμεθα· ἀντεπενέγκω...
ἀντεραστής (Ar. Eqq. 733)· ὁ ἀντερῶν
ἀντερίσεις· ἀττείπης. ἀντιζηλώσεις
ἀντέσχεν· ὑπέμεινεν
ἄντεσθαι· ποτὲ μὲν λιτανεύειν· ποτὲ δὲ ἐξεναντίας παραγίνεσθαι (O 698), ἢ παραγίνεσθαι πρὸς λιτανείαν
ἀντέσο· ἀντί(α)σον, ἄντικρυς ἐλθέ ⟨ἄντεσο?⟩
†ἀντεταιῶς· ἀναγεγραμμένως [5412]
ἀντέχεται· ἀντιλαμβάνεται. φροντίζει. περιποιεῖται [14]
ἀντήλιοι· θεοὶ οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι. Εὐριπίδης Μελεάγρῳ (fr. 542)
ἀντήλιος· ὁ ἴσος καὶ ὅμοιος ἡλίῳ φαινόμενος. καταχρηστικῶς δὲ ὁ ἀντικρὺ ἡλίου ἱδρυμένος βωμός ἢ θεός (Eur. Ion. 1550) [17]
ἀντήρεις· ἀντιθέτους .... Σοφοκλῆς Ἠλέκτρᾳ (88) ...... ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐλαύνωσι, καὶ μὴ ἐπὶ θάτερα περιωθῆται ἡ ναῦς
ἀντηρέται· ἴσον, ἐπὶ τῶν ἐξίσου ἐρεσσόντων, ἤγουν κωπηλατούντων
ἀντήρη (Eur. Tro. 221)· ἀντωπίαν, ἀντίον, τό(ν) ἐξεναντίας ἀντιπαρατατόμενον (Eur. Phoen. 754)
ἀντηρίδες (Thuc. VII 36, 2)· τὰ ἀντερείδοντα ξύλα, ἢ λίθινα κατασκευάσματα
ἀντήριος· στήμων. καὶ κανὼν ὁ προσκείμενος τῇ θύρᾳ, ὃν ἔνιοι καλυπτῆρά φασι [23. 24]
ἀντῆσαι (Soph. OC. 1445)· τυχεῖν. ἀντιάσαι
ἀντησει· λιτανείαις. ἀντήσεσιν
ἀντήσεις· ἱκεσίαι, λιτανεῖαι, ἱκετεῖαι
.ντι., πρόθεσις
ἀντιάαν (N 215)· μεταλαβεῖν
ἀντιάζει· ἀπαντᾷ, συναπαντᾷ
ἀντιάζων (Soph. OT. 192)· ἀπαντῶν
ἀντιάσας· μεταλαβών. ἢ συντυχήσας. ἢ ἵλεως γενόμενος (A 67)
ἀντιάσειεν (μ 88)· ἐπιτύχοι [34. 35]
ἀντιάνειραι (Γ 189)· Ἀρίσταρχος ἰσάνδροι· τὸ δὲ ἐπίθετον τῶν Ἀμαζόνων. ἤτοι διότι ἀνδράσιν ἠναντιοῦντο, οὐ θέλουσαι αὐτοῖς συνευνασθῆναι
ἀντιβαίνων· ἀνθιστάμενος
ἀντιβάλανος· ἡ κικκίς
ἀντιβάλλει· ἀντιστρέφει. ἢ διαβάλλει. ἢ διορθοῖ. ἢ ἐπιστρέφει [40]
ἀντιβαρνικί· ἡ κασσία [42]

COD. 84 τυρινῶν 96 ἀντέκτασις· ἀντ. καὶ ἀντέκτισις 98 v. schol. Nic. Th. 809 5401 ἀντεισφ| 3 ἀντέπνει· ἀνταπ| 5 ἀντεπονησόμεθα 7 ἀντερήσεις 13 παραποιεῖται 16 ἴσος ubique 20 ἀντίον· ἀντωπίαν. ἀντήρη· τό 21 ἀντήριδες 32 μεταβάλλων 33 ἐπιτύχοιεν ἢ ἐπιτύχοι 34 μεταβάλλητον

HES. 80 ἀνταντάν· ἐπίβουλον. ἀντίδικον ⟨ἀνταίαν⟩ 83 ἀντάποτος· συνδεδεμένος ⟨ἀντυγωτός⟩ 85 ἀντάρτης (recens)· τύραννος, ἀντιβαίνων βασιλεῖ 86 ἀντάς· (Ξ 254)· πνοάς 89 ἀντατισκόμενος (ω 181)· ἐξεναντίας τιτρωσκόμενος 90 ἀντεβόλησα· ἀπήντησα 94 ἀντεδύσατο (A 496)· ἀνέδυ. ἀνέβη 5412 ἀντεφέροντο (E 701)· ἐναντιοῦντο, ἀντέπραττον 14 ἀντετόρησε (E 337)· διεπερόνησε, διέτρησε. διέπρησεν 17 ἄντην· ἐξεναντίας (A 187), ἐναντίον. φανερῶς 23 ἀντήδης· ἱκετευτικῶς ⟨ηδίς Theognost. 163, 26⟩ 24 ἀντῆ· δῶρον ἱκέσιον Ad 28: ἢ ἀντίον γυναικείου ἱστοῦ ⟨II Regg. XXI 19⟩ 34 ἀντιάσητον (M 356)· μεταλάβητον 35 ἀντιάουσαν (A 31)· ὑποστρωννύουσαν 40 ἀντιβάλμους (Eur. IT. 179)· ἀντιστρόφους ⟨cf. 5572⟩ 42 ἀντίαιον (Γ 20)· ἐναντίον ἀλλήλων

ἀντίβιος· ἐξ ἐναντίας

ἀντίβοιον· ἰσόβοιον. ἀντὶ βοὸς καθαγιαζόμενον. Σοφοκλῆς Μελεάγρῳ (fr. 368) [45]

ἀντιβολεῖν· συναντᾶν. καὶ ἱκετεύειν

ἀντιβολήρ· στρωτὴρ μικρός. Λάκωνες

ἀντιβολῆσαι (Δ 342)· μεταλαβεῖν. συναντῆσαι

ἀντιβολῶ· παρακαλῶ

Ἀντιγόν(ε)ιον· βοτάνη, καὶ ἄνθος

Ἀντιγόν(ε)ιος· βόλος τις οὕτως ἐκαλεῖτο

ἀντίγονον· ἀκακία (v. αἰθιοπικόν)

ἀντιγράφεσθαι (Isae. p. 61, 27)· Ἀττικοὶ τὸ ἀντιποιεῖσθαι κλήρου, ἢ ἀντικατηγορεῖν

ἀντιγραφή (Plat. Apol. p. 27 C)· [τῷ] ἐν ἴσῳ τῇ ἀντωμοσίᾳ. σημαίνει δὲ καὶ τὸ ἀντιποιεῖσθαι

ἀντιδιαπλέκειν (Aeschin. p. 57, 41)· ἀντιμηχανᾶσθαι

ἀντιδιαιρεῖται· ἀντιμερίζεται

ἀντιδιαστέλλεται· ἀντιβάλλει, ἀντιδιίστησιν

ἀντιδικεῖν· ἐν δίκῃ ἀντιβαίνειν

ἀντίδικος (Aesch. Ag. 41)· ἀντίπαλος, ἐχθρός. ἐναντίος

ἀντίδοξος· ἐναντίος κατὰ τὴν δόξαν

ἀντίδοσις· ἡ μετάληψις

ἀντιζήλου· (.......

........)· στρογγύλον, στραγγαλιώδη ἐν κύκλῳ

ἀντίζυγα· ἰσόζυγα

ἀντίθεον (Α 264)· ἰσόθεον

ἀντίθεσις· ἀντιλογία. ἐρώτησις [67. 68]

ἀντικαθεστώσας· ἀντικειμένας

ἀντίκαινον· ἰσόκαινον

ἀντικάρδιον· τόπος ὁ μετὰ τὴν κλεῖδα (e Rufo p. 28 Cl.) [72]

† ἀντικαταλαβεῖν· τὸ ἀντιλαχεῖν δίκην

ἀντίκειται· ἐναντίος κεῖται [75]

ἀντικρύ· κατέναντι, ἐξ ἐναντίας (Γ 359)

ἄντικρυς· φανερῶς. [ἀπέναντι. ἀντικρὺς]

ἀντικυρικόν· ὁ ἐλ(λ)έβορος

ἀντικύων· ἀλώπηξ

ἀντιλαβαί· (δια)λογικαὶ ῥήσεις ἐξ ἡμιστιχίων λεγόμεναι κατὰ μικρὸν παρὰ τραγικοῖς. † Ἱπποκράτης (ad ἀντίληψις)

ἀντιλαβεύς· ὁ πόρπαξ τῆς τοῦ ὁπλίτου ἀσπίδος (v. γόλαια et ἀντοχεύς)

(ἀ)ντιλάζυσθαι (Eur. Or. 753)· ἀντιλαβέσθαι

ἀντιλαμβάνεται· βοηθεῖ. ἢ κωλύει

† ἀντιλαοί· τῶν ἄρτων κλάσματα [85]

ἀντιλαχεῖν (Dem. 543, 14)· τὸ δίκη(ν) ἐπὶ διαιτητοῦ λαχόντα ἐρήμην ὀφλεῖν, καὶ πάλιν περὶ τὰ αὐτὰ δικάζεσθαι [87]

ἀντιλογικός (Ar. Nubb. 1173 alii)· ἀντιλογητικός [89]

ἀντίμηνα· κατὰ μῆνα

ἀντιμισθωτός· ὁ ἀντ' αὐτοῦ ὑπηρετῶν [92—94]

ἀντίξοοι· ἐναντίοι, ἀντίπαλοι [96]

ἀντιόφρων· ἐναντίον φρονῶν

ἀντίπαις (Soph. fr. 530)· νέος παῖς

ἀντίπαλον· ἐναντίον, ἐχθρόν. Θουκυδίδης (II 61) [5504]

ἀντιπαρεξάγει· ἀντιτάσσει

† ἀντίπερα (ἀπέραν?)· τὸ ἐν τῷ πέρᾳ, ἢ ἀντικρύ, πέρα τῆς θαλάσσης, ἢ ἐναντίον

ἀντιπελαργεῖν· ἀντι[σ]τρέφειν [8]

ἀντιπεφυκότων· ἐναντίως πεφυκότων [10]

ἀντίπηγα· κίστην. Εὐριπίδης Ἴωνι (1338). [12]

ἀντιπιφάσκει· ἀνταποδίδωσιν (λόγον)

COD. 48 ἀντηβολῆσαι· μεταβάλλειν 53 κλῆρον. Praeterea bis scripta sunt ἀντιποιεῖσθαι κλ. ἢ ἀκτικατηγορεῖν. 54 καὶ τὸ ἐν ἴσῳ τὸ ἀντ. 55 ἀντία, πλέκειν 58 ἀντιδίκειν — ἀντιμένειν 62. 3 ἀντιζήλου — στραγγαλώδη 71 ἀντικαραών — κλειΐδα 76 ἄντικρυ 78 ἀντικύρικον, ut Rufus p. 28 Matth. 80 ἐξιμιστίχων 82 .ντιλαζῦσθαι 83 sc. ἱκέτου Bachm. AG. II 90, 34 86 ἐπιδιαίτητον 90 ἀντὶ, μῆνα 5506 τῶ ἐν τῷ 7 ἀντιπεραλαχεῖν 11 Ἴωνι ἤγουν ἀγγεῖον

HES. 45 ἀντιβοιῖον (Η 40. 51)· ἐξεναντίας πολεμοῦντες 67 ἀντίθετα (Iob. XXXII 3)· ἐναντία .... 68 ἀντιθόντων (Ψ 643)· ὑπαντώντων 72 ἀντικασιγνήτου (θ 546)· ἴσος τῷ ἀδελφῷ 75 ἀντικένσωρ· ὁ τοὺς νόμους μεμαθηκώς 85 ἀντίκρυδ. ἀπόφημι (Η 262)· φανερῶς λέξω 87 ἀντιλήπτωρ (Ps. III 3)· ἀντιλαμβανόμενος. ὑπερασπιστής. βοηθός 89 ἀντίλυτρον (I Tim. II 6)· ἀντίδοτον 92 ἀντίνη· ἄντινι ἐτέχμεθα. ἐναντιώμεθα (ἀντιηνέγμεθα) 93 ἀντινυπολλῶν (Ι 116)· ἴσος πολλῇ 94 ἀντίζωοι· ἀντίπαλοι 96 ἀντίον (Α 230)· ἐξ ἐναντίας 99 ἀντιοώντων (Ψ 643)· ὑπαντώντων. ἢ μεταλαμβανόντων 5500 ἀντιόωσα (Homer. ter)· ἀπαντῶσα, παραγινομένη. εὐτρεπίζουσα 1 ἀντιοχεῖ· ἐναντιοῦται (ἀντίσχει? ἀντιξοεῖ?) 4 ἀντιπαράθεσις· .... 8 ἀντιπεφᾶσθαι (Ξ 471)· τεθνᾶναι. ἀναιρεῖσθαι 10 ἀντίπηξ· κιβωτός (nomin. fictus) 12 ἀντιπέραια (Β 635)· τὰ ἐν τῇ πέρᾳ, καὶ τῷ πέραν

ἀντίπλαστον· Σοφοκλῆς Ἰνάχῳ (fr. 264)·
πατὴρ δὲ ποταμὸς Ἴναχος
τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων
ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον

ἀντιπολέμους (Herod. IV 140)· πολεμίους

ἀντιπράττε[τα]ι· ἀντιμάχεται. ἐναντιοῦται

ἀντίπροικα (Xen. Ages. I 18)· τὰ ἐπευωνισμένα καὶ ἰσόπροικα

† ἀντιπροῖσχεν· ἀντιδοῦναι

ἀντιπροκλήσεις· ἀντιλογίαι. ἀντεγκλήματα

ἀντίπρῳρα· ἀντιπρόσωπα — πρῷρα γὰρ τὸ πρόσωπον. καὶ ἀνδρόπρῳρον· ἀνδροπρόσωπον — Σοφοκλῆς Τραχινίαις (224)

ἀντίπυργος (cf. Eur. Bacch. 1097)· ἰσόπυργος. ἴσον κατὰ τὸ ὕψος τοῦ † μήκους τὸ ἀνάστημα ἔχων [22]

ἀντίρ(ρ)ινον (Theophr. IX 19, 2)· ἀντίρ(ρ)ιζον. οἱ δὲ βοτάνης εἶδος (Hippocr.)

ἀντίρροπον (Soph. El. 120)· ἴσον, ἰσόσταθμον, ἰσόζυγον

† ἀντίρρωται· ἀντὶ τοῦ ἀποπέμπεται

ἀντίσπαστον· φιλήματος ὄνομα [27—29]

ἀντιστάτης· ὁ ἀνθεστηκὼς (ἐν) τῇ μάχῃ· καὶ σημεῖον ἐν θυτικῇ [31]

ἀντιστρέφω· ἀνταξιῶ. Σοφοκλῆς Τυμπανισταῖς (fr. 579)

ἀντιστήσεται· ἀνταλλάξεται

ἀντιστοιχεῖ(ν)· κατὰ στοῖχον ἱστάναι

† ἀντίστομος· ἡ ἐξ ἐξ ἑκατέρου μέρους τάξις ⟨l. ἀμφίστομος⟩

ἀντίστροφος (Aristot. Pol. IV 5)· ἴση, ὁμοία

ἀντ' ἰσχάδος· τὸ μηδενὸς ἄξιον [38]

ἀντιτάλαντον· ἀντίσταθμον. ἴσον [40. 41]

ἀντιτείνει (Eur. Herc. f. 283)· ἐρίζει

† ἀντίτι(μ)α· τὰ ἄποινα. τὰ ἀντέκτιτα

ἀντιτιμᾶσθαι· ἐν τοῖς δικαστηρίοις τὸν ἁλόντα ὃ χρὴ παθεῖν ἢ ἀποτῖσαι

ἀντιτίμημα· ἡ ἀντιτίμησις

ἀντιτίσασθαι (Eur. Med. 261)· ἀνταποδοῦναι [47]

ἀντίτομον· φάρμακον ἀντιπαθές, ὅπερ ὁ πιὼν οὐ βλάπτεται ὑπό τινος. ἀλεξιφάρμακον

ἀντιτορήσας (K 267)· διορύξας, κατακόψας

ἀντίτυπα ....

ἀντιτυπῆσαι· ἐναντιωθῆναι. ἀντειπεῖν

ἀντιτυπίαι· ἀντιλογίαι. ἐναντιώσεις

ἀντιτύποις· σκληροῖς

ἀντιφάρα (Syracusani)· ἀντιλογία. μάχη. ξήλη ⟨ζάλη⟩. οἱ δὲ μητρυιά [55]

ἀντιφαρές· ἐναντίον [57]

ἀντιφέρεται· ἐναντιοῦται [59. 60]

ἀντιφερίζειν (Φ 357)· ἐξισοῦσθαι. ἀντιστῆναι

ἀντιφέροιντο· ἐξισοῖντο

ἀντιφιλοτιμούμενοι· πρὸς τὴν οἰκείαν ἕκαστος ὁρῶντες φιλοτιμίαν καὶ δόξαν

ἀντιφολκός· μέρος τῆς πολεμικῆς νεώς ⟨ἀντεφολκός⟩

ἀντίφρουροι· τὴν ἴσην ἔχοντες φρουράν

ἀντίφωνα· ἐναντιόφωνα

ἀντίχειρε· ἔνια τῶν βαρβάρων ἐθνῶν τοὺς ἀντίχειρας ὑποτιθέντα τοῖς γενείοις, καὶ τοὺς δακτύλους ἐκτείνοντα προσκυνεῖ τοὺς ἡγουμένους αὐτῶν

ἀντιχέλυσμα· μέρος τι τῆς μακρᾶς νεώς ⟨v. χέλυσμα⟩

ἀντίχορδα· σύγχορδα. ἰσόχορδα

ἀντιχόρτοις· συνόροις

ἀντίψυχοι· οὕτως καλοῦνται οἱ Μέμνονες ὄρνιθες

ἀντιψάλμους· ἀντιστρόφους. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Ταύροις (179)

† ἀντλεῖται· ἐλαύνεται ⟨ἑλκύεται?⟩

ἀντλητήρ· κάδος ναυτικός

COD. 14 ἔχει νόμον 17 ἐπώνυμα ⟨Poll. VII 10⟩ 30 ὁ ἐνθέατης — ἐνθυτικῇ 34 στοιχεῖον 35 τάσις 37 ἀντίσχαδος — ἔξεστι ⟨fortasse illata ex App. prov. I 32⟩ 43 ἀνέκτιστα 44 ὃ χ. π. ἐ. τ. δ. ἢ ἀποτίσαι τ. ἁλόντα 48 ποιῶν 49 ἀντιτορεῖν εἴσας· δ. κ. ἀντιτορήσας 54 ἀντιφθάρα ⟨v. αὐτοφαρίζειν⟩ 68 ἀντιχάλημα 71 καλοῦντες 72 cf. 5440

HES. 22 ἀντίρρησις (Greg. Cor. VII 1206, 12 Wlz.)· ἔστι λόγος τὸ πιθανὸν ἑτέρου λόγου διαβάλλων 27 ἀντίσειεν (H 158)· ἀπαντίσειεν 28 ἀντίσεις· λιτανείαις ⟨v. ἀντήσεις⟩ 29 ἀντισκνεῖται· ἀναβάλλεται 31 ἀντιστρατευόμενον (Rom. VII 23)· ἀνθιστάμενον 38 ἀντι..τα (Ω 213)· ἀνέκτιστα. ἀντιτιμώρητα 40 ἀντιτάσσεται (epist. Iacob. IV 6)· ἀντίκειται 41 ἀντιτεχνήσει ⟨άσει?⟩· ἀντικατασκευάσει 47 ἀντιποιειμικέτα (Φ 75)· ἴσος ἱκέτης σοι εἰμί 55 ἀντίφασις· ἀπόκρισις ⟨e Polluce⟩ 57 Ἀντιφάτης (ο 243)· ὁ τῶν Λαιστρυγόνων βασιλεὺς οὕτως ἐκαλεῖτο 59 ἀντιφέρεσθαι· ἐριστικῶς ἢ ἀντιλέγειν ἢ ἀντιτάσσεσθαι ἢ ἐναντιοῦσθαι (Φ 482) 60 ἀντέκτιστα· οἷα εἰργάσαντο εἰς ἡμᾶς ⟨ad ἄντιτα⟩

ἀντλία· σκάφη, ἐν ᾗ μάσσουσι. καὶ τοῦ πλοίου τὸ σκαφίδιον.
ἀντλίαν· τὸν καδίσκον
ἄντλον· κάδον. ἀντλητήριον. τινὲς δὲ καὶ τὴν θάλασσαν (ο 479 Eur. Hec. 1025). καὶ τὸν σωρὸν τῶν δραγμάτων (Nic. Ther. 114). καὶ ἡ ἀντλία (μ 411)
ἀντοίσομεν· ἀντιδώσομεν
ἀντολίη· ἀνατολή [80]
ἄντομαι (Tragici)· ὑπαντῶ, ἱκετεύω: ἢ αἱ καλάμαι ὑπὸ Ταραντίνων ⟨ad ἀντομαί⟩ [82. 83]
ἀντόμους· σκόλοπας. Σικελοί (C. I. III p. 706 A) [85]
ἀντοναί· αἱ τῶν χειρῶν φοραί
† ἄντος· εὖρος. οἱ δὲ Εὐριπίδης ⟨v. schol. Ar. Vesp. 369⟩
ἀντοχεύς· πόρπαξ ἀσπίδος ⟨v. ἀντιλαβεύς⟩
ἀντύφρυς· βοτάνης εἶδος
ἀ(ν)τρέσας· ἀναφοβηθείς [91]
(ἄντρα νύχια (Eur. Andr. 1224)·) σκοτεινὰ σπήλαια [93]
† ἀντρώδων· ἀνανεάζων. ἢ σπηλαίων [95]
Ἀντρώνιος ὄνος (Pherecr. fr. XII p. 261)
† ἄντυ, ἄντινα (δ 544?). [Ῥόδιοι
ἀντύα· τὸ ὑποπόδιον [99]
ἀντύγων χνόαι (Eur. Rhes. 118)· αἱ περιφέρειαι τοῦ ἅρματος, οἱ τροχοί
ἀντυγωτός· ἀναδεδεμένος, ὅτι αἱ ἄντυγες καταδέονται ⟨v. ἀντάποτος⟩
ἀντυκάρτερα· ἀντίσχυρα. Λάκωνες
ἄντυξ (Ζ 118)· ἅρματος περιφέρεια [5604]
ἀντωμοσία· ἑκατέρου μέρους ὅρκος, τοῦ μὲν [δια]φεύγοντος, ὅτι μὴ ἠδίκησεν, τοῦ δὲ ἐγκαλοῦντος, ὅτι ἠδίκηται

ἀντωπεῖ· ἀντοφθαλμεῖ
ἀντωπόν· ἀντόφθαλμον
ἀντωπός· λαμπρός. ἀντίος τοῖς ὄμμασιν
ἀνυδρευόμενος· ἐκ φρέατος ἀντλῶν
ἄνυδρος (Eur. Tro. 1085)· ἄταφος. οὐ λελουμένος, οὐδὲ τῶν νομιζομένων τυχών
ἄνυμφον (Eur. Hec. 616 Hipp. 548)· κακόνυμφον. ἢ τὴν μὴ δυναμένην νυμφευθῆναι [12]
† ἀνύξιον· ἄβρωτον. Εὐκλείδης ⟨ἄνυκτον· ἄτρωτον. Εὔκλος⟩ [14]
ἀνύοντα· ἀναπληροῦντα
ἀνυπαίτιος· ἀναίτιος [17]
ἀνυπέρβλητον· ἀνυπομόνητον (Dem. 23, 10. 1389, 7). προῦχον. ἢ βόλος τις
ἀνύπη(ν)ον· ἀγένειον [20]
ἀνύποδας (Soph. Ai. 837)· ταχύποδας. ἀπὸ τοῦ τοῖς ποσὶν ἀνύειν
ἀνύποιστον (Timaeus Ath. XII 519 F)· ἀφόρητον. ἀνυπομόνητον [23]
ἀνυποστόλως· ἀνυπόπτως
ἀνύπουλος (Philo Iud.?)· ἀνύποπτος [26—29]
ἀνύσεις· τελειώσεις. κατορθώσεις
ἄνυσις· σπεῦσις (Attici). πρᾶξις (Β 347). αὔξησις. ἐπίδοσις
ἄνυσις· περαίωσις. κατόρθωμα. δύναμις πράξεων ἀποτελεστική
ἄνυται· τελειοῦται
ἀνύω· τελειῶ, ἐκτελῶ. ὠφελῶ (Δ 56). † ἀπαιτῶ
ἄνω· ἐπὶ τοῦ ἀνωτέρου τόπου καὶ χρόνου τὸ ἐπίρρημα τάσσεται [36—39]
ἀνωδόρκας· βρίγκος ὁ ἰχθῦς ὑπὸ Θηβαίων
ἀνωϊστί (δ 92)· ἀνυπονοήτως. ἀπροσδοκήτως

COD. 75 ἀντλεία — μαλάσσουσι — σκαφίδιον καὶ ἡ ἀντλεία 81 ἀντόμαι, λ, παντὸ. — κάλαμοι. ἀντῶμαι· — ὑπὸ Ταρ. 92 σπη 96 ὄγκος ⟨97 ἄν του· ἄν τινος Suid.⟩ 10 ἀνύδρονος 30 |ώσεις δύναμις πράξεων ἀποτελεστική. ἄνυσις· 33 EM. 104, 38 34 ἀφελῶ

HES. 80 ἀντολαί (μ 4)· γενέσεις 82 ἀντῶμαι (Β 595)· ὑπαντῶσαι 83 ἀντωμένη· ὑπαντήσασα (Θ 412). ἐντυχοῦσα. ἱκετεύουσα 85 ἀντομῶσαι (Eur. Med. 709 al.)· ῶ ε παρακαλέσαι 91 ἄντρον (ι 216)· σπήλαιον. ἢ ὑπόγαιος τόπος, ἢ βαθύς. [ἢ] 93 ἀντρώδη (II Macc. II 5)· σπηλαιώδη 95 Ἄντρων (Β 697)· πόλις Θεσσαλίας ⟨sic⟩ 99 ἄντυγος (Ε 262)· περιφερείας τοῦ ἅρματος 5604 ἄντυπος· ἴσος, ὅμοιος ⟨ad ἀντωπόν; schol. Oppian. H. V 7⟩. ἢ ἐναντίος ⟨ἀντίτυπος⟩ 12 ἀνῦξαν (Ο 86)· ἀνώρμησαν 14 ἀνυλήεντα (ξ 2)· κατὰ τὸν ὑλώδην 17 ἀνυπείκαστον ⟨imo ἀνύπεικτον⟩ 20 ἀνύπικτον (recens)· ἀναχώριτον 23 ἀνυπόκριτος (Rom. XII 9)· ἄδολος. ἀπροσωπόληπτος 26 ἄνυρις· ἄδικος, ἀσεβής ⟨ΑΛΙΤΡΟC⟩ 27 ἄνυρος· ἄδικος ⟨imo ἀλιτρὸς⟩ 28 ἀνύσας· συνελών ⟨Ar. Plut. 349 ap. Moer. p. 62⟩ 29 ἀνύει· πληροῖ. † ἀπαιτεῖ 36 .φιθεῖ· ἀπειθεῖ 37 ἀνώγει (Β 280)· παρακελεύεται 38 ἄνωγεν (Α 313)· ἐκέλευσεν 39 ἀνώγει (Ι 101)· προστάξει

ἀνώϊστον (Φ 39)· ἀνόητον, ἀπροσδόκητον
ἀνῳκισμένος· ἐν τοῖς ἀνωτάτοις γενηθείς, ἄνω οἰκῶν
ἄνω κοιλία (Hippocr. I p. 528)· παρὰ τοῖς ἰατροῖς λέγεται ἡ τὰ ποτὰ καὶ τὰ σιτία δεχομένη
ἄνωκται· κελεύεται [46]
ἀνώμαλα δάσσειν· ἀνωμάλως μερίζειν
ἀνωμαλία· □ □ □
ἀνωμαλοκράς· ἀνωμάλως κεκραμένη. οἱ δὲ † δεδεμένως
ἄνων· ἀνύων
ἀνώνυμος (Eur. Hipp. 1)· ἄδοξος
ἀνωνύμους· ἀδόξους
ἄνωξις· βούλευσις
ἀνώπιστον· ἀόρατον. † ἀπάρακτον. ἀνεπίστροφον
ἄνω ποταμῶν· παροιμία ἐπὶ τῶν ἐπ' ἐναντία γινομένων. κέχρηνται καὶ Αἰσχύλος (fr. 326) καὶ Εὐριπίδης (Med. 410)
† ἀνωρέας· οὐκ ἀπολυμένους ⟨sic⟩ [57]
† ἀνωστόν· ἐγκλητόν [59—62]
ἄνωχμον· κελευστικόν (προστακτικόν) [64]
ἄξαντε (Z 40)· κατάξαντες [66]
ἄξενοι· οἱ μὴ ἔχοντες τὸν ξενιοῦντα
ἄξενος· ἀνεπίμικτος (πολύξενος)
ἄξεσθαι· ἀγαγέσθαι (φ 316?). ἀφ[α]ίξεσθαι. παραγενέσθαι
η
ἀξέστους· τραχείας. Σοφοκλῆς σιῶν (fr. 299)
ἀξία· τιμή. καθῆκον. ἀξίωμα (Demosth. 1477, 20)
ἀξιαπηγητότατον (Herod. II 99)· ἀξιολογώτατον, ἄξιον ὑφηγήσεως
ἀξιέπαινος· ἐπαινετός
ἀξιεπαινότατος· ἄξιος ἐπαίνου
ἀξιέραστον· ἀγαπᾶσθαι ἄξιον, ἀξιεπιθύμητον, ἐπέραστον
ἀξίνη (Iesai. X 15?)· δίστομος πέλεκυς
ἀξιοῖς· βούλει, προαιρεῖ [78]
ἀξιομανεῖς· δυνατώτεροι
ἀξιόμαχοι (Thuc. V 60)· ἱκανοὶ μάχεσθαι
ἀξιομνημόνευτος· ἄξιος μνημονεύεσθαι
ἄξιον· εὔωνον ⟨schol. Ar. Eqq. 645⟩
ἀξιόπιστος (e. c. Demosth. 10, 4)· ἀξιόχρεως [84—86]
ἀξιούμενος· παρακαλούμενος ⟨Antiatt. 80, 21⟩
ἀξιῶν· παρακαλῶν. ἢ ἄξιον ἡγούμενος [89]
ἄξονα· ξύλον τὸ τοὺς τροχοὺς φέρον
ἄξοον· ἄτμητον
(ἄξοος· ἀδιάγλυφος Callim. fr. CV 2)
ἄξος· ὕλη παρὰ Μακεδόσιν ⟨v. ἄζοξ⟩
ἀξύλιστον· ἄκοπον
ἄξυλον· πολύν, ὅθεν οὐδεὶς ξυλοφορεῖ. ἢ ἱερὸν τόπον
ἀξύλῳ ὕλῃ (Λ 155)· πολυξύλῳ. ἢ ἐξ ἧς οὐδείς πω ἐξυλεύσατο
ἀξύ(μ)βλητον· ὃ μηδενὶ ἀπαντᾶν δυνατόν, ἢ ἀσυνάντητον. Σοφοκλῆς Λημνίαις (fr. 354)
ἄξυνος· ἀκοινώνητος
ἀξυγγενές· ἀλλότριον κατὰ γένος
ἀξυνέτου· ἀσυνέτου, ἀνοήτου, ἄφρονος
ἀξυρές· ἄξυρον. ἄστομον. ἄτομον. ἀμβλύ [5702]
ἄξων· τὸ διὰ τῶν τροχῶν διῆκον ξύλον, περὶ ὃ στρέφονται
ἄοζοι· μάγειροι. ὑπηρέται, θεράποντες. ἀκόλουθοι. Καλλίμαχος (Del. 249)
ἀόζεον· ἐθεράπευον
ἀοζήσω· διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις (fr. 53) [7]
ἀοῖα· δένδρα κοπτόμενα καὶ ἀνατιθέμενα τῇ Ἀφροδίτῃ, ὡς ἱστορεῖ † Νάσσανδρος ⟨Νίκ—?⟩, πρὸς ταῖς εἰσόδοις [9]

COD. 40 βρίκχος ⟨v. βρίγκος, οὐρανοσκόπος⟩ 41 ἀνυπομονήτως 43 γενέσθαι 44 ἀνωκολιά Post 46 legebatur .νωλόφυκτον· ἀδάκρυτον ⟨v. 5309⟩ 47 ἀνωμαλαδάσσειν 49 ἀνωμαλοκρῶς — κεκαρμένη ⟨v. Theophr. CP. VI 17, 11⟩ 65 ἄξαντες· κατεάξαντες 72 ἀξιοπηγητώτατον 74 |νέτατος; |νέστατος Cyr. Voss. 75 ἀξιεπεθύμητον, ἀπέραστον 80 |ομάχοι 88 Cf. Ulpian. Olynth. III p. 29 (42 B) 92 Cf. 5726 96 ἀξυλεύσατο 97 ἀπαντᾷ ἢ 5704 ἀοξοί ⟨Clitarch. Ath. VI 267 C⟩ 5 ἀόξεον 6 ἀοξήσω — ἐλευσινίαις

HES. 46 ἀνώλεως (υ 24)· ἰσχυρός ⟨v. νωλεμές⟩ 57 ἄνωθον· ὀξύν ⟨ἄνω θοόν⟩ 59 ἀνώσαντες (ο 552)· ἀναστρέψαντες 60 ἄνω φύουσα (Hebr XII 5)· ἀναβλαστάνουσα 61 ἀνώχθει (Κ 67)· παρακελεύω 62 ἀνώχθω (Λ 189)· κελευέτω 64 ἆξαι· κλάσαι ⟨ἆξαι Φ 178⟩ 66 ἀξέμελαι (Ψ 50)· ἐνεγκεῖν 78 ἀξιόλεπτον (Cyrill. in Iesai. c. I p. 21)· ἐπαινετόν 84 ἀξιόχρεως· ἀξιόπιστος 85 ἀξιοχρέως· ἱκανῶς ⟨v. οὐκ ἀξιόχρεως; Eur. Or. 597⟩ 86 Ἀξιός (Β 849)· ποταμὸς Παιονίας 88 Ἀξιῶται (f. l. Soph. fr. 147)· ἔθνος Τρῳάδος ⟨v. 1462⟩ 5702 ἄξω (Α 139 ρ 250)· ἀγάγω, φέρω 7 ἀοί· νέοι. ἀείμνητοι (Z 357) 9 ἄοιγον· τὸν ὀλέθριον ⟨λοιγόν⟩

ἀοιδάων (Callim. Del. 5)· ᾠδῶν. φωνῶν [11]
ἀοίδιμος (Theocr. XIII 9)· ἀείμνη(σ)τος. διαβόητος. ἀεὶ ᾀδόμενος. εὐκλεής. ὀνομαστός (Callim. fr. XLV) [13]
ἀοιδοί· περιβόητοι. ὀνομαστοί. ἢ εὐνοῦχοι
ἀοιδοπόλος· περὶ τὰς ᾠδὰς ἀναστρεφόμενος
ἀοιδός· ᾠδός. κιθαρῳδός. καὶ ὁ ποιητής. καὶ ὁ θρηνῳδός (Eur. Herc. f. 110). ὁ εὐνοῦχος, σπάδων (γ 267) [17]
ἄοιμον· ἄρρητον
ἄοιμος· ἄπορος. ἢ ἀληθὴς ἢ ἀπρόστυχος
ἄοινα· ἱερά, τὰ καὶ νηφάλια (Aesch. Eum. 107) [21]
ἀολλέες (Ε 498 al.)· ἀθρόως, ὁμοῦ πάντες
ἀολλίζει· συνάγει ⟨v. ἀθλοίζει⟩
ἀολλίσασα (Ζ 270)· ἀθροίσασα [25. 26]
ἄοπος· ἄφωνος.
(ἄοπτος Antipho·) ἀόρατος [29—31]
ἄορες (ρ 222)· γυναῖκες λέγονται καὶ τρίποδες [33]
ἀορίστως (Plat. Legg. XI p. 916 D)· ἀπολύτως [35]
†ἄορον· μοχλόν. πυλῶνα. θυρωρόν (ad ἰωρόν). Κύπριοι
Ἄορνος (Soph. fr. 678)· λιμὴν ἢ λίμνη [38]
ἀορτεύς· φορεὺς τοῦ ξίφους
ἀορτή (Comici V 1 p. 189)· ὑπὸ Μακεδόνων ἄγγος δερμάτινον ἱματίων
ἀορτῆρε(σ)ιν (Λ 31)· οἱ ἀναφορεῖς τοῦ ξίφους. ἢ οἱ κρίκοι τῆς θήκης [42]
ἄος (non Aesch. Suppl. 781)· πνεῦμα. ἢ ἴαμα ⟨ἢ ἄημα⟩
ἀοσσητήρ (Χ 333)· βοηθός [45]

ἀούματα· τὰ τῶν πτισσομένων κριθῶν ἄχυρα. Κύπριοι ⟨imo λούματα⟩
ἄουτον· ἀνήκοον [48. 49]
ἄοψ· ἀνόφθαλμος.
ἀπαβοιδῶρ· ἐκμελῶς. Λάκωνες
ἀπαγ(αγ)ών· ἀφελών
ἄπαγε (Eur. Phoen. 1733)· παῦσαι. ἀναχώρει
ἀπάγει· ἀναχωρεῖ
ἀπάγεσθαι· εἰς θάνατον ἕλκεσθαι
ἀπάγελος· ὁ μηδέπω συναγελαζόμενος παῖς. ὁ μέχρι ἐτῶν ἑπτακαίδεκα. Κρῆτες (Arist. Byz. p. 95)
ἀπαγκωνισάμενοι· ἐκτείναντες τοὺς ἀγκῶνας
†ἀπάγλαυται· διόλου κατάνυται [59]
ἀπαγορεύει· κάμνει (Lysias erotico). διαλέγεται. κωλύει. ἀποφαίνεται [61]
ἀπαγρε[υ]θείς· ἀφαιρεθείς
ἄπαγρος· ἀτυχὴς περὶ τὰς ἄγρας
ἀπαγωγή· ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα (Demosth. 735) παράδοσις. ἢ ἀπαίτησις, ἀποκομιδή (Attici)
ἀπᾶδον· ἀπρεπές, οὐχ ἁρμόζον
ἀπᾴδοντα· ἀλλότρια ⟨v. οὐκ ἀπᾴδοντα⟩ [67]
ἀπαθής· ἀνάλγητος. ἀβλαβής. ἄτρωτος. σκληρός
†ἀπαιάζει· πέσθαι. παραλελύσθαι (ε supra)
ἀπ' αἰγείρων· Ἀνδροκλέα τὸν ἀπ' αἰγείρων (Cratini?) ἀντὶ τοῦ συκοφάντην: ἐπειδὴ δὲ ἐκ τῆς ἐν τῇ ἀγορᾷ αἰγείρου τὰ πινάκια ἐξῆπτον [τουτέστιν ἐξήρτων], οἱ ἔσχατοι
ἀπαίδειν· τὸ μὴ λέγειν προσόμοια
(ἀ)παιδευσία· ἀγυμνασία

COD. 16 εὐνοῦχοσποδῶν ⟨v. δοῖδος⟩ 20 ἄοιμα — τὰ κενηφάλια 22 πάντα 26 ἔχων. ἀόξοος· ἀδιάγλυφος ⟨v. 5692⟩ ἄοπος· 36 Κύπριοι. ἄορος· ἄϋπνος Μηθυμναῖοι ⟨v. ἄωρος et μινυώριος⟩ 37 ἀόριος 40 ἀόρτης· ξιφιστής ⟨ad ἀορτὴρ⟩ ὑ. Μ. ἄγγος ἄγγος δερμάτειον ἱμάτιον 46 πτυσσ| 51 ἀπαοῖδορ· ἐμμελῶς 53 παῦσε (suprascr. αι) 57 ἐντείναντες 64 ἐνδικαστηρίῳ παράδοσις — ἀποσκο (μδ suprascr.) 70 ἀπαιγείρων bis — συκοφαντεῖν — ἔκτισε τῇ ἀ. 71 ἀπαιδεῖν

HES. 11 ἀοιδή (α 159)· ᾠδή. φωνή 13 ἀοιδίαα (κ 227)· αἰδεῖ, ὑμνεῖ 17 ἀοιδούς (Ω 702)· ὁμοίους 21 ἀσκηθής· ὑγιής ⟨v. ἀγκηθής⟩ 25 ἀολλισθῆναι (Ο 588)· συναθροισθῆναι 26 ἀολλόπους (Θ 409)· ταχεῖς πόδας ἔχων 29 ἄορ (Ξ 385)· ξίφος, μάχαιρα 30 ἄορας (ρ 222)· ξίφη, ἀρσενικῶς ⟨cf. Eur. Tro. 831⟩ 31 ἄορι (Φ 179 al.)· τῷ ξίφει 33 ἀόρατον· μὴ θεωρούμενον 35 ἀόρκτους (Ξ 216)· ὁμιλίας 38 ἀορτανυηκές (Ξ 385)· ξίφος ἐκτεταμένον 42 ἀόρων (Ι 327)· γυναικῶν 45 ἄοστον· ἄριστον ⟨λῷστον⟩ 48 (ἄουτον Σ 536)· ἄτρωτον 49 ἀοιρούς· τὰς μακροτάτας πέτρας, οἱ δὲ μεγίστας. ἄλλοι ἀφυλάκτους ⟨ἀόρνους; ἀώρους⟩ 59 ἀπαγγῆ· φανερὸν ποιῶ ⟨v. ἀπογυμνῶ⟩ 61 ἀπαγόρευσις (novicium)· ἀπόφασις 67 ἀπαειρόμενον (Φ 563)· ἀπαίροντα

ἀπαίδευτον (Eur. Cycl. 493)· ἀμαθῆ
ἀπαιδοτρίβητος· ἀγύμναστος [75]
ἀπαιδοίωται (Aeoles)· ἀπηναισχύντηκε. τέτμηται
ἀπαῖξαι· ἀπελθεῖν, ἀποχωρῆσαι [78]
ἀπαιόλη· ἀπάτη. ἀποστέρησις. Αἰσχύλος Περραιβίσιν (fr. 180) [80]
ἀπαιόλημα· ἀποκάθαρμα. ἢ ἀ[πο]πάτημα ἢ ἀποπλάνημα. Σοφοκλῆς (fr. 912)
ἀπαιόλησις μισθοῦ· ἀποστέρησις μισθοῦ, ὡς στεροῦντας τῶν μισθῶν τοὺς ὑπουργοῦντας
ἀπαίρει· ὁδεύει (Aesch. fr. 406 Ar. Eccl. 818), ἀποδημεῖ, ἀναχωρεῖ
ἀπαίροντα[ι]· ἀποδημοῦντα[ι]
ἄπαις (e. c. Soph. fr. 4)· μὴ ἔχων τέκνον [86]
(ἀπαίσιον· δύσφημον)
ἀπαιτίζοντες (β 78)· ἀπαιτοῦντες
ἀπαιώνιστον· δύσφημον. Εὐριπίδης Ἀλκμέωνι (τῷ) διὰ Κορίνθου (fr. 78)
ἀπάκρας μάχη· ἡ ἑνὸς πρὸς ἕνα μάχη. Λάκωνες
ἀπακταίνων· ὁ κινεῖσθαι μὴ δυνάμενος
ἀπάλαμνος (E 597)· ἀσθενής. ἀμήχανος
(ἀπαλασῖξαι· ὀμόσαι. Λάκωνες)
† ἀπαλαύξινα· εἰς αὐτὸν καταστρέφοντα [95]
ἀπαλέξασθαι· ἀποφυλάξασθαι. Σοφοκλῆς Ἱππόνῳ (fr. 282)
ἀπαλεξήσειν (ρ 364)· βοηθήσειν
ἀπαλεξίκακον· † ἀθεράπευτον
ἀπαλθήσεσθαι· ....
ἀπαλθήσεσθον (Θ 405)· δυϊκῶς. ἀποθεραπεύονται, ἢ θεραπεύουσιν [5801—5]
ἀπαλλάξαιμι· ἀποστήσαιμι
† ἀπαλλητόν (v. ἀπόπληκτον)· θαυμαστόν, ἔξαλλον, πολὺ παρηλλαγμένον
ἀπ' ἄλλων (Soph. Philoct. 183)· μόνον [9]
† ἀπαλοβραχέα· ἀπαλοανθῆ ἀπαλῶς θάλλοντα
† ἀπάλιον· θῦμα δελφάκιον
ἀπαλον· ἀνοχὴ ἀπὸ τοῦ παλαίειν
ἀπάλοις (Sapph. fr. 54)· μικροῖς
ἁπαλός· μικρός [15—17]
ἀπαμβρακοῦ· ἀνδρίζου. καρτέρει (v. ἐξαμβρακοῦται)
ἀπαμείρεται (P 2 Hesiod. Th. 801)· ἀφαιρεῖται
ἀπαμήσεται· ἀποθερίσει
ἀπαμῦναι (Herod. IX 90)· ἀποτρέψαι
ἀπαμυνταί· βοηθοί [23]
ἀπαμφιεῖ (Menand. fr. IX p. 171)· ἀπογυμνώσει [25. 26]
ἀπανᾶν· καλεῖν
ἀπανεῖ· καλεῖ (v. βαπαίνει) [29]
ἀπάνεσον· κάλεσον. Λάκωνες [31. 32]
ἀπανηνάμενοι· ἀπαρνησάμενοι
ἀπανθρακίδες (Ar. Ach. 670 ἐπ—)· οἱ πρὸς ὄπτησιν ἐπιτήδειοι ἰχθύες. καὶ πέμματος εἶδος ἀπανθρακίς (ἐπ— Diocl. Caryst. Ath. III 110 B)
ἀπάν(θρωπ)ος· σκληρός. ἀνόητος, ἄφρων. ἀνελεήμων. Σοφοκλῆς (fr. 913) ἀπανί... [36. 37]
ἀπαντλοίην ἄν (Eur. Alc. 365)· ἐπικουφίσαιμι ἄν
ἀπαξιοῖ· οὐκ ἀξιοῖ. ὑπερηφανεύεται
† ἀπαξοί· μοναχοί [41]

COD. 76 ἀπαιναισχύντηκε 88 |ντα bis 89 ἀλλὰ καὶ διὰ ἀκορὶν ἀπαιώσιον· δ. 91 ἀπακτένων 5808 ἄπαλλον 9 ἀπαντλεῖν. ἀπαλοῖξαι· (v. ἀτταλασῖξαι) ὀμόσαι. Λάκωνες. ἀπαλοβραχέα (—κραδέα?) 11 Cf. ἀπόλιον 13 ἀπαλοῖς 22 ἀπαμυντοί 32 Forte πανιζόμενοι· ξαινόμενοι (texti cf. Arist. HA V 19 Theophr. VIII 10, 3)

HES. 75 ἀπαινύμενον (Λ 582)· ἀφαιρο(ύ)μενον 78 ἀπαΐξας (Φ 234)· ἀποχωρήσας 80 ἀπαιολ.῀, παραλογίζεσθαι 86 Ἄπαις (Β 828)· ὄνομα πόλεως 95 ἀπαλαστήσασα (α 252)· σχετλιάσασα 5801 (ἀ)παλεῖν· ἀμελεῖν (v. γαπελεῖν) 2 ἀπαλέντες· ἀμελοῦντες (ἀπαμέλεντες?) 3 ἄλλακες· ἱερῶν κοινωνοί (v. ἀπέλλακες) 4 ἀπάλλαξις (Iones)· ἀπαλλαγή 5 ἀπαλλαξίοντες· ἀπαλλακτικῶς ἔχοντες (Thuc. I 95 ap. Moer. Att.) 9 ἀπαλλᾶσθαι· ἀπαντλεῖν (ΑΝΙΜΑCΘΑΙ) 15 (ἁπαλός)· τρυφερός; (Deuter. XXVIII 45) 16 ἀπαμείβομαι· ἀνταποκρίνομαι 17 ἀπαμειβόμενος (Α 84)· ἀνταποκρινόμενος 23 ἀπαμφιάσαντες (Philo I p. 608, 37)· ἀποδύσαντες 25 ἄπαν· ὅλον ἅπαντα· ..... 26 ἀπαναίνου· ἀποστρέφου (Iob. V 17 Sirac. IV 4) 29 ἀπανάστασις (Greg. Naz. Or. X p. 175)· ἀποικία 31 ἀπάνευθεν· μακρόθεν, ἄποθεν, προσωτέρω 32 ἀπανιζόμενοι· ξηραινόμενοι 36 ἀπαντίζορα· ἐναντία (ἀντίξοα) 37 ἀπαντινά· ἀνέντροπα. ἐκτετημένα 41 ἅπαξ (μ 22)· ἐπίρρημα ἀριθμητικόν

ἄπαξον· ἀπορρίπισον ⟨ἀπαίθυξον?⟩ [43—50]
ἀπάρας· † σκεψάμενος. ὁρμήσας ⟨Eur. Hel. 1671 al.⟩
(ἀ)παράσσεται· ἀποκατάγνυται [53]
ἀπαράτιλτα· ἀπαράλεκτα [55]
ἀπαράχυτος οἶνος (Galen. vol. XIII p. 721 L)· ᾧ οὐ προστέθειται θάλασσα
ἀπάρβατον· πιστόν
ἀπάργματα· ἀπαρχαί [59]
ἀπαρές (Dorice)· ὑγιές. ἀπήρωτον [61]
ἀπαρθένευτος· ἀκέραιος, καθαρά. Σοφοκλῆς Ἱππόνῳ (fr. 283)
ἀπαρθένευτα· οὐ πρέποντα παρθένοις. Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι (993)
ἀπαρίνη (Theophr. VII 14, 2)· φυτάριόν τι. ἔνιοι δὲ ὀροβάγχην
ἀπαρκῆ· ἁρμόζοντα. αὐτάρκη ⟨v. ἀρτάκης⟩
ἀπαρκίας (Aristot. de mund. IV 13)· οὕτως ἄνεμος
† ἀπαρκτεῖν· ἀποτυχεῖν ⟨v. ἀφακεῖν⟩ [68]
ἀπαρτῆσαι· χωρίσαι, διαστῆσαι
ἀπαρτί· ἀπηρτισμένως. ἀκριβῶς. Αἰσχύλος Ἀθάμαντι (fr. 2)
ἀπάρτια ⟨ἀπαρτία?⟩· τὰ ἔπιπλα
ἀπαρτίαν· μετάβασιν. ἀποσκευήν (Hipponact. fr. 25)
ἀπαρτίζει· τελειοῖ (non Aesch. Sept. 374)
ἀπαρτικός· πρὸς ἄπαρσιν καὶ ἀποδημίαν ἕτοιμος
ἀπαρτιλογία (Herod. Antipho Lysias)· ἀπηρτισμένη ψῆφος
ἀπαρτύειν· ἀποκηρύσσειν. Ταραντῖνοι

ἀπαρτῦναι· τάξαι
ἀπαρυόμενον· ἀφαιρούμενον
ἀπάρχεσθαι· μεταδιδόναι [80—82]
† ἅπας, χαλκή (v. Plat. Cratyl. p. 389 E) λαμπρ ὃ Κρῆτες
† ἀπασιτόν· τὸ δεσμωτήριον
ἀπασκαρίζειν (Aristoph. fr. XVIII p. 1154)· σπαίρειν
ται
† ἀπασσέιον· παμποίκιλον. οἱ δὲ λινοῦν χιτῶνα· οἱ δὲ μαλλωτόν
ἀπαστί· ἀγευστί
(ἀπαστίας· διαγωγῆς ....
ἄπαστος (Τ 346)· ἄγευστος) [90. 91]
ἀπατᾷ· πλανᾷ. φενακίζει
ἀπάτερθεν (Ε 445)· ἄποθεν, ἢ χωρίς
ἀπάτη· ψεῦδος
ἀπατηλόν (Δ 526)· ψευδές. ἀπατητικόν. παραλογιστικόν
ἀπάτητον· τὸ ἀνωμάλως συγκείμενον. παρὰ Δημοκρίτῳ (p. 420 Mull.)
Ἀπατούρια· ἑορτὴ Ἀθήνησιν ἐπὶ ἡμέρας τέσσαρας, ὧν ἡ πρώτη δόρπεια καλεῖται, ἡ δευτέρα ἀνάρρυσις, ἡ τρίτη κουρεῶτις, ἡ τετάρτη ἔπιβδα
† ἀπατουργόν· κωλυτικόν [99]
ἀπαυγέος· λαμπροῦ, φωτεινοῦ ⟨v. διαυγές⟩
ἀπαυδῶ (Com. Trag.)· ἀπαγορεύω
ἀπαυθαδιάζοντας· μέγα φρονοῦντας [5903]
ἀπαυλεῖσθαι· τὸ μὴ προαυλεῖν κατὰ τρόπον

COD. 54 ἀπαράντινα· ἀπαράλλακτα 57 ἀπαράβατον· ἄπιστον 60 ἀπλήρωτον
ω
62 ἀπαρθίνευτος· ἱππόν 64 ὀροβάκχην 69 .παντῆσαι· χωρῆσαι 70 ἀπαρτιᾶ·
τ'
ἀπαρτ| ἀθαμαν 72 ἀπαρτίας 78 ἀπαρύμενον (cf. ἀπαινύμενον) 81 χς π χς Post 83 legebantur 88. 89 85 ἀπαπαρίζειν· ἐπαίρειν 86 λινὸν 92 ἀπάτα· πλάνα φενάκιζε (Empedocl. 90 Stz.) Cyr. 171 96 ἀπατητόν 97 δορπία — κρουρεῶτις 5900 |αὐγεος —ός —ός

HES. 43 ἀπατάλη· ἀπαντήτρια [ἤγουν ἀπατηλή· ἀπατήτρια] ἀλαζών, (v. Themist. p. 251 a) ἢ μαντευόμενος 44 † ἀπαράγκλητος· ἀσύγκλητος. ἀνόμοιος ⟨ad novicium ἀπαράβλητος⟩ 45 ἀπαραίτητον (Sirac. XVI 4)· ἄψευστον ⟨κτον⟩, ὃ οὐ δύναταί τις παραιτήσασθαι 46 ἀπαράλλακτον· ἀναλλοιωτόν (sic) 47 ἀπαραλλάκτῳ· ὁμοίῳ [κατὰ μηδὲν παραλλάσσον 48 ἀπάραξεν (Π 116)· ἀπέτεμεν 49 ἀπαρεμποδίστως (sic)· ἀνεμποδίστως 50 ἀπαραποιήτως· ἀπλάστως 53 ἀπαράσιμον· ἀσινέστατον. ἀπαραχάρακτον. ἀπαραλόγιστον, ἀψευδές, ἀληθές 55 ἀπάρατον· ἀπευκτόν. ἀπέραντον ⟨ad ἐπάρατον et ad ἀπέρατον⟩ 59 ἀπαρεμφάτως· ἄνευ δηλώσεως [ἢ] προσώπου 61 ἀπαρέσασθαι· εἰς ἀρέσκειαν ἀγαγεῖν 68 ἀπαρθῆναι· ἀρθῆναι Ad 69 πληρῶσαι (Aristot. de gen. an. V 1) Ad 72 τέλος. ἀπαρτισμόν (LXX) 80 ἀπαρχή· προσφορά. ἀφαίρεμα (LXX) 81 ἀπαρχὴ Χριστός (1 Cor. XV 20)· πρῶτος Χριστός 82 ἀπάρχου (Prov. III 9)· τὰς ἀπαρχὰς πρόσφερε 90 ἀπαστεύων· ψευδόμενος ⟨ἀπατεύων⟩ 91 ἀπαστακῶς· ἁμαρτών Ad 94 πλάνη (e Moer. Att. 99 ἀπαύγασμα (Hebr. 1 3)· ἡλίου φέγγος 5903 ἀπ' αὐτόφιν (Λ 44)· ἀπ' αὐτῶν, ἢ ἀπ' αὐτοῦ

ἀπαύλια καὶ ἐπαύλια διχῶς λέγεται ἡμέρα, ἐν ᾗ.......... ἐπαυλίζεται τῷ ἀνδρὶ ἡ νύμφη

ἄπαυλον· ἀπόκοιτον [7—9]

ἀπαφίνιον· Λάκωνες κάρδοπον λιθίνην, ἐν ᾗ † μένουσιν, ἣν κτητϊ καλοῦμεν

ἀπαφίσκειν (λ 217)· ἀπατᾶν. ἀφαιρεῖσθαι

ἀπαφός· ἔποψ τὸ ὄρνεον

ἀπαφούλιστορ· σταφυλῖνος. Λάκωνες ⟨ἀτταφούλιττορ?⟩

ἀπάφω· ἀπατήσω

ἀπέβη· συνέβη (Thuc. IV 39). ἐγένετο (Eur. Med. 1419). (ἀπεβίω, ἀπέθανεν?)

ἀπέβλισεν (Ar. Avv. 498)· ἀπεπίασεν [17—19]

ἀπεγγυαλίζειν· ἀποκαθιστᾶν

ἀπεγένετο (Antipho et Thucyd.)· ἀπέθανεν

ἀπεγνωσμένος· ἀνέλπιστος [23. 24]

ἀπεδίζειν (Clidemus)· ὁμαλίζειν

ἀπεδικάσθη· † κατεδικάσθη

(ἀπεδίσαι· ὁμαλίσαι, ἐδαφίσαι

ἀπεδόεν· ὁμαλόν

ἀπεδόεσσα· ἰσόπεδος, ὁμαλή)

ἄπεδον (Thuc. VII 78)· ὁμαλόν. ἰσόπεδον, ἐπίπεδον [31—34]

ἀπέδρα (Cratin fr. II p. 62?)· ἀπέφυγεν [36—38]

ἀπέθριξεν (Eur. Or. 128)· ἀπέκειρεν. ἀπέκοψεν (Archil. fr. 137) [40]

ἄπει· ἄπιθι, ἄπελθε, βάδιζε [42]

ἀπειθεῖ (Plat. Legg. XII 949 C)· ἀντιλέγει

ἀπειθής· ἀνυπότακτος. ἄπιστος. Σοφοκλῆς Αἰχμαλωτίσιν (fr. 46) [45]

ἀπεικάσματα (Plat. Cratyl. 420 C)· ὁμοιώματα (an LXX?)

ἀπεικός· ἄτοπον, οὐ πρέπον

ἀπειλή· ὀργή (an LXX?)

ἀπειλεῖται· ....

ἀπείπατο (Herod. I 205)· ἠρνήσατο [51.52]

ἀπείπαντο (Herod. VI 100)· παρῃτήσαντο. ἀπετάξαντο

ἀπείπεται· ἀποτάσσεται. ἀπαρνεῖται

ἀπειραίη· ἠπειρωτική

ἀπειράκις (Aristot. de Xenoph. 2 p. 975, 26)· πολλάκις. πλειστάκις

ἀπεῖργον· ἐκώλυον

ἀπειρηκότων· ἀπειπαμένων

ἀπειρημένοι· ἀπεγνωσμένοι [60]

† ἀπειρήδιον· πολύ, ἄπειρον πλῆθος ⟨ἀπειρίδιον?⟩ [62—65]

ἀπεῖρξεν (Soph. Ai. 1280)· ἐκώλυσεν

ἄπειρον· πολύ. ἄγευστον. περιφερές (Attici), στρογγύλον, διὰ τὸ μήτε ἀρχὴν μήτε πέρας ἔχειν

ἀπείρονα (δ 510 al.)· πέρας μὴ ἔχοντα ⟨v. ἀπέρονα⟩

ἀπείρονας· ἀπειράτους. Σοφοκλῆς Θυέστῃ (fr. 245)

ἀπείρου· ἀγνώτου. μεγάλου

ἀπείρῳ· πολλῇ [72]

ἀπείρων· μεγάλων, ἀναριθμήτων, πέρας μὴ ἐχόντων [74]

ἄπεισιν· ἀπέρχεται (c. c. Soph. OT. 229). ἀπέθανεν

† ἀπεισουτῆρες· σκόλοπες [77. 78]

ἀπεκαίνυτο (θ 127. 219)· ἐνίκα

COD. 5 ἀπαυλία — ἐπαυλία 6 ἀπαυλόν· ἀπόκοπον 10 καρδαπόν 14 ἀπαφῶ 27 Legebatur infra post 7477 ἀρπεδίσαι — ἐδαφῆσαι et ἀρπεδόεν ἀρπεδόεσσα post ἀρπᾶναι — λατίνους ⟨7474⟩ 32 ἀπέδοσθεν· ἀπεπωλήσατο 40 ἄπειθι 44 |ωτησιν 49 ἀπειληταί· ὀργίλοι Cyr. Dr. Cf. Mein. Com. III 526 54 ἀπάρχεται 61 ἀπειρέσιον Cyr. Dr. 79 ἐνίκα, ἀφαιρεῖται ⟨ad ἀποαίνυται⟩

HES. 7 ἀπαυστίας· ἀπαρσαχύτας 8 ἀπαυτομολήσει (Prov. VI 11)· ἀφ' ἑαυτοῦ ⟨ἧς⟩ ἔλθῃ, παρὰ τὸ μολεῖν, ὅ ἐστιν ἐλθεῖν 9 ἀπ' αὐτομάτου· ἐξαίφνης ⟨v. ἀπὸ ταὐτομάτου⟩ 17 ἀπεβήσατο (A 428)· ἐπορεύθη 18 ἀπέβαισεν· ἀπέασεν 19 ἀπεβίω· ἀπέθανεν ⟨v. ἀπεξεβίω⟩ 23 ἀπεδέξατο (A 95)· ἀπέλαβεν 24 ἀπέδετο (Iud. II 14 III 8)· ἐκδέδωκεν 31 ἄπεδος· ἀνάπαλιν ... ⟨v. ἀνὰ πόδα⟩ 32 ἀπέδοσθεν (Actt. App. V 8)· ἀπημπολήσατε 33 ἀπέδωτο (Iud. II 14 III 8)· ἐκδέδωκεν 34 ἀπέδου (Psalm. XLIII 13)· παρέδου 36 ἀπέεργεν (Ω 238 Greg. Naz. Arc. VII 107· ἀπεκώλυσεν 37 ἀπέησει (τ 169)· ἄπεστη 38 ἀπέειπεν (I 431)· ἀπηρνήσατο. ἀπεῖπεν 40 ἀπεέργει· ἀπείργει, κωλύει 42 ἀπ[ε]ίης γῆς (A 270)· τῆς πολὺ ἀφεστώσης γῆς 45 ἀπ[ε]ίθησεν (B 441)· οὐκ ἐπείσθη 51 ἀπεῖπεν· ἠρνήσατο 52 ἀπειπάμεθα (II Cor. IV 2)· ἀπερριψάμεθα (non Herod. IX 7) 60 ἀπεγνωκότες· ἀπηγορευμένοι 62 ἀπειρ....· ἄπειρα τῷ πλήθει, πολλά. ἐν δ' αἶγαις ἀπειρέσιαι (ι 118) 63 ἀπείρρητον· ἄρρητον, ἀνεκλάλητον ⟨v. ἄειρον, ἀνείρητον⟩ 64 ἀπείρητος (β 170)· ἄπειρος 65 ἀπείρηται· ἀπηγόρευται 72 ἀπειρομένων· ἀποφευγόντων 74 ἀπειροπλάσιον· πολυπλάσιον 77 ἀπεῖτε· ἀπέλθατε (Herod. VI 97 Thuc. II 46) 78 ἀπεκάκι⟨η⟩σεν (Ierem. XV 9)· ἐσιάνθη

ἀπέκαμον· ἠτόνησαν
ἀπεκέλλερεν (Tarentini?)· ἀπέκλεψεν ⟨v. ἀκελλεά⟩
ἀπεκέντησαν τὴν ἀλήθειαν· οἷον ἐδείχθη, ὁποῖον ἦν τῷ πράγματι
ἀπέκιξαν (Ar. Ach. 869)· ἀποπεσεῖν φυσῶντες ἐποίησαν
ἀπεκομίσθη· ἀπηνέχθη
† ἀπεκτον· τοῦ τέκοντος ἐγένετο
ἀπεκορύφου (Herod. V 73)· εἰς κορυφὴν [τὸ τέλος] ἦγεν
ἀπεκόσμεον (η 232)· ἀπετίθουν, ἀπετίθεντο
ἀπέκτητον· ἄκαρτον, ἀπόκιστον
ἀπεκυπάρωσεν· ἀπέκτεινεν ⟨v. ἀποκυπαρῶσαι⟩
ἀπεκωλύθη· ἀπεχωρίσθη
(ἀπελάπη vid. ἀπελέπη)
ἀπελασία· διωγμός [93]
ἀπέλεθρον (Ε 245)· ἀμέτρητον. Πλέθρον γὰρ εἶδος μέτρου [95. 96]
ἀπέλεξα· ἀπεῖπον. ἀπηγόρευσα
ἀπελέπη (imo ἀπελάπη)· ἀπελεπίσθη
ἀπέληκα· ἀπέρρωγα. Κύπριοι [6000]
ἀπελήκησεν· τοῖς δακτύλοις ἐψόφησεν
ἀπελλάζειν (Oracul. ap. Plut. Lyc. VI)· ἐκκλησιάζειν. Λάκωνες ⟨v. ἀππαλλάζειν⟩
ἀπέλλαι· σηκοί. ἐκκλησίαι (Lacones). ἀρχαιρεσίαι
(ἀπέλλακας· ἱερῶν κοινωνούς; vid. ἀπάλλακες;)
ἀπέλλειν (Aeoles)· ἀποκλείειν [6. 7]
† ἀπελιγκόμην (Cretes?)· ἀπερριπτούμην
ἀπελλόν· αἴγειρος, ὅ ἐστι εἶδος δένδρου [10]
ἀπελυμαίνοντο (Α 314)· ἀπεκαθαίροντο, ἀφηγνίζοντο [12—14]
ἀπεμέσω· ἐμετιῶ
ἀπεμορξάμην (Ar. Ach. 706)· ἐδάκρυσα [17—19]
ἀπεμπολήν. ἀπαλλαγήν. πρᾶσιν. ἐμπορίαν
ἀπεμπολήσας· πωλήσας. πεπρακώς. πραγματευόμενος [22]
ἀπεμυθεόμην· ἀπηγόρευον·
πόλλ' ἀπεμυθεόμην (Ι 109)
γράφεται δὲ καὶ ἐπεμυθεόμην, ὅ ἐστι † ἐπέλεγον, καὶ συνεβούλευον
(ἀπεμύλλαινεν· ἐξηυτέλιζεν; v. 6219)
ἀπεμφαίνοντα· ἀπεοικότα. ἐκ τοῦ μὴ ἐμφαίνειν τὸ ὅμοιον [26]
ἀπενάσθη (Eur. IT. 175?)· ἀπῳκίσθη
ἀπενάσσατο (Β 629)· ἀπῴκησεν [29—32]
ἀπενεγκεῖν γραφήν· τὸ γράψασθαι δίκην [34]
ἀπενήσω· ἀπέβαλες. Εὐριπίδης Αὔγῃ (fr. 281) [36]
ἀπενιαυτισμός· ἡ εἰς ἐνιαυτὸν φυγὴ τοῖς φόνον δράσασιν
ἀπενθέα (Bacchyl. fr. 19, 2)· ἀπενθῆ
ἀπεννέπῃ (Eur. Phoen. 1657)· ἀπαγορεύσῃ
ἀπενώτισαν· ἀπέστρεψαν τὰ νῶτα. Σοφοκλῆς Φινεῖ (fr. 642)
† ἀπεξέβαι· τὸ ἀποπατεῖν. Κρῆτες ⟨ad ἀποσκευή⟩
ἀπεξεβίω· ἀπέθανεν ⟨v. ἀπεβίω⟩
ἀπεξενωμένη· ἀλλοτρία [44]
ἀπεξινησάμην (Iones)· ἀπεξεφόρησα. ἢ ἐξεκένωσα. ἢ ἀπεθέμην
ἀπεοίκασιν· † ἀνομοιοῦσιν

COD. (81 Ad ὀκέλλειν· βλέπειν?) 83 ἀπέκειξαν 88 ἀπόκροτον 90 Ordo gl. ἀπεκωλύθη. ἀπελάζειν. ἀπελασία 6001 ἀπελέκησεν· ἀπεδήμησεν ⟨l. ἀπήμησεν ex ε 244 πάντα, πελέκκησεν⟩ καὶ … ἐψόφησεν. ἀπελλαί, — ἀρχιερεσίαι. ἀπέλλειν 9 δένδρου. ἀπελλακὰς κτλ. ἀπελύκησεν 15 ματαίω 20 ἐμπορίας 21 ἀπεμπωλήσας 23 ἀμυθεόμην — γὰρ δὲ καὶ ἐπιεθεόμην (ν.˘.) 33 ἀπενέγκειν 35 αὐγή 40 φι 43 |ομένη 45 ἀπεξηκησάμην

HES. 93 ἀπελαιθρόνην (Ε 245)· τὴν δύναμιν τὴν ἀμέτρητον 95 ἀπελεθρόνηνα (Ε 245)· τὴν δύναμιν τὴν ἄμετρον 96 ἀπεληλαμένοι· διωχθέντες 6000 ἀπέλαστον· ἀπρόσιτον 6 ἀπελεύθερος (I Cor. VII 22)· ἐκ δούλου ἐλεύθερος 7 ἀπελεύσῃ (Genes. XV 15)· ἀπέρχῃ ⟨v. Comic. V p. XXXVII⟩ 10 ἀπελύκησεν (Δ 522, non Aesch. Ag. 1410)· ἀπέτεμεν ⟨v. ἄχρης ἀπελύησαν⟩ 12 ἀπέλυσεν (Ω 115)· ἀπελύτρωσεν 13 ἀπελύωσεν (Δ 522)· ἀπέτεμεν, ἀπέκοψεν ⟨an ἀπέλουσεν?⟩ 14 ἀπεμάσσετο (υ 429)· καθήψατο. ἀπῴκησεν (Β 629) 17 ἀπεμόρξατο (Β 269)· ἀπεψήσατο 18 ἀπεμόργνυ (Ε 798)· [ἀπέμεσεν· ἐξέρασεν] 19 ἀπ|εμπω|λεῖ ⟨πολᾷ?⟩· πιπράσκει 22 ἀπεμπωλῆσαι (Greg. Naz. I p. 54 B)· τὸ ἐπὶ κέρδος ἀποδόσθω ⟨sic⟩ τι 26 ἀπέναντι (Iosu. XI 2)· κατὰ ἀνατολὰς νότου 29 ἀπενεγκάμενος (II Macc. V 21)· κτησάμενος 30 ἀπενδονικῶς· φυγών ⟨ἀπενιαυτικῶς?⟩ 31 ἀπενέγκασθαι (Ezech. XXXVIII 13)· λαβεῖν 32 ἀπένεικας (Ξ 255)· ἀπήνεγκας 34 ἀπένειμεν (Deuter. IV 19)· ἀπεκλήρωσεν 36 ἀπενήνατο (Ps. LXXVI 3)· ἀπεῖπεν, ἀπηρνήσατο 44 ἀπεξεσμένον (Greg. Naz.)· ἐκτετορνευμένον. ἠκριβωμένον

ἀπεοικώς· ἀνόμοιος [48]
ἀπέπαντος· ὁ μὴ παλαιούμενος
†ἀπεποριάνεν (cf. Hippocr. III p. 669)· ἀπεχλωρίασεν
ἀπεπ...μην· ἀπεχώρησα. ἀπεπήδησα
ἀπέπρησεν (Archil. fr. 121)· ἀπεδάκρυσεν. ἀπεφύσησεν. ἀπεμάρ(αν)εν
ἀπέπτυσε λόγους· ἀπεμυσάξατο τοὺς λόγους, ἀντὶ τοῦ ἀπεστράφη. Σοφοκλῆς Φαίδρᾳ (fr. 613)
ἅπερ (Xen. Hell. VI 1, 4)· καθάπερ [55. 56]
ἀπέραντον· μέγαν. ἀτελείωτον. ἐκ τοῦ πέρας μὴ ἔχειν [58]
ἀπέρατοι (Atticum)· ἀόριστοι....τέλος μὴ ἔχειν [60]
ἀπεργός· ἀργός
(ἀπερείσια (Π 178)· ἄπειρα τῷ πλήθει, πολλά)
ἀπερημάσαι· ἀποικῆσαι
†ἀπεριόριστος· ὁ μὴ καθαρῶς ἐπιφωνῶν ⟨ος ἀπὸ φόνων⟩. ͵Περ....ίζειν ⟨v. περιστίαρχος⟩ γὰρ τὸ περικαθαίρειν ἔλεγον
ἀπεριλάλητον (Ar. Rann. 839)· ἀνεξαπάτητον. ἀφελῆ [66—69]
ἀπεριέργως· ἀπερισκεπάστως. ἀπολυπραγμονήτως [71. 72]
ἀπερίληπτος· ἀκατάσχετος [74—76]
ἀπεριμερίμνως (Aristoph. Nubb. 136)· ἀμερίμνως [78]
ἀπερεισαμένοις· στηριχθεῖσιν
ἀπερείσεται· στηρίξεται [81]
ἀπερισκέπτως (Thuc. IV 10. VI 57, 3)· ἀ..πινοήτως, (ἀβουλήτως) [83. 84]
ἄπερρε (Ar. Nubb. 783)· ἀποφθείρου. πορεύου μετὰ φθορᾶς
ἀπέρρηκται· τέτμηται
ἀπερρήσεις (Cratin. fr. VI p. 89)· ἀπελεύσῃ, ἀποφθαρήσῃ ⟨v. ἀπορραίσει⟩
ἀπερρίγασι (β 52)· πεφρίκασιν [89]
ἀπερύκειν· κατέχειν. κωλύειν. ἀποδιώκειν
ἀπερύκοι (Δ 542)· κωλύοι
ἀπερωεύς (Θ 361)· κωλυτής. Ἐρωεῖ(ν) γάρ ἐστι τὸ ὁρμᾶν
ἀπερωπός (Aesch. Cho. 600, Anacr. fr. LXXVII)· ἀπάνθρωπος ⟨v. 460. 61⟩
ἀπερώπως· θαυμαστῶς. ἀδοκήτως ⟨—ωπῶς?⟩ [95. 96]
ἀπέσβη (Eur. fr. CXXVII Matth.)· ἐσβέσθη
ἀπεσείσατο (Callimach. fr. CCXLV, Herod. VII 88)· ἀπεβάλλετο
ἄπεσθαι (Elei?)· ἀκολουθῆσαι
ἀπεσίμωσεν· ὕψωσεν, πρὸς μετέωρον ἀνήγαγεν. Σίμαι γὰρ αἱ μετέωροι προσαναβάσεις [6101]
ἀπεσκευάζετο· ἀκύρους ἐποίει ⟨inf. ἀποσκ.⟩
ἀπεσκευασάμην· ἀπέρριψα, ἀπεδοκίμασα
ἀπεσκῆ·
τόξ' ἀπεσκῆ.
ἔνιοι δὲ γυμνὰ θήκης τόξα. Σοφοκλῆς Τρωΐλῳ (fr. 563)
ἀπέσκλη· ἀπέθανεν ⟨v. ἀποσκλαίη⟩
ἀπεσκληκώς· ἀναισθήτως ἔχων
ἀπεσκόλυπτεν (Archiloch. fr. 123)· ἀπέσκεπε τὸ δέρμα. ὅθεν καὶ σκολοδέψης
ἀπεσκοράκιστο· καταπεφρόνητο
†ἀπεσκόραξεν· ἀπεσύρατο
ἀπεσκοτωμένα (Aristoph. fr. CXXXII p. 1205)· ἐσκιαγραφημένα. τὰς γὰρ χρίσεις σκότους καλοῦσιν οἱ ζωγράφοι
ἀπεσκύθισται· κέκαρται
ἀπέσοιξεν· ἀπέσωσεν. Λάκωνες
†ἀπεσουτήρ· ἀπεσώθη. Λάκωνες ⟨v. σοῦται⟩

COD. 47 ἀνομοίως 49 ἀπεπανότος 52 ἀπέμαρεν 53 ἀπεμύξατο 63 ἀπφκῆσαι 82 |σκήπτως 87 ἀπερρήσει, ἀπελεύσει, ἀποφθαρεῖ 90 ἀπερικεῖν 91 ἀπερ.-κοῖ· κωλύ.. 6100 πρὸς ἀν| 4 ἀπέσκη· τόξον ἀπέσκη — θήκαις — τρώλω 7 ἀπεσκέπτετο — σκολοδέτης 9 ἀπεσκόραζεν 10 |τόμενα 11 ἀπεσκύψισται· κεκάθαρται 12 ἀπεσίωσ.. 13 Λάκωνες [6123] ἀπεσποδικώτων

HES. 48 ἀπεόντος (Ζ 362)· ἀπόντος 55 ἀπεράντοις (I Timoth. I 4)· ἀπείροις 56 ἀπειπέμεν (α 91)· ἀπειπεῖν. ἀπαγορεῦσαι 58 ἀπέργαθεν (Φ 599 φ 221)· ἀπώλεσεν 60 ἅπερ ἐστίν· ἅ τινά ἐστιν 66 ἀπερίβλεπτον· ἀπερινόητον ⟨v. 6071⟩ 67 ἀπερίγασεν· ἀπεφθάρη ⟨v. 6087. 88⟩ 68 ἀπερίγραπτον (Philo I p. 187, 42)· ἀπεριόριστον ⟨ἀπερινόητον cod.⟩ 69 ἀπερίγραφος (scr. eccl.)· ἀπερινόητος. ἀνίκητος ⟨ἀνέφικτος?⟩ 71 ἀπερινόητον· ἀπερίβλεπτον ⟨v. 6066⟩ 72 ἀπερεισαμένοις· στηριχθεῖσιν 74 ἀπερισκέπτως· ἀβουλήτως. ἀπρονοήτως ⟨vid. 6082⟩ 75 ἀπερισπάστως (I Cor. VII 35)· ἀμερίμνως, ἀφροντίστως. ἡσύχως 76 ἀπερίστατον· μωρόν (Hebr. XII 1). ἀφορμὰς μὴ ἔχον 78 ἀπερίσατο· ἀπετειναξατο ⟨v. ἀπηρείσατο⟩ 81 ἀπερείσια (Π 178)· πολλά. ἄπειρα 83 ἀπερίτρεπτον (Ps. CXXIV 1 Symm.)· τὸ μὴ περιτρεπόμενον. ἤγουν τὸ μὴ καταστρεφόμενον 84 ἀπέρονα· πέρας μὴ ἔχοντα 89 ἀπερρώεντο (υ 107)· ἐρρωμένως ἦλουν 95 ἀπερωήσειας (Π 723)· ἀποχωρήσειας 96 ἀπέσαξεν (Genes. XXIV 32)· ἔστρωσεν ⟨ad ἐπέσαξεν⟩. ἀπέ(σ)τρωσεν 6101 ἀπέσεισεν· ἀπεώσατο. ἀπέρριψεν ⟨vid. 6187⟩

ἀπεσποδικότων· φλεγομένων ἐν τῇ τέφρᾳ [15]

ἀπεσποδῆσθαι· ἀπερρῖφθαι. ἀποθανεῖν

ἀπεσσία· ἄνεσις (ad ἀπεσία). καὶ ἀπέδρα, ἀπηλλάγη. ἠφανίσθη (Xen. Hell. I 1, 23)

ἀπεσταύρωσαν· ἀπέφραξαν ξύλοις [19. 20]

ἀπεστλεγγισμένον· ἀπεξυσμένον. (Στ)λεγγὶς γὰρ ἡ ξύστρα [22]

(ἀπεστύπαζον (Archiloch. fr. 126)· ξύλοις ἀπεδίωκον)

ἀπεστύς· ἀποχώρησις [25]

ἀπέστω (Callim. fr. CCCXL)· † ἀγνοία. ἢ ἀπείη. ἢ μὴ γένοιτο

ἀπεσφακέλισεν· ἐσάπη. Ἀριστοφάνης Ὁλκάσιν (fr. XXII) ἢ ἀντὶ τοῦ προσεσπάσθη. ἢ αἰφνιδίως ἀπέθανεν. οἱ δὲ ἰατροὶ τὴν ἐκ τῆς σήψεως μελανίαν

ἀπέσφηλεν· ἀποτυχεῖν ἐποίησεν

ἀπεσφραγίσθαι· ἀποκεκλεῖσθαι

† ἀπέσχας· ἀπεσχάσας

ἀπ' ἐσχαρόφιν (η 169)· ἄποθεν τῆς ἐσχάρας

ἀπεσχεδιάζετο· ἀσκέπτως ἐγένετο

ἀπεσχεδιάζετο· ἡτοιμάζετο

ἀπεσχοινισμένος (Demosth. 778, 16)· [ὡς] διεστηκώς, διεζευγμένως, ἀποκεκλεισμένος (ο written above διεζευγμένως)

ἀπετείχιζον (Thuc. VII 78)· ἀπεχώριζον [36]

ἀπετέλουν· ἀπεπλήρουν [38—41]

ἀπετράπημεν· ἀπεφύγομεν

(ἀπετύλουν· ἀπέσυρον. ἀπεγύμνουν τὸ αἰδοῖον; Pherecr. fr. LXXI p. 356)

ἀπετυμπάνισαν· ξύλῳ ἀνῃρήκασιν [45—48]

ἀπευθῦναι· κολάσαι

ἀπευθύνει (Eur. Bacch. 884)· κολάζει

ἀπευκταίοις· ἀχρησίμοις

ἀπευκτόν· μισητόν (Aesch. Suppl. 790). τὸ μὴ εὐχῆς ἄξιον [53]

ἄπευστος· ἀνήκοος

ἀπευτελεῖσθαι· ἀπάρξασθαι

ἀπεύχεται· ἀρᾶται

ἀπέφατο· ἀπέθανεν (πέφατο?)

ἀπέφατο· ἀπείπατο. ἀπεφήνατο

ἀπέφησεν (Menand. fr. CCCCXVII)· ἠρνήσατο

ἀπεφθαρμένον· ἀποθνήσκοντα

ἀπέφθιθεν (ε 110)· ἀπεφθάρησαν

ἀπέφρησαν· ἀφῆκαν. Κρατῖνος Θρᾴσσαις (fr. XI p. 66)

ἀπέφρυσεν (Thessali)· ἀπέξεσεν. ἀπέβαλεν

ἀπέχεσθαι· φεύγειν [65—67]

ἀπέχθεια· ἔχθρα. μῖσος

ἀπεχθέος· ἐχθροποιοῦ [70]

ἀπεχθής (Callim. Cer. 117)· ἐχθρός [72. 73]

ἀπέχθομαι (epici recentiores)· μισοῦμαι

ἀπεχθῶς (Demosth. 61, 25)· ἐχθρωδῶς [76]

ἀπεχοιρίασεν· ἀπεσκίρτησεν. οἱ δὲ ἀπὸ τῶν χοίρων † ἀπέπληξεν

ἀπέχρα (η Plat. Phaedr. 275 B)· ἤρκει [79]

ἀπεχρήσαντο (Aristoph. fr. III p. 1098)· ἀπέκτειναν

ἀπέψα (Eur. I. T. 311)· ἀπέμασ(σ)εν

(ἀπεψήφισται· ἀποδεδοκίμασται)

ἀπεψύχη· ἀπεπνευματίσθη. Αἰσχύλος Κερκυόνι Σατυρικῷ (fr. 99) [84—86]

COD. 21 |γυσμένον — ξύστρα Post 22 legebatur 6143 23 ἀπεσούπαζον ⟨6113⟩ 26 ἀπεῖν 27 ὁλκασιν. οἱ δὲ — ὄψεως. μελανίαν. ἢ ἀντὶ — ἐφνιδίως 31 ἀπεσχαρόφην 33 ἀπεσχηδιάζετο· ἔτ. 36 ἀπήρτησεν 43 ἀπεστυλουν ⟨v. 6121⟩ 60 ἀπέφθιτον 61 κρατῖνοι-
-ες
θρασυ ⟨cf. ἐπέφησαν⟩ 62 ἀπέξεσεν ⟨v. Meinek. Callim. p. 15⟩ 67 μῖσος [6252] ἀπεχθαῖος
ξ οι ει
75 |θρῶς 77 ἀπεχει| — χοίρων 82 Vide ἀποξίφισται 83 |ύχει — κερκυόνησατυρικῶ

HES. 15 ἀπεσπάδαντο· ἀπέστησαν 19 ἀπέστη (Γ 33. Actt. Ap. XII 10)· ἐχωρίσθη 20 ἀπέστηλεν (μ 143)· ἀπῆλθεν 22 ἄπεστιν (Iob. VI 13)· ἀπέχει 25 ἀπεστυφέλιξεν· ἀπέρριψεν. [ἀπέσφηλεν]. ἀπέκρουσεν. ἀποδιέσεισεν (Π 703). ἐδίωξεν (Σ 158) 36 ἀπετέλεσεν· ἀπήρτισεν (Moer. Att.) 38 ἀπετίνυυον (Psalm. LXVIII 5)· ἀπεδίδουν 39 ἀπετίν[ν]υτο (Π 398)· ἀπελάμβανεν 40 ἀπέτισεν (γ 195)· ἀπέδωκεν 41 ἀποτμίγουσι χαράδραι (Π 390)· ἀποτέμωσιν αἱ ὑδρορροαί 45 ἀπευθανατίζειν (II Macc. VI 28)· ..ἀποθνήσκειν 46 ἀπευήκασιν· ἐξηρημέναι εἰσίν ⟨v. 6215⟩ 47 ἀπευθής (γ 184)· οὐδὲν ἀκούσας 48 ἄπευτος· ἀνήκοος. ἢ ἀπαθὴς ὢν παντὸς κακοῦ 53 ἀπεύδα· ἀπη-
οι
γόρευσεν ⟨v. 6243⟩ 65 ἀπέχεχρ (Ω 19)· ἀπέχεσθαι ἐποίει τοῦ χρωτός 66 ἀπέχη· λάβης ⟨ἀνέλῃ⟩ 67 ἄπεχε (Ω 19)· ἐκώλυε 70 ἀπεχθαίρων (Greg. Naz.)· μισῶν 72 (ἀ)πέχθετο (Z 200)· ἐμισεῖτο ⟨v. ἀπήχθετο⟩ 73 ἀπεχθήρω (Γ 415)· μισήσω 76 ἀπέχω· πόρρω εἰμί 79 (ἀ)πέχρησεν· ἤρκεσεν 84 ἀπεψύχοντο (Λ 621)· ἐξηραίνον(το) ἀνέλω ⟨—μφ⟩ 85 ἀπεώρητον· ἀμετεώριστον 86 ἀπεωρούμενον· κρεμάμενον

ἀπεώσατο· ἀπεσείσατο. κατεβάλετο
ἀπέωσται· ἀπωθεῖτο [89. 90]
ἀπηβηκώς (Iones)· τὴν ἀκμὴν παρελθών [92. 93]
ἀπηγμένων· κρατηθέντων. ἀποφερομένων
ἀπηγορευμένα· ἄνομα [96]
ἀπηγορευ[ὑ]μένος· ἀποβεβλημένος
ἀπηγόρημα (Plat. Legg. VI p. 765 B)· ἀπολόγημα
ἀπηγορήσομαι· ἀπολογήσομαι [6200]
ἀπηγκωνισμένος· ἐν σχήματι τὸν ἀγκῶνα ἀποτεταχώς
ἀπηδέσθη (Plat. com. fr. V p. 662· ἀπεβρώθη
ἀπειδέχθετο)· ἄμορφος ἐγένετο ⟨v. Cyr. 11⟩
ἀπηθάλωσεν· ἐξεπύρωσεν. ἢ ἀπέσβεσεν
† ἀπήκει· ἀπέχει ⟨ἀνήκει· ἀν—?⟩. ἢ εἰς ὀξὺ συνάγει ⟨ἀνάγει?⟩
† ἀπηκολλύρισεν· ἐν τῷ παραβεβλῆσθαι ἀπέστροφε. Λάκωνες
ἀπήκοοι· οἱ μὴ ὑπήκοοι [8]
ἀπηλλάξει· ἀπηλ(λ)αγμένος ἔσῃ [10. 11]
ἀπηλεγέως (α 373 al.)· ἀπολελεγμένως. ἀποτόμως. κεκριμένως
ἀπηλοίησεν (Δ 522)· ἀπηλό(η)σεν. ἀπέκοψεν [14]
ἀπήμαντος (Hesiod. Th. 955)· ἀβλαβής. Πῆμα γὰρ ἡ βλάβη [16]
ἀπήμησαν· ἀπεθέρισαν [18]
ἀπή[μ]πλακον (Soph. Tr. 1139)· ἀπέτυχον
ἀπήμων (Λ 415)· ἀβλαβής. ἀπήμαντος. ἀναμάρτητος [21]
ἀπηνές (Ar. Nub. 970 al.)· σκληρόν. ὠμόν [23]
† ἀπηνεμούθη· ὑπ' ἀνέμου ἔπεσεν
ἀπηνέστερον· ἀ(πο)τομώτερον [26]

ἀπήνη (Ω 590 ζ 78)· ἅμαξα. οἱ δὲ ζεῦγος ἡμιόνων
ἀπηνής· σκληρός. ὠμός. χαλεπός. κακός (Hom. alii)
ἀπηξίωσεν· ἀπέβαλεν [30]
ἀπήορα· μετέωρα, ὑψηλά
ἀπήορον· ἀπέχον
ἀπῆραν· ὥδευσαν
ἀπηρεῖς (Empedocl. 411 Stz.)· ἀπήρωτοι, οὐ πεπηρωμένοι
ἀπηρείσατο· ἔπηξεν [36]
ἀπῆρκεν· ἀπεδήμηκεν [38]
ἀπηρτημένη· κρεμαμένη
ἀπηρτημένοι (Demosth. 43, 22)· μακρὰν ὄντες
ἀπηρτισμένον (soloecum)· τέλειον
ἀπήτρια (Dores)· ἀκέστρια
(ἀπηύδα (Soph. Ai. 741)· ἀπηγόρευσεν)
ἀπηύδησαν· ἀπέγνωσαν, ἀπηγόρευσαν
(ἀπηυήκασιν· ἐξηραμμέναι εἰσίν)
ἀπηύρα· ἀφήρηκεν (Ζ 17). ἀφεῖλεν (Ι 273)
ἀπηῦρον· ἀφείλαντο. Εὐριπίδης Ἀνδρομάχῃ (1029) [48. 49]
ἀπήχεια· (Lysias, Dinarchus)· δυσοιωνισμός. ἀπέχθεια. μῖσοσ
ἀπηχής· ἀπεχθής
(ἀπηχθάνοντο (Isocr. p. 137)· ἐμισοῦντο)
ἀπήχθετο (Sappho fr. *41)· ἐμισεῖτο
ἀπηχθημένον· ἀπόβλητον
ἀπηχθημένος· μεμισημένος
ἀπηχῶς· σκληρῶς. ἀπεχθῶς
ἀπήωροι (μ 435)· μακροί, καὶ ἐκτεταμένοι
Ἀπιακὸς ἄρτος· ὁ Μεμφιτικός
ἀπιαλεῖς· ἀποπέμψεις
ἀπίαλος· ῥῖγος [61—63]
ἀπίη· ἀλλοδαπή, ἀλλοτρία

COD. 88 ἀποθεῖτο 98 |όρευμα 9 |λάζεις 17 |θέρησεν 19 ἀπέτυχον. ἀπημύλλαινεν ⟨6024⟩· ἐξηυτέλιζεν. ἀπήμων 24 ἀπηνέβήθη ⟨sic⟩ 27 ἡμίονες 29 ἀπέλαβεν 33 ἀπηῦραν 35 ἀπηρήσατο 37 |μησεν (43 Cf. 6153) 44 ἀπηυδόκησαν ⟨ἤκεσαν?⟩ 45 Cf. 6146 46 ἀφῆκεν 48 δειδές 50 ἀχθεία 52 Cf. 6167 ἀπεχθ|

HES. 89 ἀπηνήνατο (Ps. LXXVI 3)· παρῃτήσατο 90 ἀπεωστόν· ἀπόθητον 92 ἀπῆγε, ἐλεῶς· (......... 93 ....)· σκληρός. ἀπηνής. † ἀπήρητος ⟨-ωτος ad ἀπηρής⟩ 96 ἀπηγόρευται (Greg. Naz.)· κεκώλυται 6200 ἀπηγενεές· ἀποτετα[γ]μένοι (ε 253) 8 ἀπῆκτο (Genes. XL 3)· ἀπηνέχθη 10 ἀπηλγηκότες (Ephes. IV 19)· μηκέτι θέλοντες πονεῖν. ἀναίσθητοι γενόμενοι. ἀποκαμόντες 11 ἀπηλγηκώς· ἀναίσθητος, παρὰ τὸ ἄλγος 14 ἀπημάλδυνεν (Greg. Naz. XIII 115 p. 74 Dr.)· ἤμβλυνεν. ἠφάνισεν 16 ἀπήμβροται (Ο 521)· ἀπέτυχεν 18 ἀπήμονα (Ξ 164)· ἀβλαβῆ. ἀπήμαντ.. 21 ἀπηναῖος (Α 340)· ἀπάν(θρωπ)ος. ὠμός 23 ἀπηνέος (Α 340)· σκληροῦ. ὠμοῦ 26 ἀπηνέμοις (Basil. M. I p. 65 C)· μὴ ἔχουσιν ἀνέμοις ἢ ξηρασία. ἢ ἄποθεν ἀνέμων 30 ἀπηοροί (μ 435)· ἀποκρεμεῖς. † ἀπαρτιζόμενοι 36 ἀπῆρεν (Ps. LXXVII 57)· μετέστησεν 38 ἀπήρξατο (II Paral. XXX 24)· ἀπαρχὰς ἔδωκεν 48 ἀπηχές· ψευδές. ἀηδές 49 ἀπηχεστάτων (Cyrill. Alex.)· ἀειδεστάτων 61 ἀπίδω (Philipp II 23)· ἴδω 62 ἄπιτε. ἔλθετε 63 ἀπίει· ἀπέρχεται ⟨ἄπισι Cyr. Dr.⟩

ἀπίης· πολὺ ἀπεχούσης
ἀπίης γαίης (Α 270)· τῆς μακρὰν ἀπεχούσης γῆς
† ἀπίθετο̄· † ἀπεζημιοῦτο
ἀπιθοῦντι· ἀνυποτάκτῳ
ἀπ' ἰκριόφιν (μ 414)· ἀπὸ τοῦ ἰκρίου. λέγεται γὰρ καὶ ἡ τοῦ κυβερνήτου καθέδρα ἰκρίον
ἀπικρόχολον· τὸ οὐκ ἔχον ξανθὴν χολήν
† ἀπικμῶντο· ἀπεψῶντο ⟨v. ἀφικμῶντο et ἀνικμώμενα⟩ [72]
ἀπινύσσων (Ο 10)· ἀπινύτως ἔχων, οὐ σωφρονῶν. Πινὺς γὰρ ἡ σωφροσύνη
(ἀπιξῖνος vid. ἀπυξῖνος et 6571)
ἄπιος· ἡ ὄγχνη καλουμένη. βοτάνη (Theophr. IX 9, 5) [76]
Ἆπις· βασιλεύς, ὡς Αἰγύπτιοι. καὶ ὁ παρ' αὐτοῖς ἆπις
ἀπιστεῖ· ἀπειθεῖ. Σοφοκλῆς Αἰθίοψ(ιν fr. 29)
ἄπιστος· ἀπαράπ(ε)ιστος. ἀπειθής. Σοφοκλῆς Τρωΐλῳ (fr. 564)
ἄπιχθυς (Aristoph. fr. VI p. 1173)· ὁ μὴ ἐσθίων ἰχθῦν [81]
ἀπλᾶ· εὐθέα [83]
ἀπλαῖ (Demosth. 1267, 23 Strattid. com. fr. IV p. 772)· ὑποδήματος εἶδος (Λακωνικοῦ)
ἀπλάκητον· ἀναμάρτητον. Σοφοκλῆς Τραχινίαις (120)
(ἀπλανῆ
(ἄπλετα)· πολλὰ † Κύπριοι)
ἄπλετον· πολύ, μέγα. ἀμέτρητον, οἷον ἄπλεθρον [89]
ἄπλευρος· ἡ μὴ ἔχουσα βοηθείαν, ἢ πλευρὰν
ἀπλήγιος (Eupol. fr. XXVII[b] p. 518)· ἁπλοῦς
ἀπληγίς (Aristoph. fr. XVIII p. 964 Soph. fr. 704)· σύμμετρος χλαῖνα, οὐ δυναμένη διπλωθῆναι
ἀπλήμων· ἄπληστος
ἀπλῆν· ἀκακούργητον [95]
ἄπλητον (Hesiod. Theog. 315)· ἀπρόσιτον [97]
ἀπλοΐδας (Ω 230)· ἱμάτια μικρά
ἀπλοϊκός· ἁπλοῦς
ἀπλοϊκώτερος· ἁπλούστερος
ἀτίζει (Nic. Alex. 193)· ἀτιμάζει. ἢ ἀφροντιστεῖ ⟨ad ἀτύζει⟩
ἀτίζεις (Eur. Rhes. 327)· ὑπονοεῖς.
ἀτίζεται· ἀτιμάζεται
ἀτίζων (Y 166 Eur. fr. 349)· ἢ τὸ ⟨ἤτοι?⟩ ἀφροντιστῶν. ἢ ἄταις περιβάλλων, ἤγουν βλάβαις
ἀτίθασσον· ἀνήμερον. Τιθασσεύειν γὰρ λέγεται τὰ ἄγρια θηρία ἡμεροῦν καὶ χειρόηθη ποιεῖν
ἀτιμαγέλας (Soph. fr. 919)· ὁ ἀτιμάζων. καὶ τῇ ἀγέλῃ μὴ συνυποταττόμενος [71]
ἀτιμαλφοῦσι· τιμὴν οὐχ εὑρίσκουσιν [73]
ἀτίνακτα· ἄσειστα [75. 76]

ἀ.τισανδρεῖν· ἀτιμάζειν ἄνδρα, καὶ ὑπερηφανεῖν
ἄτισεν· ἠτίμησεν. ἄτιμον ἐποίησεν
ἀτίσεις· ἀτιμάσεις. Αἰσχύλος Κερκύωνι (fr. 100) [80—82]
ἀτῖται (Aesch. Ag. 71?)· ἄδικοι ⟨ἄδοξοι⟩
ἀτιτάλλει (Apoll. lex. 46, 13)· ἀγαπᾷ [85]
ἀτίτην· ἀτιμώρητον. ἄπορον. ἄτιμον. τὸν μὴ ἔχοντα ἀποτῖσαι [87. 88]
† ἀτίτηστον· ἀπρομηθέ[υ]ς ⟨v. ἀρετήσιον⟩
ἄτιτος (N 414)· ἀτιμώρητος. κατὰ στέρησιν τῆς ἄτης
Ἄτλαντα ὠμοφόρον
ἄτλας· ἄτολμος. ἀπαθής. καὶ ἡ διϊοῦσα εὐθεῖα ἕως τῶν πόλων
ἀτλατεῖ· ἀγωνιᾷ. ἀθυμεῖ. φοβεῖται
ἀτλατέω· ἀγωνιῶ
ἀτλησία· ἀμηχανία. ἀνυποστασία
ἄτλητον (T 367)· ἀνυπομόνητον [97]
ἀτμενία· δουλεία. δυστυχία ⟨v. λατμενεία⟩
ἄτμενον οἶτον· δουλικὸν μόρον
ἄτμενον (Archil. fr. 154)· ἄπαυστον οἰκέτην
† ἀτμησίφρων· οὐδεμιᾶς τόλμης ἔννοιαν ἔχων
ἄτμητον· ἀμέριστον, ἀτραυμάτιστον Σοφοκλῆς Ἀμφιτρύωνι (fr. 121)
ἀτμιδοῦχον· ἀτμίδα † ἔχων [8204]
ἀτμίς· ἀναθυμίασις. σπινθήρ. ἀνάδοσις
ἀτμοῖς· ἀναδόσεσιν
ἀτμός· ἡ ἐκ τοῦ ὑγροῦ ἀνάδοσις. ἢ καπνός. ἢ ἀτμίς. ἢ πνοή
ἀτμ....· ἀναθυμιάζουσαν (Xen. Anab. IV 5, 2?)
ἀτοκῶ· βοτάνη ⟨—κώ⟩
ἄτομα· λεπτά, τομὴν μὴ δυνάμενα λαβεῖν

COD. 37 ἀτεράμοισι ⟨sic⟩ Cyr. 171 44 ἀτέρμωνες· ἄριστοι ⟨45 ἀτέρυι· ἑτέρωσε?⟩ Post 64 ἀτιαλλεῖ· ἀγαπᾷ; cf. 8184 ⟨65 EM. 168, 12⟩ 66 |εἷς πένεις 67 πένεται ἀτιμάζεται 74 ἀτειν| 77 ἀντισ| 78 |μησεν ἔβλαψεν ⟨ad ἄτησεν⟩ 85 ἀτιταί, ἄδικοι. ἀτίτηλα· 92 ἠδηδοῦσα — πυλῶν 93 ἀγνοεῖ 96 ἀτλητόν 99 ἀτμενονοιτόν — μωρόν ⟨v. ὑπάτμενοι⟩ 8201 |ήφρων· οὐδὲ 8 ἀτμύσαν?

HES. 40 ἀτέρεμνον (ψ 167)· σκληρόν 41 ἀτερήμενον (Λ 498)· χωρὶς καθήμενον 42 ἀτέριγε (O 292)· χωρίς 43 ἀτερμάτιστος· ἀβέβαιος, ἀθεμελίωτος (v. l. in Phil Iud. pro ἀνερμάτιστος) 47 ..ατερος· ὁ ἕτερος, ὁ εἷς τῶν δύο ⟨imo ὁ θάτερος Menand. fr. CC⟩ 49 † ἀτεύκτου· ἀνεπάφου. ἀτερπές ⟨ad ἀπευκτόν⟩ 50 ἄτακτον· ἀσκεύαστον ⟨ad ἄτευκτον⟩. ἀσύνθετον 51 ἀτερέψατο· ἠθέτησεν ⟨v. 458. 464. 784. 854⟩ 52 ἀρετήσιον· ἀπρομηθές ⟨v. ἀτίτηστον⟩ 53 ἀτετόν· λευκόν 54 ἀτετῶς ⟨l. ἀξέστως⟩· ἀφροντίστως Ad 55: ἁπλῶς, ἢ ⟨Moeris p. 46⟩ 59 ἀτήνειν· μοχθεῖν ⟨v. ἀστηνεῖ⟩ 62 ἀτεωρόχοι· ἄγαν αὐθάδεις ⟨ἀγέρωχοι⟩ 63 ἀτηρής· ἀκαταπόνητος ⟨ἀτειρής⟩ 71 ἄτιμος (A 171)· ὁ μὴ ἔχων τιμήν 73 ἀτιμοτάτη (A 516)· ἄτιμος 75 ἀτινοῦν (A 289)· ἅ τινα οὖν 76 ἀτηρὴς χαλκός (T 233)· ἀκαταπόνητος σίδηρος 80 ἀτισιλινοῖς (E 487)· περὶ τὰ λινὰ ἐξαμάτων δέσιν 81 ἀτίταλ(λ)ον (Ξ 202)· ἔτρεφον 82 ἀτίταλ(λ)ε (B 271)· ἀγάπα. μετὰ ἐπιμελείας τρέφε 85 ἀτίτηλα (Ω 60)· ἀνέθρεψα 87 Ἀτιόλοφος· οὕτως τὸ Ἴλεον ἐκαλεῖτο πρῶτον (Diogen. prov. III 10) 88 ἀτιτεῖν· ἀδικεῖν ⟨ἀλιτεῖν⟩ 97 ἄτματα (A 314)· καθάρματα 8204 ἀτμίς (Sapient. VII 25)· ἀπαύ(γ)ασμα. πνοή

ἀτονία· ἀδυναμία [12. 13]

ἀτόπαστον· ἀνείκαστον. Τοπάζειν γὰρ τὸ εἰκάζειν· καὶ τὸ ὑποτοπάσαι δὲ ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις (fr. 114)

ἄτοπα· ξένα. ἐνίοτε δὲ ἄτοπον τὸν δεινὸν καὶ ἔκθεσμον καὶ παρηλλαγμένον, ἢ καὶ πονηρὸν καὶ αἰσχρὸν λέγει καὶ χαλεπόν

ἄτοπος· παράδοξος λόγος (Epicrat. fr. I 12 p. 370), ἢ θαυμαστός

ἄτρακτος (Soph. Tr. 714)· βέλος, μεταφορικῶς [ad 17]

ἀτρακτυλίς (Xen. Cyneg. III 15)· φυτὸν ἀκανθῶδες. οἱ δὲ τὴν ἀγρίαν κνῆκον (Theophr. VI 4, 3)

ἀτραπίζειν (cf. Pherecr. fr. X p. 265)· βαδίζειν. ὁδοιπορεῖν

ἀτραπιτοῖς (Nic. Ther. 917)· ὁδοῖς

ἀτραπός (Apoll. lex. 46, 6)· ὁδὸς τετριμμένη, μὴ ἔχουσα ἐκτροπάς, ἀλλ' εὐθεῖα[ν] [22. 23]

ἀτρεκέως (B 10 al.)· ἀληθῶς. ἀκριβῶς

ἀτρεκῆ· ἀληθῆ. ἀκριβῆ

ἀτρεκήσασα· ἀκριβωσαμένη. Εὐριπίδης Βουσίριδι (fr. 317)

ἀτρέμας (B 200 al.)· ἡσύχως, ἡσυχῇ [28]

ἀτρεμῆσαι· ἡσυχάσαι ⟨v. ἠτρεμεῖ⟩

ἀτρέμητον ⟨ἢ. τὸν⟩· ἀσάλευτον

ἀτρεμία (Xen. Cyr. VI 3, 6)· ἡσυχία

ἀτρεμέων ⟨—ίων Dorice?⟩· ἡσυχάζων

ἄτρεπτον· ἀκίνητον

ἀτρέστοις· ὀξυβλέπταις

ἄτρεστον (Soph. Ai. 365)· ἀφόβητον [36—38]

ἀτριάκαστοι· οἱ μὴ μετέχοντες τριακάδος. Ἀθηναῖοι (C. I. I p. 104 B)

ἀτρίζεται· πήνεται ⟨v. ἀτίζεται⟩

ἄτριον· ὕφος λεπτόν ⟨v. ἤτριον⟩. καὶ εὐάτριοι· εὐυφεῖς [42]

ἄτροπον· ἄτρεπτον

† ἀτροπίη· ἀωρία. μεσονύκτιον ⟨ἀβροτίη?⟩

(ἄτροπον· ἀπρεπές v. ἄπροπον)

ἄτροπος· ἀμετάτρεπτος

ἄτροφος (Alcman. fr. 26)· τυρὸς ὁ πησσόμενος ὑπὸ Λακώνων [48]

ἀτρυγέτοιο (Α 316)· ἀκάρπου ἀβύσσου καὶ ἀπείρου [50]

ἀτρύγετος· ἄκαρπος. ἀκαταπόνητος [52]

ἀτρυγηφάγου (Archil. fr. 95)· πολυφάγου. Τρύγη γὰρ ὁ Δημητρ[ε]ιακὸς καρπός ⟨v. ὀτρυγηφάγου⟩

ἄτρυτον· ἄπονον (Herod. IX 51). ἄκοπον. ἄπληκτον

ἄτρυτος· πολύπονος

ἀτρυτώνη (B 157)· ἄτρυτος ἐν μάχῃ. ἡ Ἀθηνᾶ

ἀτρώτως· ἀνικήτως. ἀκαταπονήτως. ἀκοπιάστως

αττα· τινά. ἅτινα. † ὁμοίως ἡ ὁ δὲ στενη. καὶ προσφώνησις φιλοφρονητικὴ νέου πρὸς πρεσβύτερον καὶ τροφέα, ὡς ἡ πάππα πρὸς τὸν πατέρα. σημαίνει δὲ καὶ ἅτινα καὶ ὁπόσα ⟨v. ἅσσα⟩. καὶ ψιλῶς, ταχέως ⟨ad φ 369⟩

ἄττα· τινά. ὀλίγα τινά ⟨ad ὀλίγ' ἄττα⟩. καὶ τὸ ἄττα γε(ραιέ Ι 607)

ἀτταβυγάς (Arist. fr. I p. 1127)· εἶδος ὀρνέου ⟨ἀτταγᾶς?⟩

Ἀτταγάθη· Ἀθάρη παρὰ τῷ Ξάνθῳ

ἀτταλαγώσεται· μολυνθήσεται [63—65]

ἀττάλη· † φάρυξις ὑπὸ Φρυγῶν

ἀτταλίζομαι· πλανῶμαι. Σικελοί

ἄττανα· τήγανα. καὶ πλακοῦς ὁ ἐπ' αὐτῶν σκευαζόμενος ......

ἀττανίδες· πλακοῦντες, ἔνθρυπτοι

ἀττανίτας (Hipponax)· τηγανίτας

ἀττάραγος (Callim. epigr. XLIX 9)· τὸ ἐλάχιστον. οἱ δὲ τὰς ἐπὶ τῶν ἄρτων φλυκταίνας. οἱ δὲ τὰς καλουμένας ψίχας (Attici)

ἀττάρυμα· πόμα. ῥόφημα Κρητικόν

ἄττασι· ἀνάστηθι (Λάκωνες)

COD. 18 ἀτρατρακτύαλος 28 ὑγεία 40 πένεται 47 πισσόμενος 48 ἀτριγέτοιο· ἄκαρπον 55 ἀτρύπονος 56 ἄτρωτος 57 ἀκατ. ἀκοπ. legebantur post ἀτρυτώνη 58 |νητικὸς — παπα Post 59 ἄττει· πηδᾷ, ἅλλεται ⟨pro ᾄττει⟩ 60 ὀρνέου καὶ τὸ ἀττάγε·· Post 65 ἄττεσθαι· ὁ. στ. 71 ἀττάραχος — ψυγας 72 σόφισμα 73 ἀττασία

HES. 12 ἄτοπα (gl. Iob. XXXIV 12)· πονηρά, αἰσχρά 13 ἀτοπία (LXX)· αἰσχρότης. πονηρία Ad 17: καὶ ὁ ἄδρακτος 22 ἀτρέχως· ἀτρίβως 23 ἀτρεκές (E 208)· ἀληθές 28 ἀτρέμη· ὑγιέα ⟨ἀρτεμῆ⟩ 36 Ἀτρείδα δέ (Α 16)· τοὺς Ἀτρέως παῖδας 37 Ἀτρείδαο (Δ 203)· τοῦ Ἀτρέως παιδός 38 Ἀτρείδης (Α 12)· ὁ τοῦ Ἀτρέως παῖς Ἀγαμέμνων 42 ἄτρομον (E 126)· ἄφοβον 48 ἀτριτοις· ἀκαταπονήτοις 50 ἀτρύνων· ἐγείρων 52 ἄτρυγον καθαρόν (Exod. XXVII 20)· μὴ ἔχον τρύγα 63 ἀτταλασίξαι· ὀμόσαι ⟨v. ἀπαλασίξαι⟩ 64 ἀττελάβη· ἀκρίδας 65 ἀττέλαβος (gl. Nahum III 17)· ἀκρὶς μικρά. καὶ εἶδος κνωδάλου, ζώου μικροῦ καὶ λεπτοῦ [γὰρ ⟨l. γράφεται⟩ καὶ ἀκρίδος]

(ἀτταφούλιττορ· σταφυλῖνος Λάκωνες ⟨v. ἀπαφούλιστορ⟩

ἇττει (Melagen. fr. I 10 p. 753)· πηδᾷ, ἅλλεται

ἄττεσθαι (Hermippus)· διάζεσθαι στήμονα ⟨v. ἀΐττεσθαι, ἄσμα, ἀτρίζεται⟩)

Ἄττης (Theopomp. com. fr. V p. 801)· τὸν Ἄττην φασί

Ἀττικὰ γράμματα (Demosth. 1370, 28)· τὰ ἀρχαῖα ἐπιχώρια

Ἀττικουργῆ (Menand. fr. CCCCXXVIII)· τὰ ἐπὶ τῆς Ἀττικῆς εἰργασμένα

Ἀττικῶς· Ἀθηναίως

† Ἀττίς· Ἀθῆναι

ἇττον(τ)ες (Plat. Theaet. p. 144 A)· ὁρμῶντες. πηδῶντες. λέγεται δὲ ὡς ἀπὸ τῶν σκορπίων

ἇττουσα· ὁρμῶσα. πηδῶσα

ἀτύζει (cf. Nic. Alex. 193)· ἐπιτιμᾷ. ταράσσει. ἀπολύει. φοβεῖται

ἀτυζηλόν· φοβερόν

ἀτύζεσθαι· φοβεῖσθαι. ταράσσεσθαι. ἀπὸ τῆς ἄτης

ἀτυζομένη (Soph. El. 149)· φοβουμένη. θορυβουμένη

(ἀτυζόμενοι Z 41)· ταραττόμενοι ⟨ἔνη cod.⟩

ἀτυζόμενος (Eur. Tro. 809)· λυπούμενος. ἐκπλησσόμενος

ἄτυκτον· ἄκοσμον ⟨ad ἄτακτον?⟩. σκληρόν. ἀκατασκεύαστον

† ἀττύλλα· ἀγκύλη ⟨v. ἀρτύλλεν⟩

ἀτυλόν· μικρόν. ἀγενές

† ἀτυπῆδες· κριθαὶ ἀπίτυροι, λεγόμεναι ἀλέπυροι ⟨v. πήτεα⟩ [94]

ἀτυχήσεις (Eupol. fr. XXV p. 472)· ἀποτεύξεις [96. 97]

ἀτυχῶν· μέτριος

† ἄτωρ· ἡ μελία ὑπὸ Αἰγυπτίων

ἀτωμένη (cf. Soph. Ant. 17)· βλαπτομένη. στερισκομένη. [8301]

αὖ· πάλιν. ἢ ἐπὶ τοῦ δή (E 1) συνδέσμου.

αὖαι· ξηραί. φθαρταί

αὐαίνεται· ξηραίνεται. φθείρεται

αὐαινομένοις· ξηραινομένοις. φθειρομένοις [6]

αὐαλέον· λίαν ξηρόν

Αὔαλος· ὁ Διόνυσος ⟨v. Δύαλος⟩

αὐανθείς (Aesch. Choeph. 260)· ξηρανθείς

αὐαρά· τὰ Ποντικὰ κάρυα ⟨v. ἄρυα, ἄλαρα⟩ [11]

αὐγάζομαι (Ψ 458)· βλέπω

† αὔγαρος· ἄσωτος ὑπὸ Κυπρίων

αὐγάζουσα· ὁρῶσα

αὐγάσασθαι· ἰδεῖν [16]

αὐγεῖν (Cretes)· ἀλγεῖν [18]

αὐγῶ· αὐγάζομαι [20]

αὐδάς· φωνάς

αὐδᾶται (Eur. Phoen. 126)· λέγεται

αὐδή· φωνή [24]

αὐδήεσσα (ε 334)· ὀνομαστή. ἔνδοξος [26. 27]

αὐδῶ (Tragici)· φωνῶ, λέγω

αὖε· ψιλῶς μὲν ἐφώνει (Λ 461), ἐβόα, δασέως δὲ καὶ ἐξέκαιεν, ἀνῆπτε πῦρ

ω

† αὐεοῦλλαι· ἄελλαι. παρὰ ἄκλ ⟨Εὔκλῳ⟩

αὐεκίζει· σφακελίζει. Κύπριοι

αὐερός· σκιά ⟨ἀνέρος· σκιᾶς?⟩

αὐερύοντα (Θ 325). εἰς τοὐπίσω ἕλκοντα

αὐῆναι· αὖσαι

αὐετῆ· τὸν αὐτοετῆ ⟨v. 1430⟩

ἄυητον (cf. I 5)· ἔπνεον

αὔθαδες· ἐξουσιαστικόν

αὐθάδης· ὑπερήφανος. θυμώδης. παράνομος. αὐτάρεσκος

αὐθαδία (Antiph. fr. XIII 4 p. 139)· προπέτεια [40]

(αὔθαιμοι· ἀδελφοί)

αὐθαίρετοι· αὐτεπάγγελτοι. αὐτοπροαίρετοι, αὐτάρεσκοι. ἑκούσιοι (Eur. fr. 294). αὐτόκλητοι

αὐθέκαστα· ἁπλᾶ (Posidipp. fr. XIII p. 527). αὐστηρά

COD. 74. 5. 6 legebantur post 5912. 8259. 8265 84. 5. 6 ἀττ— 85 ἀττύζηλον· φ| 86 ἐπὶ 98 ἀτυχών 8607 αὐάλεον ⟨18 χροιά C 171, χαρά?⟩ 34 αὐῆλαι· αἶσαι 36 αὐήτω 37 αὐθάδες 38 αὐτάρεστος 39 |τία 42 |ται· αὐτεπάγγελτον

HES. Ad 85 ἀφανές. ἄσημον ⟨ad ἀΐζηλον B 318⟩ 94 ἀτυχής (Z 468)· καταπλαγής 96 ἀτυχθείς (Z 468)· ἀποστραφείς. ἐκπλαγείς 97 ἀτύχημα· ταλαιπωρία 8301 αὖα (ε 240)· ξηρά .... Ad 2 ἢ ἐπὶ τοῦ παρόντος ⟨v. αὖθι⟩ 6 αὖον· ξηρόν 11 αὐάς (M 137)· ξηράς 16 Αὐγεῖαι (B 532)· πόλεως ὄνομα 18 αὐγή· χρεία. λαμπρότης. καὶ φῶς
δ
⟨v. γάνος⟩ 20 αὖγα (Ξ 195)· λέγων φώνει 24 αὐδηέντων (ζ 125)· τῶν λόγων καὶ φωνὴν ἐχόντων 26 αὐδή (Σ 419)· φωνή, καὶ φθόγγος 27 αὐδήσας (E 786)· φωνήσας, λέξας 40 αὐθαδιάζεται· ὑπερηφανεύεται ⟨rec.⟩

αὐθέκαστος· ἀκριβής. αὐστηρὸς τῷ λόγῳ. ἀπαρακάλυπτος, ἢ τῷ τρόπῳ ἁπλοῦς (καὶ) ἐλευθέριος. ἀξιόπιστος. αὐτάρεσκος [45. 46]
(αὐθέντης· αὐτόχειρ. φονεύς) [48. 49]
αὐθημερόν (e. c. Ar. Lys. 113)· σήμερον, αὐτῇ τῇ ἡμέρᾳ (Thuc. II 12, 2)
αὖθι (Λ 492)· ἐπὶ τόπῳ. αὐτόθι
αὐθιγενής· αὐτόχθων. γνήσιος. ἰθαγενής
αὐθιγενές· ἐγγενές, ἐπίγονον [54]
αὖ θίξας· κινήσας
αὖθις· πάλιν, ἐξ ἀρχῆς, εὐθύς. [ἐπὶ τόπου] ἢ μετὰ ταῦτα· τὸ δὲ αὖτις· ἐκ δευτέρου· τὸ δὲ αὖθι τοπικῶς διχῇ, ὡς ἐπὶ τοῦ παρόντος·

εἰ μὲν κ' αὖθι μένων (I 412)

ἀντὶ τοῦ ἐν τούτῳ (τῷ) τόπῳ, ποτὲ δὲ ἀναφορικῶς·

αὖθι λιπεῖν ἵππους τε καὶ ἀνέρας (M 111)

†αὐθόρης· αὐτὸς βλέπων
αὐθωρόν (Hippocr. III p. 274)· σύντομον [59. 60]
†αὐθορίτους· συντόμους
αὐΐαχοι· ἄνευ βοῆς. μετὰ (μεγάλης) ἰαχῆς (N 41). ἢ αἴαχοι· σιωπῇ. ἄφοβοι. καὶ αὖοι ἠχοῦντες ⟨v. αἴαφοι⟩
ἀυϊδέτου· ἀφανοῦς, ἀοράτου
ἀ(υκ)άν· ἀλκήν. Κρῆτες
αὐκήλως· ἕως ὑπὸ Τυρ(ρ)ηνῶν
†αὐκηρεσίη· ἀφθάρτη ⟨v. 2401⟩
αὐκυόνα· ἀλκυόνα. Κρῆτες
αὐλὰ πανδέκτης
αὐλαία· ἐν αὐλῇ διατρίβουσα. ἢ τὸ τῆς σκηνῆς παραπέτασμα (Hyperides)
αὔλακας· κοίλους τόπους
αὖλαξ· τὸ σχίσμα τοῦ ἀρότρου. διῶρυξ. σπήλαιον
αὐλαρός· αὐλωρός, οἰκοφύλαξ
αὐλάχα (Thuc. V, 16, 2)· ἡ ὕννις
αὐλεία (Arist. fr. VIII p. 1050)· ἡ τῆς αὐλῆς θύρα
†αὐλειταί· ἀκροαταὶ αὐλοῦντες
(αὐληουροί· φύλακες)
αὔληρα (Epicharm.)· ἡνίας. [μάνδρας]
αὔληρον· χαλινόν. σχοινίον· οἱ δὲ σπεῖραν
αὐλῆς· ἐπαύλεως·

αὐλῆς ἐν χόρτῳ (Λ 774)

ἐν τῷ περιφράγματι τῆς αὐλῆς περιωρισμένῳ. καὶ γὰρ τὰ ὅμορα σύγχορτα (Eurip.) λέγουσιν

αὐλῆς· τῆς κατ' ἀγροὺς ἐπαύλεως λέγει
αὐλητηρία· αὐλῶν θήκη
αὐλητήριον· τόπος παρὰ Ταραντίνοις
αὐλητής· εἶδος σφηκός [83—85]
αὐλίζομαι (Eur. El. 304)· μένω, ἐνδιατρίβω
αὐλιζομενάων (μ 265)· εἰς κοίτην ἐλαυνομένων [88]
αὐλίξαι· στασιάσαι ⟨σταδ—?⟩. δραμεῖν
Αὐλίς· πόλις †Ἤλιδος ⟨ad Ἆλις⟩. ἢ †κίλλα τις δίδυμος: ἐπίθετον Ἀπόλλωνος, ὁμοίως καὶ Διός ⟨ad Ἀλαῖος et Ἀλεῖος (Callim. fr. XLIX)⟩
†αὐλίξ· φλέψ ⟨Cyr. 39. 63⟩
αὐλίσκοι· ἐνώτια. Πέρσαι ⟨Περγαῖοι⟩
αὐλισμός· διανυκτέρευσις
(αὐλίτην (Soph. fr. 459)· τὸν τοῦ κόπρου ἐπιμελούμενον τῶν προβάτων)
αὐλός (K 13)· κιθάρα. ἢ σῦριγξ αὐλόν (P 297)· τὴν ῥύσιν τοῦ αἵματος [96]
αὐλουρός· οἰκοφύλαξ
αὐλωλάζειν· τὸ συρίττειν διὰ τῶν δακτύλων
αὐλών· † στενὴ ἀναφορὰ τοῦ ὕδατος. καὶ λειμών, ἢ ἔφυδρος τόπος
αὐλῶνα (Nicand. fr. 31)· Αἰσχύλος (fr. 411) καὶ τὴν τάφρον καὶ τὴν πυράν
αὐλῶνες· οἱ ἐπ' εὐθείας τόποι. φάραγγες. (ἢ) τόποι πλατεῖς ἐπὶ τὰ ὄρη
αὐλωνίζουσα· ἐν αὐλῶσι διάγουσα ⟨v. ἀλω—⟩
αὐλώνων (Eur. Rhes. 112)

COD. Post 44 αὔθεμοι· ἀδελφοί 55 αὐθίξας 56 αὐτῆς ἐκ — καὐθιμένων — λυπεῖν 62 αὐισχοι — ἰσχῆς — ἄισχοι — αὐλοί 71 διόρυξ 75 αὐλίτας· τοὺς ἀκροατὰς τοὺς αὐλοῦντας Cyr. Dr. 75b legebatur αὐλίκουροι post 87 77 αὐλήρας ⟨v. 141 et εὔληρον⟩ 77 αὐληρόν· χαληνόν 78 περιορ| συγχόρτω 82 σφηκὸς. αὐλήτην· ...προβάτων Post 87 legebatur 8375b 97 |ρyός 98 σύρειν 99 αὐλῷ 8400 αὐλῶνες· οἱ ... τόποι. Αἰσχύλος ... πυράν. Σοφοκλῆς ... εἶπεν. αὐλωνίζουσα ... διάγουσα. αὐλώνων· φάραγγες ... ὄρη

HES. 45 αὐθεντεῖν (I Tim. II 12)· ἐξουσιάζειν 46 αὐθέντης (Sapient. XII 6)· ἐξουσιαστής 48 αὐτεπισπάστῳ· αὐθαιρέτῳ 49 αὐθαιρέτως (II Macc. VI 19)· ἑκουσίως 54 αὖθι μένων (Λ 492)· ἐπὶ τόπῳ μένων ad 56 ἤγουν ἄνδρας 59 αθρίζειν· ῥιγοῦν. Κύπριοι (cf. 8426) 60 αὐθύπαρκτον· αὐτοῦπαρκτον 83 αὐλία θύρα· πυλών (Moer. p. 88) 84 Αὐλίδα· λιμένα ⟨v. ἐς Αὐλίδα B 303⟩ 85 αὐλίζεται (Iob. XXXVIII 19)· κοιμᾶται. φυλάττε[τα]ι. κοιτάζεται 88 αὐλίν (I 232)· κοίτην. ἐπαυλισμόν 96 ἀΰλους (Greg. Naz.)· ἀσωμάτους

αὐλωπίαι· αὐλοὺς ἔχουσαι
αὐλωπίας· κοιλόφθαλμος [6]
αὐλῶπιν· αὐλοὺς ἔχουσαν. (Σοφοκλῆς fr. 727 δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν)
αὐλῶπις (Λ 353)· εἶδος περικεφαλαίας, παραμήκεις ἐχούσης τὰς τῶν ὀφθαλμῶν (ὀπάς) καὶ εἰς ὀξὺ ληγούσης. οἱ δὲ ἐκτεταμένον ἔχουσα τὸν λόφον
αὐλωτοὶ φιμοί (Soph. fr. 318)· οἱ κημοί. διὰ τὸ τοῖς κημοῖς κώδωνας προσῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο
αὖμα· ἅλμη ὑπὸ Κρητῶν [11. 12]
αὔξησις· βλάστησις
Αὐξίδημος· Ἑρμῆς ἐπὶ τῆς ἱδρύσεως ⟨ἀπὸ τῆς ἀδρύνσεως?⟩
(αὐξίς· Phrynich. com. fr. VII p. 600)
αὖοι. ξηροί
αὖον (Μ 160)· ξηρόν
αὔονα· ἄυλόν. ξηρόν. νεκρόν [19]
(α)ὖ πάλιν· πάλιν αὖθις [21]
αὔραν· πνοὴν λεπτήν
αὖραι· πνοαί [24]
αὐριβάτας· Αἰσχύλος τὸ αὐρὶ ἐπὶ τοῦ ταχέως τίθησι· καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ (fr. 274) οὕτως φησὶ τὸ ὄνομα ταχυβήμων
αὐρίζειν· ῥιγοῦν (Κύπριοι). καὶ τὸ εἰς αὔριον ὑπερτίθεσθαι ⟨cf. 8359⟩
αὖροι· λαγοί. Ἴσαυροι
αὖς· αὐτός. Κρῆτες καὶ Λάκωνες
ἀῦσαι· βοῆσαι, κλαῦσαι (ι 65). φλέξαι ⟨ad αὖσαι⟩ [30—32]
† αὐσαῖς· πνοαῖς. κραυγαῖς
αὐσόν· ξηρόν
αὖσος· ἄλσος. Κρῆτες

αὐσταλέος· κατάξηρος. αὐστηρός. αὐχμηρός (τ 327). ἀστόλιστος
αὐστηρός· σκυθρωπός. ξηρός
† αὐστήρ· μέτρου ὄνομα ⟨ἀρυστήρ?⟩ [39—41]
αὐτάγγελοι (Thuc. III 33, 2)· ἑαυτοῖς χρώμενοι ἀγγέλοις [43—46]
αὐτάγητοι· ἀγάμεναι ἑαυτὰς καὶ θαυμαστικῶς ἔχουσαι ἑαυτῶν, Ἴων Ἀλκμήνῃ (fr. 8). ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων (fr. 142) οὕτω κέχρηται
(αὐτάγρετα [π 148])· αὐτόλημπτα
(αὐτὰ κέλευθα [Μ 225])· τὴν αὐτὴν ὁδόν
† αὐτάλκης· ζωμός. καὶ ὁ αὐτάρκης
αὔταν· αὐτῶν (Callim. Cer. 133), ἢ αὐτήν (Callim. L. M. 22)
αὔτανδρον· σὺν αὐτοῖς τοῖς ἀνδράσιν
αὐταιώρητος· ὑφ᾽ ἑαυτοῦ μετεωριζόμενος ⟨spur.?⟩
αὐτανίδας· αὖθις πάλιν [55]
† αὔταντας· ὁ προεστὼς τινος πράγματος. καὶ αὐθεντῶν
αὐτάρ (Γ 1)· δέ [58]
αὐτάρεστος· ὁ ἐφ᾽ ἑαυτῷ ἀγαλλόμενος [60. 61]
αὐτάρκης· ἱκανῶς .... [63—66]
αὐτεξούσιος· ὁ ἀφ᾽ ἑαυτοῦ ἐξουσιάζων
αὐτεπίβουλος· αὐτοφονεύς
αὐτερέται (Thuc. I 10, 4)· αὐτοὶ ἐρέσ(σ)οντες [70]
ἀυτή· ἐπὶ μὲν τῆς φωνῆς·
ἀυτὴ δ᾽ οὐρανὸν ἷκεν (Β 153)
ἐπὶ δὲ τῆς μάχης·
ῥεῖα δὲ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ (Λ 802 sp.)
αὐτῇ βίᾳ· τῇ δυνάμει

COD. 5 αὐλο| κυλωπίας Ruhnk. 8 |μήκης — ἔχουσι τὸν 9 |τοίφιμοι — |σόντες 10 αὖμα — κριτῶν 13 .υξις· αὐξ. βλ. 14 l. q. Ἀδρεύς 18 αὐλόν ⟨Formatur ut τήφων αἶθων⟩. An αὐονά· αὐχμός Aesch. Eum. 332? 22 .ὑπαλιν 25 αὔριον — |βήλων 27 αὐροί· λόγοι 31 αὐσαντέσων 35 ἄλλος ⟨41 γλωττῶν Ἰταλικῶν Cyr. Athanas.⟩
ῶς ος
62 ἱκανός 67 αὐτεξούσιον 71 ἧκεν — κάμητες κεχμηκότας

HES. 6 αὐλώπιδι (Ε 182)· στενὴ περὶ τοὺς ὀφθαλμούς 11 αὔξας (Ε 81)· ὁρμήσας 12 αὔξην· αὔξησιν (Moer. Att.) 19 αὔονος ξύλον· ξηρόν ⟨imo ξύλον αὖον ὅσ... Ψ 327⟩ 21 ἄυπνους (Ι 325)· κακοῦπνους 24 αὔη· πνοή (ε 469). ἢ ἄψηται (ε 490) 30 αὐρότερον· ἀσθενέστερον ⟨ἀφαυ—⟩ 31 ἀϋσάντων (Β 334)· κραυγασάντων 32 ἀΰσας (Δ 508)· φωνήσας, κράξας 39 Αὐσονίοις· ὑπὸ τὴν Ἰταλίαν 40 Αὐσονίῃσι· Ῥωμαϊκοῖς 41 Αὐσονίων· Ἰταλῶν 43 αὐτακέλευθα (Μ 225)· τὰς αὐτὰς ὁδούς 44 αὐτάλεν (Ν 27)· ἐσκίρτα 45 αὐτάγρετα (π 148)· αὐθαίρετα. ἑτοίμως λαμβανόμενα 46 αὐτάδης· αὐτὸς ἐφ᾽ ἑαυτοῦ ⟨αὐτοδαής — διδαχθείς⟩ 55 αὐτὰρ δή. ἢ εὐθέως. ἢ ἐπειδή Ad 57: ....· ἐγὼ δέ 58 αὐτὰρ ἔπειτα (Α 51)· μετὰ δὲ ταῦτα 60 αὐτόγυον (Hesiod. Opp. 433)· μονόβολον 61 αὐτάρ· αὐτομάτη, ἑκουσία 63 αὐτάρο· ὁ δέ, ἢ ὁ δ(ή) 64 αὐτὰρ ἐγώ· ἐγὼ δέ 65 αὖτε· πάλιν 66 αὐτὰρ ὑπὸ χθών (Β 465)· ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν ἡ γῆ 70 αὐτάνων (Μ 160)· ἐφώνουν, ἐβόων

αὐτὴ κάμινος· παροιμία, ἐπὶ τῶν τὰ παραπλήσια πρασσόντων εἰρημένη. ἀπὸ γὰρ τοῦ κεραμεικοῦ τροχοῦ ἡ μεταφορά

αὐτῆμαρ (Α 81)· ἐν αὐτῇ τῇ ἡμέρᾳ [75—79]

αὐτίκα μάλα· εὐθὺς λίαν, πάνυ. πάλιν. παραχρῆμα (Apoll. lex. 47, 7). σήμερον. Αὐτίκα Ἀριστοφάνης μὲν ἐπὶ τοῦ ἐνεστῶτος· Ὅμηρος δὲ ἐπὶ μόνου τοῦ νῦν. διὸ καὶ παραλλήλως λέγει αὐτίκα νῦν. Αὐτίκα δὴ μάλα· πάραυτα, ταχέως δὴ [καὶ] καλῶς

αὖτις (Α 27)· πάλιν ἐκ δευτέρου

ἀ(υ)τμή (Ι 605)· πνοή. φλόξ

ἀ(υ)τμένα (Ψ 765. γ 289)· τὴν ἀναπνοὴν πνευμάτων. ἢ καὶ πεφυσημένα

† ἀυτμενόπις· πεφυσημένος, πεπνευσμένος

αὐτοβο(ε)ί· τὸ παραχρῆμά τι συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις. ἅμα βοῇ. Θουκυδίδης (II 81. III 113)

αὐτοβοί· αὐθημερόν. πάραυτα. ἔτι τῶν βοῶν ἐν τοῖς ζυγοῖς ὄντων. ἢ αὐτοὶ βοῶντες, κράζοντες ἀπέκτειναν αὐτούς [87. 88]

αὐτογενής· αὐτογένεθλος, οὐκ ἔκ τινος γεννώμενος

αὐτόγυον (Hesiod. opp. 433)· μονόβολον [91]

αὐτοδακὴς μῆνις· † μικρά

αὐτοδάξ (Ar. Lys. 687. Eqq. 607)· παραχρῆμα, ἢ τὸ ἐκ τῶν χειρῶν ἀποδάκνειν

αὐτὸ δείξει· παροιμία ἔξω τοῦ ἐπιλόγου λεγομένη, ἧς μνημονεύει καὶ Πλάτων (Theaet.)

αὐτόδειπνος· ὅταν τις κεκλημένος ἑαυτῷ φέρῃ τὰ ἐπὶ τὸ δεῖπνον [96]

αὐτόδικοι (Thuc. V 18, 2)· οἱ ἑαυτοῖς δικασταῖς χρώμενοι, καὶ οὐκ ἀλλαχόθεν παραγινομένοις

αὐτόδιον (Θ 449)· ἐξ αὐτῆς τῆς ὁδοῦ ἐληλυθότος⟨α⟩

αὐτοε...ρας· κόμας, ἢ καὶ κόσμους

αὐτοέντης (Soph. OT 106)· αὐτόχειρ

αὐτοετές (γ 322)· ἐν αὐτῷ τῷ ἔτει [8502. 3]

αὐτοὶ θύομεν· ἀντὶ τοῦ αὐτοὶ πίνομεν ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι· καὶ αὐτοὶ θύομεν· ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀριστοφάνης Γηρυτάδῃ (fr. XXIII) [5. 6]

αὐτοὶ χελώνας ἔσθετε (Diogen. prov. I 36)· παροιμία. ἁλιεῖς γὰρ ἑλκύσαντες χελώνην μεγάλην καὶ ἀνα(σ)πάσαντές αὐτὴν διαμερίζονται τοῖς παρ(ι)οῦσιν ....

αὐτοκάβδαλα (v. Eupol. II 1 p. 505)· αὐτοσχέδια ποιήματα. εὐτελῆ

αὐτοκαλές (—άβδαλον)· τὸ ἐπιτυχόν, συμβεβηκός

αὐτόκαρνος· αὐτοζήμιος. Κάρνη γὰρ ἡ ζημία (q. v.)

αὐτοκασίγνητος (Β 706)· ὥρας μέτρον, οὐκ ἐπιδεόμενον ἢ θερμοῦ ...., τουτέστιν τὸ τοῦ ἀέρος αὐτόκρατον, εὔκραές

αὐτοκτί[σ]τους δόμους· οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταυτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Σοφοκλῆς Κηδαλίωνι (fr. 308)

αὐτόκλητοι· αὐτεπάγγελτοι

αὐτόκλητον· ὅταν ἀρχὴν μὴ κληθὲν ὑπό τινος ἑαυτῷ δὲ ἀπαντῆσαι

αὐτόκρανα· αὐτόδηλα, ἑαυτὰ δηλοῦντα. ἢ κίονα μονόλιθον [17. 18]

αὐτόλαβον· ἑαυτοῦ λαβὴν ἔχον

αὐτολήκυθοι (Menand. fr. IV p. 99)· οἱ πένητες, οἱ μόνην λήκυθον ἔχοντες· ἢ δι' ἑαυτῶν βαστάζοντες τὴν λήκυθον, οὐ δι' οἰκετῶν (Demosth. 1261, 17) [21]

αὐτόλυσις· δέμα, ἐφ' ᾧ ἀγκύλη ἐφῆπται, καὶ οὐχ ἅμα γέγονεν

αὐτόμαρτυς (Aesch. Ag. 988)· ὁ ἑαυτῷ μαρτυρῶν

COD. 73 αὐτηκάμινος 80 δὲ μάλα πάραυτα 85 |βοῖ bis δ 92 |δάκις 93 ἀποδεδώκασιν Bekk. 465, 13 94 αὐτοδείξει 8504 γαρυτά 12 |οκέρας ⟨18 ἀωρόλειον· λεῖον?⟩ ⟨19 (αὐτόκωπον·) αὐτόλαβον?⟩ 23 |ομάρ|

HES. 75 ἀυτήν (Λ 492)· κραυγήν, φωνήν, βοήν 76 ἀυτῆς (Β 97 al.)· κραυγῆς, βοῆς 77 αὐτῇ κεν γαίῃ (Θ 24)· σὺν αὐτῇ τῇ γῇ 78 αὐτῇσι ῥίζῃσι (Ι 542)· σὺν αὐτῇ τῇ ῥίζῃ 79 ἀυτῇ (Λ 258)· ἐβόα 87 αὐτόγε (—σε)· ἐπ' ἐκεῖνον τὸν τόπον 88 αὐτογένεθλον· αὐτογέννητον 91 αὐτοδάϊκτος· ὁ ἑαυτὸν φονεύσας, ἢ καὶ κακοποιήσας (Greg. Naz. Arc. IV 53 p. 198) 96 αὐτοδικεῖ (Dinarchus)· αὐθεντεῖ. ὅταν αὐτὸς λέγῃ ⟨Moeris⟩ 8502 αὐτόθεν (Τ 77)· ἐκεῖθεν 3 αὐτόθι (Ι 613)· ἐκεῖσε. ἐν αὐτῷ τῷ τόπῳ. ἐπὶ τόπου 5 αὐτοῖο (Λ 360)· αὐτοῦ 6 αὐτοῖσιν (Λ 698)· αὐτοῖς 17 αὐτοκράτωρ· αὐτεξούσιος. ἢ κοσμοκράτωρ 18 αὐτόλειον· λειτόν 21 αὐτολόχευτος· θεὸς ἀγέννητος, αὐτογέννητος

†**αὐτομάττιτα**· σπέρμα ἀνδρός [25]
αὐτόματοι δ' ἀγαθοί· παροιμία (Crat. p. 111 Eupol. p. 542 Bacchyl. fr. 33)
αὐτόματον (Hippocr. I p. 581)· αὐτοφυές
αὐτομαχεῖν· αὐτοδικεῖν
αὐτόμοιρος· μονόμοιρος. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ (fr. 230)
αὐτόμολος· ὁ πρὸς τοὺς πολεμίους ἀπελθών, προδότης
αὐτομόλπως αὐτόμολπα ὁμοίως ἐκείνοις
αὐτομόλως· προδοτικῶς. Σοφοκλῆς Φαίδρᾳ (fr. 624)
αὐτονυχί (Θ 197)· αὐτῇ τῇ νυκτί
αὐτόξυλον (Soph. Phil. 34)· αὐτοδημιούργητον ξύλον. ἢ ξύλινα
†**αὐτοξένειν**· ἐν ἴσῳ τῷ προξενεῖν
αὐτόπαιδα (Soph. fr. 921 Trach. 827)· αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα
†**αὐτοπέλις**· κλῖμαξ
αὐτόπαστοι πύλαι· παστάδας ἔχουσαι, ποικίλαι
αὐτόπεδον καὶ αὐτοποδητί· τὸ ἐκ ποδὸς βαδίζειν
αὐτοποίητον· εὐτελές
†**αὐτόπομα**· ἐπίκληρον ⟨αὐτοπάμονα?⟩
αὐτοπόκιστον (Com. an. CCCXXVII)· μὴ κεκαρμένον. οἱ δὲ εὐτελὲς ἱμάτιον
αὐτόπρεμνος (c. c. Aesch. Eum. 401)· αὐτόρ(ρ)ιζος
αὐτόπτης· θεατής [45]
αὐτορέγμονος πότμου· ὅσον ἑαυτὸν ἔρεξε καὶ κατέθυσε. ἢ αὐτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. Αἰσχύλος Κρήσσαις (fr. 112)
αὐτός· ἢ ἐγώ. ἢ σύ. ἢ ἐκεῖνος
αὐτόσε· ἐκεῖσε ⟨v. αὐτόγε⟩
αὐτόσιτον (Crobyl. fr. I p. 565)· τὸν ἑαυτὸν τρέφοντα. ἢ τὸν σὺν ἑτέρῳ δειπνοῦντα, καὶ ἑαυτῷ φέροντα τὰ ἐπιτήδεια πρὸς τὸ δεῖπνον
αὐτόσ(σ)υτον· αὐτοκέλευστον. Σοφοκλῆς Σκυρίοις (fr. 512)

αὐτοστέριφον· ἰσχυρόν. αὐτοφυές
αὐτόστυλον· αὐτοσκεύαστον
αὐτοσχεδές (Hermipp. fr. V p. 387)· ὑποδήματος εἶδος γυναικείου ⟨—σχιδές⟩
αὐτοσχεδιάζει· πάραυτα λέγει
αὐτοσχεδίῃ (Ο 510)· ἀπὸ χειρός. ἀπὸ τοῦ σύνεγγυς
αὐτοσχέδιον· τὸ εὐθὺς ῥηθέν, ἢ ὑπαγορευθέν, ἢ γενόμενον [57. 58]
†**αὐτότευον**· ἀπηρτισμένον. πλῆρες, ὅσον δεῖ
αὐτόταγος μύλη· ἀδέσποτος, παρόσον οὐδεὶς ἤλαυνεν αὐτήν· [ἐν]ταγοὺς γὰρ τοὺς ἡγουμένους ἔλεγον. ἔνιοι δὲ αὐτάγγελον
αὐτοτελὲς ψήφισμα· τὸ μὴ προβεβουλευμένον
αὐτοτελής· τέλειος
αὐτοτελὴς δίκη· ἀφ' ἧς μὴ ἔστι ἐφιέναι
αὐτοῦ· ἐκεῖ. αὐτόθι. ἐπὶ τόπου. εὐθύς [65]
αὐτουργός (Eur. Or. 918)· ὁ δι' ἑαυτοῦ ἐργαζόμενος
αὐτοφαρίζειν (Syracusani?)· αὐτοματεῖν
αὐτόφλοιον (Theocr. XXV 208)· αὐτόδερμον
αὐτόφορβος· αὐτοφάγος. Αἰσχύλος Κίρκῃ (fr. 109)
αὐτόφορτοι· αὐτοδιάκονοι. κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ (fr. 231). ὁ δὲ Κρατῖνος ἐν Χείρωσι (fr. XX) τοὺς τὰ κοινὰ φορτιζομένους ἔφη
αὐτοφωρίᾳ· τὸ ἐπὶ αὐτῇ φωρᾷ
αὐτόχειρ· φονεύς
αὐτόχειρες (Xen. Hell. VII 3, 7)· οἱ ταῖς ἰδίαις χερσὶ φονεύοντες (Ar. Lys.)
αὐτόχειρι (Eur. Or. 1040)
αὐτοχειρίᾳ (c. c. Dem. 787, 26)· τὸ τῇ ἑαυτοῦ χειρὶ ποιῆσαί τι
αὐτόχειρος· ὁ ἑαυτὸν ἐγχειρίσας [77]
αὐτόχθων· ἐντόπιος, ἐγχώριος, πολίτης, γνήσιος
αὐτόχθων ἑστία (fr. trag. adesp. 165)· ἡ

COD. 25]ήσαντες 29 αὐτόμαρος — θυέστη σικυωνία 35 τοῦ 39 αὐτοποδί? ⟨41 v. ἐπιπαματίδα⟩ 42 αὐτόποχον Bekk. 467, 18 κεχραμμένον 46 κατευθὺς ἑαυτορέγμοτος — Κρή (τ superscript) 49 ἑταίρῳ 50 ἀκυρίοις 60 ἔλαυνεν [v. EM. 173, 47] 61 προβεβουλομένον 63 ἐφ' 70 θυέστη σικυωνία — χειρῶσι 71 αὐτοφορία — φυρᾷ 76]ήσας 79 αὐτοχθρῶν — χείρονος

HES. 25 αὐτοματίσαντες (Xen. Cyr. IV 5, 21)· ἀφ' ἑαυτῶν (τι) πράξαντες (Moeris p. 88) 45 αὐτορέγμων· ἑαυτὸν ἐργαζόμενος 57 αὐτοσχεδίως (Sapient. II 2)· αὐτομάτως. ταχὺν ἢ (ταχινῇ Cyr. 171) δυνάμει 58 αὐτοσχεδόν (Η 273)· ἐγγύς, ἐκ τοῦ σύνεγγυς. παράλληλα 65 αὐτοῦ ἐνεύναιον (ξ 51)· τὸ ἴδιον ἐγκοίτιον Ad 72 ὁ ἑαυτὸν φονεύων ⟨post 74⟩

τοῦ Χείρωνος, παρόσον ἐν τοῖς ὄρεσι διῆγεν [80]

αὐτόχρημα· αὐτὸ τὸ πρᾶγμα (gl. Vict. Ar. Eqq. 78) [82]

αὐτοχόωνον (Ψ 826)· αὐτοχώνευτον. ἀπ' αὐτῆς τῆς χωνείας τὸ τέλειον ἔχοντα, καὶ μὴ προσδεόμενον ἄλλου τινὸς εἰς συμπλήρωσιν. ἢ αὐτόχυτον. ὅλον στερέμνιον, οὐ κοῖλον

αὐτοχροιηδόν· πρὸς τὸν χρῶτα

αὐτόχρυσα· τὰ τίμια

αὐτώδης· ὑπέρφρων. ἰδιογνώμων ⟨EM. 173, 38⟩

αὐτώλης· ὑβριστής. αὐτόχειρ

αὔτως· μάτην (Hippocrates). ἁπλῶς. ὡς ἔτυχεν

αὔτως· ἐπὶ μὲν τοῦ ματαίου καὶ κατακένου·
  αὔτως γὰρ ἐπέεσσ' ἐριδαίνομεν (B 342)
ἐπὶ δὲ τοῦ ὁμοίως·
  ὡς δ' αὔτως .... (Γ 339)
(καί)
  φαγέμεν καὶ πιέμεν αὔτως (π 143)

αὐχάν· καύχησιν

αὐχαλέοι· σεμνοί

αὐ χάττειν· ἀναχωρεῖν. καὶ τὸ ἐμμένειν (ἐγ)χάττειν [93]

αὐχένιοι· χιτῶνος εἶδος ὑπὸ Ἀντιφάνους (fr. 79 p. 157)

αὐχεῖν· καυχᾶσθαι

αὐχέω· εὔχομαι

αὐχήεις· σεμνός

αὔχημα (Thuc. II 62, 4 al.)· καύχημα, ἔπαρσις, ὑπερηφάνεια

αὐχήμασιν· ὑπερηφανείαις

αὐχήματα (Plat. Axioch. 365 A)· καυχήματα. σεμνολογήματα [8601]

αὐχήσασθαι· καυχήσασθαι

† αὐχῆτις· σεμνότης ⟨—ητύς⟩

αὐχθῇ· αὐξηνθῇ

αὐχμεῖν (Plat. Pol. X 606 D)· ξηραίνειν

† αὐχμεν.¯ς· ἀστεῖος

αὐχμηρόν· ξηρόν. σκοτῶδες (Eur. Alc. 950) [8]

αὐχμοί (Thuc. I 23, 3)· ἀνομβρίαι

αὐχμός (Ar. Plut. 839)· ξηρασία, ἀνομβρία. ἔνδεια. καυματινὸς ἀήρ. ἢ λιμὸς ἀπὸ ἀβροχίας γενόμενος [11]

αὐχμῶντα· ῥυπῶντα (cf. Anaxandr. com. p. 177)

αὔω· διαχέω. θερμαίνω· τὰ γὰρ προσηνῆ τοῖς θερμοῖς παρέβαλλον

ἄυως (Sapph. fr. 95)· ἡμέρα [15. 16]

ἀφάδ.ιος· ἐχθρός, ἀπὸ τοῦ ἀφανδάνειν. λέγεται δὲ καὶ † ἀνφάδιος ⟨v. ἀφόδιοι et ἀφραδέα⟩

ἀφαδίαν (Eupol. VII p. 438)· τὴν πολεμικὴν ναῦν, διὰ τὸ ἀφανδάνειν

ἀφάζει· ἀναδέχεται, ἀπὸ τῆς ἀφῆς

Ἀφαία (Nicand. fr. 67)· ἡ Δίκτυννα, καὶ Ἄρτεμις

† ἀφαιᾶσαι· ἀπαλγῆσαι. ἀπολειτουργῆσαι. καὶ ἀπολέσαι. ὁ αὐτὸς (Menander? Ἀ)δελφοῖς

ἄφαιμοι· ἀπόγονοι. εὐγενεῖς ⟨συγγ—⟩

† ἄφακες· εὐῆθες ⟨v. ἀφηκές et ἄμφηκες⟩ [24—28]

ἀφάκη (Arist. HA. VIII 12, 2)· ὄσπριον [30. 31]

ἄφαλος (Apoll. lex. 49, 8)· περικεφαλαία μὴ ἔχουσα φάλους. Φάλοι δέ εἰσιν οἱ λαμπροὶ ἧλοι, ἢ τὰ ποικίλματα

ἄφαλτοι· οἱ ἀναπηδῶντες

ἀφαμιῶται (Cretes)· οἰκέται ἀγροῖκοι, περίοικοι ⟨8728. 32⟩

ἀφανδάνει (π 387)· ἀπαρέσκει [36]

ἀφανές· ἀθεώρητον. μὴ φαινόμενον

ἀφανῆ· μὴ ὁρώμενον [39]

ἀφανίζειν· σήπειν. ἀπολλύειν [41]

Ἀφάνναι (v. Zenob. III 92)· χωρίον τῆς

COD. 84 |οἶνδόν (υυ) 86 ὑπερόφρων 89 αὐτῶς — κατακείνου — αὐτὸς γὰρ 92 αὐχάττειν 8604 αὐξηθῇ ⟨6 ἀχμηνός (Crelici)· ἄσιτος?⟩ 10 καῦμα τινὸς 14 αὔως 17 ἀφάδειος Cyr. Dr. 18 EM. 174, 50 Dorr. 19 ἀφ| 21 ἀφεᾶσαι· ἀπολῦσαι Cyr. 171 — Δελφοῖς 29 ἀφαή 34 πάροικοι

HES. 80 αὐτοχθηδ· αὐτοποίητον 82 αὐτόχωνον· αὐτοχώνευτον 93 αὐχέε(ς Θ 230)· καυχομενοι ⟨sic⟩ 8601 αὐχήν (κ 559)· τράχηλος 8 αὐχμηρῷ (II Petr. I 19)· ξηρῷ. σκοτώδη ⟨ει⟩ 11 αὐχμώδης (Mich. IV 8)· ξηρός. ῥυπώδης 15 ἀφα[γ]νίσας· ἀποδύσας, ἢ συλήσας 16 (ἀφαγνίσασθαι (Num. VI 2)· καθιερώσασθαι, ἀφοσιώσασθαι 24 ἀφαιρεῖται (Α 182?)· ἀποσπᾷ 25 ἀφαίρημα (LXX)· ἀνάθημα. δῶρον 26 ἀφαιρήσασθαι (Α 161 Ψ 544)· λαβεῖν. στερήσασθαι 27 ἀφελοῦνται (Ezech. XXVI 16)· ἀποστεροῦνται 28 (ἀ)φαῖς (II Regg. VII 14)· πληγαῖς 30 ἀφελέον· συνηγμένον. κοινόν 31 ἄφαλον· φαλὸν μὴ ἔχον· ἀφάλονται (Κ 258) μήτε προμετωπίδα 36 ἄφαντος ⟨v. Moer. Att. p. 383⟩ 39 ἀφανίαν· συναγωγὴν ἑστιάσεως ⟨ἐράνια?⟩ 41 ἀφανίσαι (gloss. Ezech. XXX 9)· σκεπάσαι. προνομεῦσαι (Ez. XXXVI 5)

† Δαμάρτιδος φυλῆς. πόρρωθεν (Epicharm. Bekk. 83, 29) [43. 44]

ἄφαρ (Α 349 al.)· ταχέως. ἢ εὐθέως (ῥαδίως) [46]

† ἄφαρβαν· ἐλεύθερον

ἀφαρεί (Hipponax) [49]

ἀφαρεύς (Arist. HA. V 9, 2)· τοῦ θήλεος θύ(ν)νου τὸ ὑπὸ τῇ γαστρὶ πτερύγιον

† ἀφαρκίδευτον· ἄγρευτον. ἀθυσίαστον

ἄφαρκτος· ἀφύλακτος

ἀφάρμακον χρῶμα Οἰδίποδος· ἄνευ ἄνθους. Ἄνθη γὰρ τὰ φάρμακα. καὶ τὰ βαφεῖα φαρμακῶν[τ]ας Σοφοκλῆς (fr. 1001) ἔφη

ἄφαρον (Callim. fr. CLXXXIII)· ἀνήροτον

ἄφαρ.οι· ἀνίματοι, ἀνένδυτοι [56]

ἀφάρτεροι (Ψ 311)· ταχύτεροι

ἀφάρυμος· ἄτο(λ)μος ⟨v. φάρυμος⟩

ἀφάρωτος· ἀναροτρίαστος

ἀφασία (Eur. IA. 837 Ar. Thesm.)· ἀφωνία. ἔασις ⟨ad ἀφεσία?⟩. στέρησις. σιωπή, ἀναυδία

ἀφάσσειν (Herod. III 69)· ψηλαφᾶν, παρὰ τὴν ἀφήν ⟨v. ἀφύσσειν⟩

† ἀφατῆλες· μαστοί, θηλαί

ἄφατον (Callim. Cer. 58 LM. 77)· ἀμήχανον. πολύ. ἄρρητον (Eur. Ion. 783). ἀμέτρητον. δεινόν

ἀφαυροῖσιν· ἀσθενέσι. ταπεινοῖς

ἀφαυρότατος (Ο 11)· ἀσθενέστατος. ταπεινότατος [66. 67]

ἀφάψαι· συνδῆσαι. † μῦξαι

ἀφέδιτος· ἡμέρα παρὰ Λάκωσιν, ἐν ᾗ θύουσιν [70]

ἀφεδνή ν· ἀναιδῆ

ἀφεδρεῦσαι· ἐπὶ δίφρῳ καθίσαι [73. 74]

ἀφεθῆναι (Xenoph. Vectig. II 4)· ἀπολυθῆναι

ἀφειδήσας· μὴ φεισάμενος. καταφρονήσας, ὑπεριδών ⟨v. ἀφιδήσας⟩ [77—80]

ἀφελής (Soph. fr. 651)· ἀσινής. καθαρός. ὁλόκληρος, ὁ μήτε πλεονάζων μήτε δέων τι τοῦ σώματος (Solon Poll. I 29?). καὶ πεδία ἀφελῆ· τὰ σύνδενδρα [82. 83]

ἄφελμα (Cretice)· τὸ κάλλυντρον

ἀφελομένη· ἀπάρασα

ἀφέμενον· ἀποστάντα ἀντιλέγοντα. (τὸ ἐν μάχαις καὶ λοιδορίαις ἀφίστασθαι καὶ μεγαλοψυχεῖν Λακώνων)

ἄφενος (Apoll. lex. 48, 30)· ὁ ἐξ ἑκάστου ἐνιαυτοῦ πλοῦτος. ἢ ἄπενος, ὁ κεχωρισμένος πενίας

ἄφενος (Α 171)· ὁ ἐνιαυσιαῖος καρπός· (ἀφ)' ἑνὸς γὰρ ἐνιαυτοῦ. καὶ ἔνος ὁ ἐνιαυτός [89. 90]

ἄφεος· ἄφωνος [92]

ἀφέριστα· ἄχρηστα ⟨v. ἀφόρτιον⟩

ἀφέρτεροι· ἥσσονες

ἀφερτέρους· πολὺ φερτέρους. [96]

ἄφερτος (Aesch. Ag. 386)· ἀφόρητος

ἀφέσθαι· ἀποσχέσθαι

ἄφεσιν· ὕσπληγ(γ)α ⟨v. ἄππιρ⟩

ἄφεσις· ἀπόλυσις (Hippocr.). συγχώρησις

† ἀφεστακέναι· ἀπεσταλκέναι [8702—4]

† ἀφεστής· ἀγαθός [6]

ἀφ' Ἑστίας ἀρχόμενος· παροιμία. μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι [8]

ἀφετηρία· ἀρχή. ἡγεμονία

COD. 47 Cf. ἀφάρυμος 48 ἀφαρεῖ ⟨51 ἀφαρκίδωτον· ἀρρυτίδωτον?⟩ 54 |ρωστον 57 |ρος bis 59 ἀνδρειότατος ⟨62 v. ἀφλετῆρες⟩ 76 ἢ παριδών 81 cf. ἀφίλης ⟨82 Infra ἐφελγύνοντες⟩ 84 I. q. ὄφελμα 85 ἐπάρασα 87 ἀφέμενος 88 ἔνος — ἐνάς ⟨91 ἀνεός?⟩ 97 ἀφέρτερος 8700 |λαυσις ⟨1 ἀφεσταλκέναι?⟩ 7 ἀφέστιος — δρομέων — αἰτία

HES. 43 ἀφάμαρτεν (Θ 119)· ἀπέτυχεν 44 ἀφαμαρτοεπής (Γ 215)· ἁμαρτάνων ἐν τῷ λέγειν 46 ἄσπετος· πολύς. ἄριστος. βοηθός [ῥαδίως] Ad 49 ἰδροῖ ⟨ad ἀφρεῖ; fallitur Bergk. Theogn. 716⟩ ἀνιμᾶται ⟨ad ἄφαροι q. v.⟩ 56 ἄφαρ· εὐθέως 66 ἀφαυροῦ (Η 235)· ἀσθενοῦς 67 ἀφαυρότερος (Η 457)· ἀσθενέστερος 70 ἀφεδρῇ· ἀποπυίγη ⟨v. ἔρξον⟩ 73 ἀφέδρῳ (Levit. XV 19)· ἀκαθαρσίᾳ 74 ἀφεδρῶν.. (Matth. XV 17)· σέλλαι, σελλάρια, σωτήρια (latrinae), ἀναγκαῖα 77 ἀφειδία (Coloss. II 23)· καρτερία ⟨v. 8780⟩ 78 ἀφεικνούμενος· παραγενόμενος 79 ἀφείλαντο (Iob. XXIV 10)· ἀπεστέρησαν 80 ἀφεῖλεν· ἦρεν (ξ 455). ἔκοψεν ⟨ad ἄφηνεν⟩ 82 ἀφελγύνουσα· κακοῦσα ⟨cf. 2852⟩ 83 ἀφελλίαι· μελανὸς ἀλφός ⟨v. ἀλφινία⟩ 89 ἀφεξέῃ (Μ 248)· ἀποστήσῃ. ἢ ἀποκωλύσῃ. ἢ ἀπισχίσει ⟨l. ἐπίσχει Α 97⟩ 90 ἀφέξομαι (τ 489)· ἀποστήσομαι 92 ἀφέρεμα (LXX)· ἀνάθημα. δῶρον. ξένιον Ad 95 ταχυτέρους 96 ἀφέρτερος· ταχύτερος 8702 ἀφέστατε (Δ 340)· ἀφεστήκατε 3 ἀφέστηκας (Ps. IX 21)· ἐμακρύνθης 4 ἀφεστηκώς (v. l. Iesai. XLII 19)· μακρυνθείς 6 ἀφεστός· ἀφειμένος 8 ἀφέτην (Δ 642)· ἀφήκαμεν

ἄφετοι (Plat. Prot. 320 A)· οἱ ἱεροβόαι ⟨—οἱ βόες⟩. καὶ ἀπολελυμένοι [11]
†ἀφεύς· ἀδύνατος ⟨v. ἀφῆς⟩
ἀφεψάλου· ἄνευ σπινθῆρος λαμπροῦ
ἀφεψεῖν· β[λ]άπτειν τρίχα
ἀφεψιασ[σ]άμην· ἀφωμίλησα. Σοφοκλῆς Ἀντηνορίδαις (fr. 135)
ἀφή (Plat. Pol. VII 523 E)· αἴσθησις χειρῶν, ἤγουν ψηλάφησις.
ἀφηγεῖσθαι (Eur. Suppl. 186)· διηγεῖσθαι
ἀφηγήμων· ὁ ἀφηγούμενος ὁδοῦ, ὁδηγός
ἀφηγητής· ὁμοίως
†ἀφηγοῦσα· μεταστρέφουσα [21]
†ἀφηκές· εὐηθές ⟨v. ἀφακές⟩ [23]
ἀφῆλιξ· καταδεὴς ἀκμῆς τὴν ἡλικίαν [25. 26]
ἀφήμενος (Ο 106)· ἄπωθεν καθήμενος
ἀφημιάστους ⟨—ίας· τὰς⟩· ἀγροικίας
ἀφημίζεσθαι· ἀθερίζεσθαι
ἄφημοι· ἀνώνυμοι, ἀκλεεῖς
ἀφήμονες· ἄρρητοι. οὐκ ὀνομαζόμενοι
ἀφημοῦντας· ἀγροίκους ⟨8634⟩ [33]
ἀφήμως (Thuc. III 104, 5)· ἐν κόσμῳ, ἡσυχῇ
ἄφηνα· ἔκοψα ⟨v. ἀφεῖλεν⟩
ἀφῆναι· τὸ τὰς ἐπτισμένας κριθὰς ταῖς χερσὶ τρῖψαι
ἀφηνιάζετο· ἐχωρίζετο
ἀφηνιάσαντες· ἀποχωρισθέντες. ἐκ μεταφορᾶς ἵππων ἁρμάτων ⟨—ατείων⟩
ἀφηνιαστήν· ὑπερήφανον, ἀνυπότακτον ⟨cf. Moer. Att.⟩
†ἀφηράν· μακράν
ἀφῄρημαι· ἐστέρημαι
†ἀφῆς· ἀδύνατος. †ἄλλος: ἡ ἐξ ἧς ⟨ad ἀφ' ἧς⟩
ἀφήσασθαι· ἅψασθαι
ἀφητορεία· μαντεία
ἀφήτορος (Ι 404)· προφητεύοντος. ἢ τοῦ τοξότου
†ἀφθίβορον· ὁ βορῶς ἐσθίων

ἄφθα· ἡ ἐν στόματι ἕλκωσις. καὶ φθόη δὲ τὸ αὐτό ⟨v. Foes. Oecon. Hippocr. p. 70⟩
ἄφθιτον (Β 46 al.)· ἄφθαρτον. θεῖον
ἀφθίτους γνώμας· ἀμετατρέπτους. Σοφοκλῆς Μυσοῖς (fr. 382)
ἀφθονία (c. c. Plat. Leg. IV 718 D)· πλῆθος. καὶ κακία
ἄφθονον· πολύ. καὶ πλούσιον
ἀφθόνους· τοὺς ἅλας ⟨v. 2919. 2939⟩
ἀφίας· βωμός ⟨v. 1136⟩
ἀφῖγμαι (Eur. Tro. 58)· παραγέγονα
ἀφιγμένος (c. c. Arist. fr. XXXV vol. V p. 62)· παραγεγονώς, παραγενόμενος [56. 57]
Ἄφιδνα· δῆμος τῆς Πτολεμαΐδος (?) φυλῆς [59]
ἀφίδρυ[σ]μα· ἱερόν [61]
ἀφ' ἱερᾶς (Sophron. fr. 98)· οὕτως ἐλέγετο γραμμὴ ἱερὰ παρὰ τοῖς πεττεύουσιν
ἀφιερισμένα· περικεκαθαρμένα
ἀφιερωμέναι· αἱ τῷ θεῷ ἀνακείμεναι
ἀφιέρωσε· τῷ θεῷ ἀνέθηκεν
ἀφίζειν· ἀποκαθίζειν [67]
ἀφ' ἱκετηρίας· ἐπὶ τῶν κατασπουδαζομένων καὶ λόγου τυγχανόντων οὕτως ἔλεγον [69. 70]
ἀφικμῶντο· ἀπεσείοντο. ἢ ἀποελῶντο ⟨ἀπεψῶντο⟩
ἀφικομένῳ· παραγινομένῳ
ἀφικόμην (Eur. Phoen. 369)· ἀφῖγμαι
ἀφίκου (Eur. Ion. 316)· παραγενοῦ
ἀφῖκται (Anaxil. com. fr. I 6 p. 347)· παραγέγονεν
†ἀφικτόν· ἀκάθαρτον. μισητόν
Ἀφίκτορα (Aesch. Suppl. 1?)· τὸν ἱκέσιον Δία
†ἀφικτρός· ἀκάθαρτος. μιαρός [79. 80]
ἀφιλοικτίρμονες· ἀνελεήμονες
ἀφιλότιμος· ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμὴν (ἢ) ἡττᾶσθαι .... [83. 84]
ἄφιξις· ἔφοδος ⟨v. ἔφοδος⟩. παρουσία

COD. 15 ἀντινορίδαις 24 ἀφῆλιξ — ἀτμῆς ⟨28 v. ἐφημίαι⟩ ⟨36 v. ἧνας ἄναντα⟩ 42 cf. ἀφεύς et ἄφεος — ἐξῆς 45 τόξου 62 ἀφιερὰς — πιττεύουσιν 68 ἀφικετηρίας 71 ἀφικλῶντο ⟨cf. ἀπικμῶντο⟩ 77 ἀφικτορατὸν 81 ἀφιληκτίρμονες 82 φιλεῖν ἡττᾶσθαι τιμῇ

HES. 11 ἀφέ[υ]ξομαι· παύσομαι Ad 16 ἡ χροιὰ λέπρας (Levit. XIV. XV) 21 ἀφῆκεν (Κ 372)· ἐξέπεμψε 23 ἀφηλικεστέραν (Pherecr. fr. LXV)· νεωτέραν ⟨Moer. p. 83⟩ 25 ἀφήμαρτεν (Θ 119)· ἀπέτυχεν 26 ἀφημειῶν (Ε 158)· ἀφημιῶν 33 ἀφ' ἡμῶν (Psalm. II 3)· ἄποθεν ἡμῶν 56 ἀφιγύοισιν εὐχέσι (Ν 147)· δόρατα ἑκατέρωθεν ἐστομωμένα 57 ἀφιδήσας· ἀφροντιστήσας 59 ἀφνιδρόν· ἀκοίμητον 61 ἀφίει (Α 25)· ἀπέπεμπεν 67 ἀφικάνει (Ζ 388)· παραγέγονεν 69 ἀφίκετο (Σ 395 al.)· παρεγένετο 70 ἀφικνεῖται· παραγίνεται 79 ἀφίλης· καθαρός. ὑγιής. ὁλόκληρος ⟨v. 8681. 9042⟩ 80 ἀφιλία (Coloss. II 23)· καρτερία ⟨v. 8677⟩ 83 ἀφινιάζει ⟨v. 8737⟩ 84 ἀφίζεται (Σ 270)· παραγενήσεται

ἄφιπποι· οἱ ἀπείρως ἔχοντες ἱππικῆς
ἀφίστησιν· σταθμῷ παραδίδωσιν
†ἀφλάσαι· ἀπολέσαι
ἄφλαστον (Ο 717)· τὸ ἀκροστόλιον, τὸ ἄκρον τῆς πρύμνης, ἀποτεταμένον εἰς ὕψος
†ἀφλετῆρες ⟨v. 8862⟩· μαστοί, θηλαί [91]
ἀφλοι(σ)μός (Ο 607)· ἀφρός
ἀφλους· ἄφλοιος
†ἀφνιδία· ἀφνίδαν, ἄφνω
ἀφνειός (Ε 9 al.)· πλούσιος
†ἀφνός (Aeschyl.?)· ἐξαίφνης
ἀφνύει· ἀφνύνει· ὀλβίζει
ἄφνω· ἐξαίφνης, αἰφνιδίως
ἄφοδος· ἀποχώρησις ἐπὶ τὸ ἀφοδεῦσαι
ἀφόδιοι (Dor.)· ἐχθροί ⟨v. ἀφάδειος⟩
ἀφοίβα(σ)τον· ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις (fr. 144)
ἀφοιδεῖν (Aeol.)· μὴ φροντίζειν
ἀφοίνους· φόνους. ὑγιεῖς [8804]
ἀφόπλισον· ἀπόδυσον
ἀφοπλίζεσθαι· ἀφαιρεῖσθαι
ἀφοπλίττονται ⟨—τη Boeoti⟩· ἀπολύονται στρατείας
ἀφόρητον· ἀβάστακτον, ἀνυπομόνητον ⟨II Macc. IX 10⟩
ἀφορήτως· δεινῶς, ἀβαστάκτως
ἀφορίαν· ἀκαρπίαν
ἀφόριος· θρασύς. ἄπιστος [12. 13]
ἀφορμή· ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης (fr. CXXXVI)

μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν

ἢ πρόφασις. ἢ αἰτία.
ἄφοροι· ἀσύλληπτοι
ἀφόρτιον· ἄχρηστον. ἀκάθαρτον [17]
ἄφορτος· οὐκ ἠγμένος τὴν Λυκουργ(ε)ίαν ἀγωγήν [19]
ἄφος· ἡ τραγάκανθα
ἀφοσιούμεθα· τὸ ὅσιον ποιούμεθα
ἀφοσιούμενοι· ἐν ὑποκρίσει θωπεύοντες, τιμῶντες
ἀφοσιούμενος· πληροφορῶν. ποιήσας τὴν ὁσίαν (Plat. Legg. IX 874 A)
ἀφοσιοῦν· καθαίρειν
ἀφοσιοῦσθαι (Aeschin. III 120 Bkk.)· ἀποκαθαίρεσθαι
ἀφοσιώματα· καθάρματα, καθάρσια. [27—29]
ἀφοσιώσεται· ἀπάρξεται ὁσίας χάριν
ἀφ' οὗ †γνωμηστός· ἀφ' οὗ μέμνημαι ⟨'γὼ μύστης — μεμύημαι⟩
ἀφόωντα (Ζ 322)· ψηλαφῶντα [33. 34]
ἀφραδέα· ἐχθρά, πολέμια ⟨Cretice? pro ἀφάδια⟩ †ἀδιαμέλητα ⟨ἀδιάλλακτα?⟩ μωρά
ἀφραδέες (λ 476)· ἀδιανόητοι [37. 38]
ἀφραδέως· ἀνεπιστημόνως. ἀπείρως (Γ 436). ἀδιανοήτως (Ψ 320) [40. 41]
ἄφρακτος· ἀφύλακτος. Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ (910)
ἀφράκτους οἰκήσεις (Thuc. I 6)· τὰς μὴ ἐχούσας περιβολάς
ἀφράσμων· ἀσύνετος. ἀμαθής. Σοφοκλῆς Τριπτολέμῳ (fr. 552) [45]
ἀφράσ(σ)ει (Hippocr.)· ἀσυνετεῖ
ἄφραστον· ἀπρονόητον, ὥστε μηδένα νοῆσαι. ἀνεκλάλητον, ἀνεκδιήγητον, ὃ μὴ †φράζον. ἄλεκτον
ἀφρατίας· ἰσχυρός. Κρῆτες
Ἄφραττος· ἡ Ἑκάτη παρὰ Ταραντίνοις
ἄφρεον (Λ 282)· ἤφριζον, ἵδρουν [51]
ἀφρίους· αἰθέρας
ἀφρῖνον· τάλαρον. τῶν ἐκ τῶν ἑλκυσμάτων τῶν ἐρίων
ἀφρίς· μύρτον
ἀφροδισία ἄγρα· Σοφοκλῆς Δανάῃ (fr. 170)· [γόνοιον μήλων] καὶ ἀφροδισίαν ἄγραν οἱ μὲν τοὺς πέρδικας· τῇ δὲ θηλείᾳ παλεύοντες αἱροῦσιν αὐτούς. οἱ δὲ πρὸς τὸν καθαρμὸν ἁρμόζουσιν, κακῶς δέ· χοίρῳ γὰρ καθαίρουσι καὶ ἀρνίῳ, ἀλλ' οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν· διὰ τὸ

COD. 93 ἀφλοῦς, ἀφλοῖο 8801 ἀνακάθαρτον ⟨v. schol. Eum. 237⟩ 5 ἀφόπλησον 16 ἀφόρδιον EM. 178, 23 23 θυσίαν 30 ὁσίαν 32 ἀφῶντα 44 ἀφράδμων 55 πέρδικας οἱ δὲ — ἁρμόζουσιν. τῇ ... αἵρουσιν ... καπραιέναν

HES. 91 ἀφλοισβός· ἀφρὸς ὁ ἐκ ταραχῆς ⟨Aesch. Prom. 792⟩ 8804 ἀφ.οισμός (Ο 607)· ἀφρός 12 ἀφωρισμένος (Rom. I 1)· ἐκλελεγμένος, διακεκριμένος 13 ἀφόριος· θρασύς. ἄπιστος 17 ἀφορολόγητον ⟨III Esdr. IV 50⟩· φόρον μὴ τελοῦν 19 ἀφορῶντες (Hebr. XII 2)· ἀποβλέποντες 27 ἀφοσίωσις 28 ἀφοσιωμέναι· ἀνόσιαι. ἄποθεν τοῦ ὁσίου γεγενημέναι. Σοφοκλῆς Θυέστῃ β' (fr. 233 v. ἀφωσ—) 29 ἀφοσώμενοι· τιμῶντες 33 ἀφραίνεις (Η 109)· μωραίνεις. παραφρονεῖς 34 ἀφραίνοντι (—α Β 258)· παρανοοῦντι. ἀσυνετοῦντι 37 ἀφραδέοντι (Ι 32)· παρανοοῦντι 38 ἀφραδέουσιν (η 294)· ἀφρονεύονται 40 ἀφραδίῃ (Β 368)· ἀπειρίᾳ. ἀμηχανίᾳ 41 ἀφραδίῃσι· μωρίαις, ἀνοίαις (Ε 650 al.), ἐξηγίαις (non Ar. Pac. 1064) 45 ἀφράσμων· ἀσύνετος 51 ἀφρήτωρ (Ι 63)· φρατίαν οὐκ ἔχων, οἷον συγγένειαν

καταφερὲς εἶναι τὸ ζῶον πρὸς συνουσίαν. Καρπᾶν γέ τοι καὶ κάπραιναν ἀπὸ τούτου. Δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῶον λίαν ἐπτόηται πρὸς τὰ ἀφροδίσια· ὥστε καὶ εἰς ἑαυτὸ ὑβρίζειν

ἀφροδισιάζεσθαι (Philetaer. III p. 299)· γυναικίζεσθαι [57]

Ἀφροδίσιον· Ἀφροδίτης ἄγαλμα, ἢ Ἀφροδίτης ἔργον

ἀφροδίσιος ὅρκος· παροιμία, ἣν καὶ ἀναγράφουσιν· Ἀφροδίσιος ὅρκος οὐ δάκνει· πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ. Ὤμοσεν· ἀλλὰ .... (Callim. epigr. XXVI 3)

(Ἀφροδίτης·) περὶ μὲν τῆς θεοῦ Ἀφροδίτης·

ἐϋστεφάνου τ' Ἀφροδίτης (θ 267)

ἐπὶ (δὲ) τῆς συνουσίας·

καὶ ἐκλελάθοιντ' Ἀφροδίτης (χ 444)

Ἀφρόδιτος (Aristoph. fr. CXXXVII)· Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς † Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει [62]

ἀφρόν· κυρίως θαλάσσιον. καὶ ἀφρῶδες δὲ διαχώρημα, ὡς Ἀριστοφάνης (Lysistr. 1259)·

πολὺς δέμα ς κατὰ τὴν ....

ἀφροντιστεῖν (Xen. Conv. VIII 33)· ἀμελεῖν

ἀφροντιστίας· ἀμελείας [66. 67]

ἀφύα (e. c. Aristonym. fr. II p. 699)· μεμβράς

ἀφυδραίνεσθαι (Eur. Ion. 97)· περ(ιρρ)αίνεσθαι. ἀπολούεσθαι

ἀφύει (Hippocr. II p. 498 K)· ἀπολευκαίνεται, καὶ ὥσπερ ἀφύης χρῶμα ἴσχει

† ἄφυξε· ἀπόλαβε

ἀφύη· τὰ μικρὰ (Aristoph. fr. X p. 1152) ἰχθύδια

ἀφυής (Xen. Cyrop. II 3, 4)· δυσχερής

ἄφυκα· ἀκαλλώπιστα· παρὰ τὸ μὴ ἔχειν φυκάριον, ὃ βάλλουσιν αἱ γυναῖκες πρὸς φιλοκαλίαν. ῥοϊδάριον

ἀφύκτοις (Eur. Med. 531)· † οἷς οὐκ ἔστιν ἐκφυγεῖν [76]

(ἄφυκτον·) ἀνεξάλειπτον ⟨—λυκτον⟩

ἀφύκτως· ἀνεξαλείπτως ⟨—λύκτως⟩ [79]

ἀφύλλου στόματος· ἄνευ ἱκετηρίας. Εὐριπίδης Ὀρέστῃ (383)

ἀφύλλωτον πέτραν· ἄ(σ)πορον. ἄδενδρον. οἷον λεωπετρίαν. Σοφοκλῆς Ἰοβάτῃ (fr. 276)

ἄφυλλον· λεῖον. ξηρόν. ἄνοζον. ψιλόν

ἄφυλλος † αὐχήν· οἱ δὲ ἄτρακτον ⟨ἄκαρπον? cf. Aesch. Eum. 785⟩ [84. 85]

† ἀφυρεῖν ⟨ἀφόρδιον⟩· ἀκαθαρσία

ἀφυσγετόν (Λ 495)· συρφετόν. ἀκαθαρσίαν. κόπριον [88]

ἄφυσσαν· τὴν κοτύλην (παρὰ) Ταραντίνοις

ἀφύσσειν· ἀπαρύεσθαι. ἀπαντλεῖν

ἀφύσσων (Λ 598 ι 9)· ἀπαντλῶν. ἐκχέων

ἀφύστα· κοτύλη. στάμνος

ἀφύτρις· ἅρπαινα ⟨ἀρύτ—⟩

ἀφύων τιμή· τὸ ἔλαιον, ἐπεὶ ἐν τούτῳ ἕψονται. λέγουσι δὲ Ἀττικοὶ πληθυντικῶς τὰς ἀφύας, ἑνικῶς δὲ οὐδέποτε· λέγουσι δὲ καὶ αὐτὰς ἀφρὸν διὰ τὴν λευκότητα (e Didymo ad Ar. Eqq. 642)

ἀφωσιωμένε· (ἀνόσιε), ἄπωθεν τοῦ ὁσίου ἀφωρισμένε (γεγενημένε. Σοφοκλῆς Θυέστῃ β')

Ἀχαία· ἐπίθετον Δήμητρος, ἀπὸ τοῦ περὶ τὴν Κόρην ἄχους, ὅπερ ἐποιεῖτο ἀναζητοῦσα αὐτήν (Ar. Ach. 709). Λάκωνες δὲ ἀγαθά (Ar. Lys. 90. 91). οἱ δὲ ἔρια μαλακά ⟨v. ἀχιά⟩

† ἀχαίας· λύπας

Ἀχαιΐδα γαῖαν (Η 124)· τῶν Ἑλλήνων γῆ(ν)

ἀχαΐζειν· ἑλληνίζειν

Ἀχαιμένης (Herod. VII 11)· Πέρσης, ἀπὸ Ἀχαιμένους βασιλέως· καὶ Ἀχαιμενίδαι (Herod. I 125)· οἱ Περσ(ε)ῖδαι

COD. 59 ὤμοσεν 60 τῆς Ἀ. — ἐκλέλαθον τῆς Ἀ. 61 δὲ περὶ τὰ — παιάνισον παρὰ ἄνδρα 63 ἄφρον· κ. θάλλον 68 μέμβρας 69 ἀφαιδρύνεσθαι 74 πρὸς 87 ἀφύσγετον· σύρπετον. ἀ. κ. συρφετόν 89 ἀφύσσαν 90 Post ἀφύσσειν: ψηλαφᾶν ⟨ad ἀφάσσειν⟩ 95 Cf. ἀφοσιωμέναι 96 Cf. Ἀχθεία ⟨97 τολύπας? an ἄχεα?⟩ 98 ἀχάει ει δαγαῖα, ἡ 8900 δαι ες· αἱ περσίδαι

HES. 57 Ἀφροδίτη ψίθυρος 62 ἀφρονῆσαι (φ 12)· ἄφρονα γεννῆσαι 66 ἀφρός (Υ 168) 67 ἄφρων (Λ 389)· μωρός, ἄνους 76 ἄφ[ε]υκτον (Morris)· ἄφευκτον 79 ἀφύλλοις (Β 425)· ξηροῖς ⟨αἷς⟩ 84 ἄφυξιν (Λ 171)· ἀπάντησιν 85 ἀφυπνίσας· ἀφύπνισεν ⟨Moer. p. 61; Eur. Rhes. 25⟩ 88 ἀφυσσάμενοι (Γ 295)· ἀντλήσαντες

ἀχαιῖναι (Arist. Byz. ex Aristot. HA II 11, 5. IX 6, 3)· ἐλάφων ἡλικίαι

ἀχαίνει· σαίνει. παίζει. κολακεύει

Ἀχαιοί (Α 22)· οἱ Ἕλληνες. κυρίως δὲ Ἀχαιοὶ οἱ κατοικοῦντες μέρος τι τοῦ Πελοποννήσου, τὴν καλουμένην Ἀχαΐαν (Apoll. lex. 50, 4)

ἀχαιομάντεις· οἱ τὴν τῶν θεῶν ἔχοντες ἱερωσύνην ἐν Κύπρῳ [5. 6]

ἀχάλκευτα τρύπανα· τὰ φρύγια, πυρεῖα. Σοφοκλῆς Φινεῖ βφ (fr. 638)

†ἀχανά· κλήματα ⟨ἀχάν· ἠχήματα?⟩

ἀχάνας (Ar. Ach. 108)· τινὲς μὲν Περσικὰ μέτρα. Φανόδημος δὲ κίστας, εἰς ἃς κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρίας στελλόμενοι [10]

ἀχανές· ἡπλωμένον (πέλαγος)

ἀχάνη (Aristoph.)· μέτρον σίτου ἐν Βοιωτίᾳ, χωροῦν μεδίμνους μέ (Aristoteles)

ἀχανής (Hegesipp. v. 25 p. 480)· ἄφθογγος. μὴ ἀνοίγων στόμα [14. 15]

ἀχαρές· λυπηρόν ⟨cf. 8920. 9006⟩

ἀχάριστα· ἀγνώμονα

ἀχάριστα (θ 236)· ἀχαρίστως, ἢ ἄνευ χάριτος

ἀχαριστεῖν (Antipho)· μὴ χαρίζεσθαι

ἀχαρίστερον· ἀχαρι(σ)τότερον
 δόρπου δ' οὐκ ἄν πως ἀχ.ρίστερον (υ 392)
οἱ δὲ λυπηρότερον

ἀχάρνα(ς· Arist. HA. VIII 4, 2. 20, 7)· εἶδος ἰχθύος

Ἀχάρνη.· δῆμος τῆς Ἀττικῆς

Ἀχαρνικαὶ πύλαι Ἀθήνησιν

Ἀχαρνικοὶ ὄνοι (Com. II 1 p. 502)· ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον [25—27]

ἄχειλον· ἄτροφον. πολύχορτον ⟨v. ἀγχιλὰ et εὔχειλον⟩

ἀχείμα[σ]τον (Aesch. Suppl. 136)· ἀτάραχον

ἀχείρωτος (Thuc. VI 10, 5)· ἀπόρθητος. ἀήττητος, ἀνίκητος. Χειροῦσθαι γὰρ λέγεται νικᾶσθαι

ἀχέλιον· τὸ λεπτομερές (τῶν ἀχύρων)

ἀχέλουρις· ποίμνη τις παρὰ Ταραντίνοις

Ἀχελῷος· ποταμὸς Ἀκαρνανίας. καὶ πᾶν ὕδωρ οὕτως λέγεται (Didym. p. 85) [34]

ἄχερδος (ξ 10)· ἄκανθα ποιά
 καὶ ἐθρίγκωσεν ἀχέρδῳ

ἄχερνα· ἰχθῦς ποιός

ἀχερούσια· ὕδατα ἑλώδη (Aristoteles EM. 180, 55)

ἀχερωΐς (Ν 389)· δένδρου γένος ἀκάρπου. λεύκη

Ἀχέρων (κ 513)· ποταμὸς ἐν ᾅδου

†ἄχεται· στυγεῖ. μέμφεται ⟨ἄχθεται?⟩

ἀχέτας (Ar. Pac. 1159)· ὁ τέλειος, καὶ φωνήεις

ἀχέτης (Aristot. HA. IV 7, 7)· ὁ ἄρρην τέττιξ. ὁ λαλίστατος [43]

ἀχήν· ἄπορος

ἀχηνεῖς· κενοί

ἀχῆνες· πένητες ⟨v. 1440 et ἠχῆνες⟩

ἀχηνία (Aristoph. fr. VI p. 954 Aesch. Ch. 301)· ἀπορία, ἀπὸ τοῦ μὴ ἔχειν. καὶ οἱ πένητες ἀχῆνες· τινὲς δὲ ὅτι τὰ κενὰ ἠχεῖ ⟨v. μὴ 'π' ἀχην.⟩ [48. 49]

(ἀχηρὴς ὕπνος vide ἀλχηρής)

ἄχηρον· ἀκρίδα ⟨ἀχράδα⟩ Κρῆτες

Ἀχηρώ· ἡ Ἀχηρὼ καὶ Ὦπις καὶ Ἑλλ(ή)γηρις καὶ Γῆ καὶ Δημήτηρ ἡ αὐτή

†ἀχητεῖς· ἀζήτητοι. ἀσύνετοι: ἄποροι ⟨ad ἀχηνεῖς⟩

(ἀχθεινόν [Attici]· ἐπίπονον, ὀδυνηρόν)

ἄχθεος· βάρους [56. 57]

ἄχθεσθαι· βαρεῖσθαι

ἄχθεται· λυπεῖται [60]

ἀχθηδόνα (Thucyd. IV 40, 2)· λύπην. ὀδύνην. βάρος

†ἀχθηρές ⟨—όν? Antiphan. com. III p. 51, 3⟩· λυπηρόν

COD. 1 ἀχαίνε 2 πέζει 7 φηνεῖβω 9 θεωρίας [ἰόντες οἱ εἰς θεοὺς] τιλλόμενοι 12 ἀχανὴ — μέδιμνον ἓν 18 ἀνευχαρίστως ⟨21 cf. ἀκάρναξ et ἄχερνα; al. ἀχαρνώς⟩ 23 ἀχάρνι, καὶ 24 ἀχάρνικοὶ 32 ἀχέλουρις· τῶν ἀχύρων 33 ἀρκαδίας 35 ἀχέρδος — ἐθριγκῶσ ἐν 36 ἄχερλα ⟨v. 8921⟩ 37 ἀχερού 39 ἐλιάδου 41 φονηείς 52 ἀχειρώ bis. Cf. ἐπωπίς, ἐγγῆρυς ⟨Ἑλήγηριν Eustath.⟩ et χειρογονία 54 Legebatur ἀχθινόν ⟨sic⟩ post 64 62 ἀχηρής EM. 181, 18.

HES. 5 Ἀχαιοῖς (Α 2)· τοῖς Ἕλλησιν 6 Ἄχαξ (LXX)· κατάσχεσις 10 ἀχαν[αν]εῖ (Sapient. XIX 16)· ἀνανοίκτῳ 14 (ἀχανής·) ἄφωνος e Moer. Att. 15 ἀχανόωσαν (Ψ 300)· ἐπιθυμοῦσαν 25 ἀχέα λύπη (Eur. Hel. 336) 26 Ἀχεής· γυνή ⟨Ἀχαιΐς⟩ 27 ἄχειν προτραπέσθαι (Ζ 336)· τῇ λύπῃ ὑπεῖξαι, καὶ οἷον ὑποχωρῆσαι 34 ἀχαιὸς νεφέλη (Ρ 591)· περιφραστικῶς λύπη 43 ἀχεύων (Ε 869). λυπούμενος 48 ἀχείμονα· ἀγυνήν 49 ἀχειρές· ἀχρεῖον 56 ἄχητι· λυπήθητι ⟨ἄχθητι⟩ 57 Ἀχθεία· ἡ Δημήτηρ μυστικῶς ⟨Ἀχαία⟩ 60 ἄχθη· ἀκαθαρσία. ἀφρὸς θαλάσσης ⟨ἄχνη⟩

ἀχθήσας· γομώσας. ἤγουν πληρώσας

ἀχθηφόρος· νωτοφόρος. βάρη φέρων

ἀχθομένη (Ε 361)· βαρυνομένη

ἀχθόμενος (ι 225?)· βαρούμενος. λυπούμενος

ἄχθος (Homer.)· λύπη. βάρος

ἀχθών· κορμὸς ἐκ λιπαροῦ δᾳδίου. Λάκωνες [69—71]

Ἀχίλλειον πλάκα (Tragic. inc.)· τὴν Ἀχιλλέως νῆσον, τὴν Λευκὴν λεγομένην. (εἰσὶ δὲ καὶ Ἀχιλλέως δρόμοι (Eur. IT. 436. 7) περὶ ταύτην τὴν νῆσον)

Ἀχιλλείων· Ἱππεῦσιν (819) Ἀριστοφάνης καὶ Σοφοκλῆς Σκύθαις (fr. 504). Ἀχιλλείων ἔνιοι δὲ ⟨λέγουσι⟩ τῶν λευκῶν. τινὲς δὲ σπόγγον ⟨ων?⟩ φασί, οἷς τοὺς ὀφθαλμοὺς ἀποψῶνται [74]

† ἀχληρόν· ἀπεχθές ⟨v. 8962⟩ [76. 77]

ἀχλύν (Ε 127)· σκοτίαν. καὶ ἀορασίαν (η 41)

ἀχλυοέσσης· σκοτομήνης

ἀχλύς (Ε 696)· ἡ ἐν τοῖς ὀφθαλμοῖς λεπτὴ ἰλύς. ὀμίχλη. σκοτία. ἀμβλυωπία

ἄχνα (ς· Ε 499. 501) ἄχυρα λεπτά. ἀποβράσματα

ἄχναν· τὴν † οἴκησιν. καὶ τὴν ἐπὶ τοῦ σίτου λεπτὴν καλάμην

ἄχνη· τὸ ἄχυρον

ὡς δ' ἄνεμος ἄχνας φορέῃ (Ε 499)

ἄχνη δὲ καὶ ὁ ἐπιπολάζων ἀφρὸς τῷ κύματι τῆς θαλάσσης

ἄχνημος (Cretice?)· νῆστις

ἄχνην Λυδῆς κερκίδος· Σοφοκλῆς Αἰχμαλώτοις (fr. 49). Ἄχνην τὸ ἄκρον κατὰ τὴν ἐργασίαν ἄκρως ἔχον, ἢ ἀπὸ τῆς θαλασσίας ἄχνης· ἔστι γὰρ λαμπρὰ καὶ διαφανής. γράφεται δὲ καὶ Ἴχνη (Herod. VII 123)

ἄχνη πυρός (Aesch. fr. 327)· ὁ καπνός. καὶ Ἀριστοφάνης οὕτως ἄχνην (Vespp. 92) ὕπνου. ὁ δὲ Ἱπποκράτης (III p. 274 K) τοῦ λίνου ἄχνη· δηλοῖ δὲ [καὶ] τὸ λεπτὸν ξύσμα [87]

ἄχνυλα· κάρυα. Κρῆτες [89]

ἀχνῶδες· ἄχνῃ ὅμοιον [91]

ἄχορα (Aristoph. fr. XI p. 1120)· τὰ πίτυρα. ἔνιοι δὲ † κρανίον ⟨κήριον⟩ [93. 94]

ἀχόρους (Eur. Andr. 1038)· κακοχόρους

ἀχόρταστος (Menand. fr. CXLIV)· ἄπληστος

ἄχος (Hom.)· λύπη [98]

ἀχράδα· ἄπιον (Λάκωνες). καὶ βοτάνη

ἀχραδαμύλα· ὁ κοχλίας. Ταραντῖνοις

ἀχράδας (c. c. Eupol. fr. VIII p. 439)· τοὺς ἀπίους [9002]

ἀχραδῆναι ⟨—ῖναι⟩· ζῷά τινα ..... καὶ ξυλοφάγα

ἀρχανές· ἄρχαντον, ἀμόλυντον, καθαρόν, ἀμίαντον. Χραίνειν γάρ ἐστι τὸ μιαίνειν

ἄχρατοι (Cretice)· οἱ πολέμιοι

ἀχρέα· βλάσφημον. ἄμορφον. ἀχρεῖον. λυπηρόν

ἀχρεῖον ἰδών (Β 269)· εἰς οὐδεμίαν χρείαν ἐμβλέψας. σκυθρωπάσας, καὶ δια(σ)τρέψας τὴν ὄψιν. καὶ ἐπὶ τῆς Πηνελόπης·

ἀχρεῖον δ' ἐγέλασε (σ 162)

τὴν μὴ ἀπὸ γνώμης γελῶσαν δηλοῖ

ἀχρήματ† α· ἀδάπανον. Σοφοκλῆς Σκυρίοις (fr. 513)

ἀχρημοσύνη (ρ 502)· πενία. ἔνδεια. ἀπορία

† ἀχρήεις ⟨—ῆς⟩· μάταιος. ἐλαφρός. ἄχρηστος

ἄχρηστος· ὁ μὴ χρηστηριασάμενος [12—14]

(ἄχρι εἰς τὸν ὄλεθρον· μέχρι τοῦ ἐσχάτου καὶ ἀπεράντου) [16]

† ἀχρισατέες· ἀληθές

ἀχρο(ι)ίην (Herod. I 74)· ὁμόχροιαν, καὶ συγχρωματισμόν

ἄχρονον· τὸ μὴ ἀρξάμενον ἐπὶ χρόνου

COD. 64 Cf. 8954 ⟨71 Cretice?⟩ 73 ἀχιλλίων — ἀχιλλίων. εἰσὶ δὲ — νῆσον. ἔνιοι 81 |βιάσματα 84 Pro ἄκμηνος; cf. χνισμός 85 λυδίς — ἢ ἐπὶ. Cf. Steph. Byz. 342, 17 86 λιμοῦ 92 ἀχόρα 95 ἀχώρους· κακοχώρους 9000 ἀχραδάμυλλα; cf. ἀκραμύλα et χραμαδοῖλαι 5 Pro ἄκρατοι 7 εἰδῶν 10 Post ἄχρηστος legebatur ἀχρήϊστον ὄλεθρον [9015] 18 |άτιστον

HES. 69 ἀχι· ποῦ (Α 607). ἢ χόρτῳ χλωρῷ (Sirac. XL 16) 70 ἀχιά· ἔρια μαλακά ⟨v. ἀχαία⟩ 71 ἀχίκητα (Ρ 75)· ἀκατάληπτα 74 Ἀχινάων (Β 625)· τῶν Ἐχινάδων 76 ἀχλυδιᾶν· θρύπτεσθαι ⟨v. χλοιδῶσι⟩ 77 ἀχλύμενος (Α 103 al.)· λυπούμενος 87 ἀχνητόν· δαψιλές. ἄφατον. πολύ. ἄφθονον ⟨l. ἀχύνετον⟩ 89 ἀχνύμενος (Α 103 al.)· λυπούμενος 91 ἄχολον· ἀποσκευαζόμενον τὴν ὀργήν. κωλυτικὴν ὀργῆς δύναμιν ἔχον νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων (δ 221) 93 ἀχώρητος· ὁ μὴ χωρούμενος 94 ἀχώριστος· ὁ μὴ χωριζόμενος 98 ἄχουσα (Φ 340)· κραυγάζουσα 9002 ἀχράδα· ἄπιον Λάκωνες 12 ἀχρήμων (Eur. Med. 461)· πένης. καὶ αὐτάρκης 13 ἄχρης ἀπελύησεν (Δ 522)· παντελῶς ἀπέκοψεν 14 ἄχρι (σ 369)· μέχρι. ἕως: ἄχρις ⟨e Moeride⟩ 16 ἄχριον· ἄχριστον

ἀχρονοτριβές· σύντομον. ταχύ. παρὰ τὸ μὴ τετρῖφθαι ἐν χρόνῳ, ἢ χρόνον πολὺν διατρῖψαι

ἄχροοι· πυρραὶ ἡμίονοι

† ἄχροον· πονηρόν. Λάκω(νες) νόθον

(ἀ)χύνετον (Nic. Alex. 174)· πολύν, (δαψιλές, ἄφατον, ἄφθονον)

ἀχυρμιαί (Ε 502)· τόποι, εἰς οὓς τὰ ἄχυρα ἐκπίπτει λικμώμενα

ἄχυρος (Ar. Vespp. 1310)· ὁ ἀχυρών. ἀχυ(ρ)οδόκη (Xen. Oec. XVIII 7)· ἀποθήκη τῶν ἀχύρων

ἀχώνευτον· ἄκαυστον

ἄχωρ· τὸν ἄχορα (Aristoph. fr. IX p. 1120). εἴρηται δὲ ἀποπιτυρίασις κεφαλῆς

ἄχωρος· ἐν κατάρᾳ λέγεται ὁ μήτε τάξιν βίου μήτε κατάστασιν οἰκίας ⟨—είαν⟩ ἔχων

ἄψ (Α 60)· πάλιν. εἰς τὰ ὀπίσω. ἐκ δευτέρου

† ἀψάκειν· ἀποτυχεῖν

ἄψαλα· ἀψοφητὶ πορεύεται

ἀψάλακτος (Cratet. fr. XI p. 250)· ἀκίνητος. ἀψηλάφητος. ἀκράτητος. Σκύθα(ις) Σοφοκλῆς (fr. 605)

ἀψάμαθον· ἀψ...ον

ἄψασθαι (ι 397)· ἀναφθήσεσθαι· ἄψασθαι, χλωρός περ ἐών

ἀψάσθην (Κ 377)· ἐπελάβοντο· χειρῶν (δ') ἀψάσθην

ἄψαυστον· ἀπροσπέλαστον. ἀνέπαφον (Thuc. IV 97, 3). ἀψηλάφητον [37—40]

ἄψεκτον· ἄμωμον, ἀμεμπτον. [ἀψευδές]

ἀψελές· ὑγιές (8681. 8779)

† ἄψερον· ὕστερον. πάλιν

ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς Φαίδρᾳ (fr. 625)

ἀψεφέων· ἀμελῶν

ἀψηλάφητον· ἀνέπαφον ⟨spur.?⟩

† ἄψητος· ἀνυπότακτος

ἄψηφον· πολύ. μέγα. ἰσχυρόν

ἀψίαι· ἑορταί. Λάκωνες ⟨v. ἐψίαι⟩

ἀψῖδες· τὰ κύκλα τῶν τροχῶν. αἱ περιφέρειαι. ἢ καμάραι

ἀψίκορον (Plat. Ax. 369 A)· ἄπλησμον. ἢ ἅμα τῷ ἅψασθαι κορεννύμεναι καὶ ταχέως

ἀψίκορος· καματηρός. ταχέως ὀλιγωρῶν, καὶ κόρον λαμβάνων

ἀψικόρως· εὐμεταβλήτως

ἄψιλον· ἄπτερον, ἢ πολύπτερον

ἀψιμαχία· συναφὴ μάχης

ἀψίμαχος· ἐπίμαχος. ἐπίφορος μάχης

ἀψιμισία· πρὸς ὀλίγον διαφορά

† ἀψίον· τὸ πρόσωπον

† ἀψίορ· μέγα. πλατύ. πολύ. ἰσχυρόν [60]

ἀψῖσι λίνου (Ε 487)· ἅμμασιν. ἀπὸ τῆς συναφῆς [62]

ἄψοος· θηρίον τι κατεσθίον ἀμπέλους

ἄψορρον (Soph. Ai. 369)· ὀπισθόρμητον

ἄψορρον (Δ 152 al.)· παλινόρμητον, ἐξ ὑποστροφῆς

ἀψορρόου (Σ 399 υ 65)· ἀνάπαλιν ῥέοντος. ταχυρ(ρ)όου

ἀψοφητί· ἠρέμα. ἡσύχως .... Κόλακι (Com. IV p. 155)

ἀψόφητος (Soph. Ai. 321)· ἄνευ κραυγῆς

ἀψυθές· ἀληθές, οὐ ψευδές

ἀψυχίη (Hippocr. II p. 216 K)· λειποθυμία

ἄψυχον (εἰκὼ Eur. Med. 1162)· εἴδωλον μὴ ἔχον ψυχήν

ἄψυχος· δειλός. καὶ ὁ τῶν Πυθαγορικῶν βίος

ἄψω· προσεγγίσω. δήσω. Κρατῖνος (fr. LV p. 196)

ἀῶ· † ὑγείᾳ. ἡμέραν (Theocr. XVIII 14)

ἀωδυνεῖν· ἀπονεῖν. ὑγιαίνειν

ἀῷος· πρωϊνός, ὀρθρινός

† ἀώλυπον· τὸ οὐκ ἀπολλύμενον

ἀῶν (Epicharm. fr. 34)· ἰχθῦς ποιός

Ἄωοι· θεοὶ οἱ ἐκ Δρόμου μετακομισθέντες εἰς Σαμοθράκην (ἢ) Λῆμνον. καὶ Κίλικες ἀπὸ Ἀώου τοῦ Κεφάλου (ἢ) τοῦ παραρέοντος ποταμοῦ

ἀωρεῖν· ὀλιγωρεῖν. ἀπειθεῖν. φυλάσσειν ⟨ad γαωρεῖν?⟩ [81. 82]

ἄῶροι (μ 89)· εἰ μὲν δασέως γράφει τὸ ῶ ὡμοί· ὥριμοι γὰρ οἱ πέπειροι· εἰ δὲ ψιλῶς ἀφύλακτοι. βέλτιον δὲ οἱ μὴ δυνάμενοι ὀρούειν· ἐνερρίζωται γὰρ ταῖς πέτραις ἡ Σκύλλα καθάπερ οἱ κοχλίαι

COD. 20 ἄντομον 22 λακωνόθον 23 Cf. ἀχυητόν 27 ἀχώρατον — ὅτι πυρίασις 30 ἀψακεῖν Cyr.; cf. ἀπαρκτεῖν 34 περεωνί 45 Cf. καταψέφει, ψέφει 50 ἀψίδες 52 καυματινὸς 53 ἀμετ| 57 ἀψιμεσσία 66 ἀψόρροον — ταχυρόου 67 κολακείᾳ 69 ἀψηθές 73 ἀψῶ· προσαγγίσω 78 ἀῶν 79 λίμνην — περιρ|

HES. 37 ἂψ ἀπιών (Κ 289)· πάλιν ὑποστρέφων 38 ἂψ αὖθις (Θ 335)· πάλιν ἐκ δευτέρου (Ο 364) 39 ἂψ δέ (Α 220)· πάλιν δέ 40 ἄψεα (δ 794)· αἱ συναφαὶ τῶν μελῶν. οὐχὶ τὰ μέλη (Greg. Naz. Carm. IV 6 p. 207) 60 ἀψῖσι· συναφαῖς 62 ἀψίτω (α 276)· ἐπανίτω 81 ἀώρησις· κρέμασις 82 ἀωρία (gl. Ps. CXVIII 147)· σκοτία. μεσονύκτιον. ἄπρακτος ὥρα

ἄωροι (Callim. fr. CCCXXV)· ὠμοί. ἄγριοι. σκληροί

ἄωρον· ἀπρεπές. ἄχαρι. ἄκαιρον ⟨Eur. IA 1218 et v. οὐκ ἄωρον⟩. ἄμορφον (Plat. Pol. IX 574 C)

⟨ἄωρος· ἄϋπνος ⟨ὁ ὕπνος?⟩ Μηθυμναῖοι

ἄωρτο (Γ 272)· παρήρτητο⟩ [88]

⟨ἀωτεῖς· ἀπανθίζεις. κοιμᾷ Κ 159⟩

ἀωτεῖτε (κ 548)· ἀπανθίζετε τὸν ὕπνον

ἀωτεύειν· ἀπανθίζεσθαι

ἄωτοι· ὦτα μὴ ἔχοντες

ἄωτον· ἔριον. ἄνθος
  ἀώτου θεσπεσίοιο (ι 434)
ἐρίου θείου. Ἄωτον (Ι 657) γὰρ τὸ ἄνθος

ἄωτος (Theocr. XIII 27)· τὸ ἄνθος, ἀρσενικῶς. ἢ μὴ ἔχων ὦτα

ἀωτοῦσιν· ἀνθοῦσιν

Β.

Βαβάζειν· τὸ (μὴ) διηρθρωμένα λέγειν. ἔνιοι δὲ βοᾶν

βαβαί (Comici)· θαυμαστικὴ φωνή

COD. 41 ἦγε π ἀριστουν 44 ἱππικὴν 50 φασκίας 51 βοσκέων ⟨55. 59 βοστρυχλιδῆ Meinek.⟩ 59 τὸ [θάλπον ἢ] 60 πάντων δὲ καὶ — ἐπὶ 65 βοτροιδία, ἐνωτάριον — |ἀζουσιν 71 βροτῶν 72 δηλοῖ Λάκωνες 73 βου̃α (βουο̃α EM.) 75 βουάγορ 77 βουβαλίς 79 Cf. EM. 206, 19 et βούπαλον 80 μεγάλαι 82 καυχητιῶν EM. 206, 18 83 βουβάρτις 88 |ίας σκότος 89 βουγάϊος 90 βουγενεῶν — ἅρμενοι γ. δανάου 82 |ῆστις 93 |σίον

HES. 47 βοσκημάτων (II Paralip. VII 5, non Eur. El. 494)· θρεμμάτων 48 βοσκόμενον· δαπανου̃ν 49 βόσκων (Ierem. XXXI 10)· τρέφων 56 βοστρύχια· στέμφυλα ⟨βρύτια⟩ 66 βοτρύδιον (B 89)· κατὰ συστροφήν 69 βοτιανείρη (Α 155)· τροφὴν ἀνδράσι παρέχουσα 70 βοτύσι (Σ 521)· βοσκήμασι 79 βούβαλος (Deuter. XIV 5)· δορκάδιον. καὶ μέγα καὶ πολύ 81 βούβαρα· μεγάλα 94 Βούδ(ε)ιον (Π 572)· πόλις

Βουζύγης· ἥρως Ἀττικός, ὁ πρῶτος βοῦς ὑπὸ ἄροτρον ζεύξας· ἐκαλεῖτο δὲ Ἐπιμενίδης (Aristot. ap. Serv. ad Georg. I 19). Καθίστατο δὲ παρ' αὐτοῖς καὶ ὁ τοὺς ἱεροὺς ἀρότους ἐπιτελῶν βουζύγης

βουθερεῖ (Soph. Tr. 188)· ἐν ᾧ βόες θέρους ὥρᾳ νέμονται. καὶ βουθόρωι τὸ αὐτό

† **βουθοίνης**· βούχειλος ⟨—οίνης —χιλος⟩

† **βούθουτον**· ὅ τινες ἀμέμαρον· Ἀχαιοὶ δὲ ἰσόχοιρον. Ἀριστοφάνης. Λάκωνες

Βοῦθος περιφοιτᾷ (Cratin. fr. XVI p. 158)· παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα τοῦ Πύθια νικήσαντος, ὃν ἀναγράφει καὶ Ἀριστοτέλης νενικηκότα [902]

βουκάϊος (Nic. Ther. 5)· βουκόλος. οἱ δὲ θεριστής

βουκανῆ· ἀνεμώνη τὸ ἄνθος. Κύπριοι

βουκάπαι· τῶν βοῶν αἱ φάτναι

βουκέντας· βοηλάτας

βούκερας (Menesth.)· τὸ σπερμάτιον, τῆλις

Βουκέφαλος· ἵππος ἐγκεχαραγμένον ἔχων τοῖς ἰσχίοις βούκρανον (Aristoph. fr. II 2 p. 961). καὶ ὁ Ἀλεξάνδρου ἵππος, ἀφ' οὗ πόλιν ἐν Ἰνδοῖς κτίσαι λέγεται

βουκολέοντα (Callim. Del. 176?)· .....

βουκολητής· ἀπατεών [11]

βουκολίη· κακολογία

βουκολίνη· κίγκλος τὸ ὄρνεον

βουκολι[α]σμός· μελοποιίας τινὸς εἶδος καὶ ὀρχήσεως· ἀμφότερα δὲ ἀγροικικά. καὶ Θεοκρίτῳ (Id. V) γέγραπται [15. 16]

βουκόλοι· οὐ μόνον οἱ τῶν βοῶν νομεῖς, ἀλλὰ καὶ ζῷά τινα οὕτω καλοῦνται [18]

βουκολοῦμαι· ἀπατῶμαι

βουκολουμένας· ἀπατωμένας. ἀπολουμένας ⟨ἀπαιολωμένας?⟩

βουκολοῦντες· ἀπατῶντες

βουκολῶν· ἀπατῶν. σοφιζόμενος

Βουκόλω Φαρσαλίας· πόλις Θρᾴκης

βουκόρυζος (Menand. fr. CCCCXIII)· ἀναίσθητος. ἀσύνετος

† **βούκτησις**· φυσητική ⟨βούκτας· —ός Laconice?⟩ Cf. col. 301, 12

βουλαῖα· τὰ βεβουλευμένα

βούλακα· βόλου ὄνομα ⟨βῶλον Cypril?⟩

βούλει· βούλῃ (schol. Ar. Plut. 40)

βουλεία (Ar. Thesm. 809, Dinarchus)· ἡ τοῦ βουλεύειν ἀρχή [30. 31]

βούλευμα· αἱ βουλαί

βουλεύσεως ἔγκλημα· τὸ ἐπιβεβουλευκέναι θάνατον οὕτως Ἀθήνησιν ἐλέγετο (Isaeus, Dinarchus, Aristot.)

βουλευτικόν (Ar. Avv. 794)· τόπος τις Ἀθήνησιν ἐν τῷ θεάτρῳ, ὅπου οἱ βουλευτικοὶ καθήμενοι ἐθεῶντο· καὶ οὐ οἱ ἔφηβοι ἐφηβικὸν ἐκαλεῖτο

βουλευτικός· φρόνιμος

βουλευτός· ἀντὶ τοῦ βουλευτής

βουλεφίη· ἡ λέξις παρὰ Ξάνθῳ. λέγει δὲ τὰς Ἀμαζόνας, ἐπειδὰν τέκωσιν ἄρρεν, ἐξορύσσειν αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοχειρίᾳ

βουλή· γνώμη. θέλημα. ἢ τόπος. ἄνδρες. πρᾶγμα βουλῆς

βουλῆς λαχεῖν (Plat. com. fr. IV p. 670)· τὸ λαχεῖν βουλευτήν. καὶ δραχμὴν τῆς ἡμέρας λαβεῖν

βουληφόροι· καὶ ἐπιθετικῶς μὲν αἱ ἐκκλησίαι· κυρίως δὲ βασιλεῖς (Β 24) [40]

βούλιμος (Alexid. fr. I 17 p. 444)· μέγας λιμός

Βουλίς· γυνὴ οὕτω καλουμένη

βουλυτόν (Π 779)· τὴν δείλην ὥραν, ἐν ᾗ τὸ ἄροτρον λύεται τῶν βοῶν

βουμανές καὶ † **βορύπαστον**· εἴδη βοτανῶν

βουμέτρης· ὁ ἐπὶ θυσιῶν τεταγμένος παρὰ Αἰτωλοῖς

βούμυκοι· φωναὶ μυκη(θ)μῷ ...... [48]

(**βουνιάς** [Nicandr. fr. 70, 3]· γογγυλίδι ὅμοιον Θετταλοί)

βοῦνις· γῆ. Αἰσχύλος (Suppl. ter.)

βούνιον· πόας εἶδος

βουνόμαι (Ar. Ran. 1383?)· ἰλώδεις λέγονται

COD. 97 βοζήγις — ἢ πρ. — ἀρότρους ἐ. 98 |θέρει — βούθοροι 901 βουθός πέφυται 3 ἄνεμον ἢ τὸ 7 σπέρμα τῆς τίλης ⟨v. EM. 207, 40⟩ 8 ἀχίοις — ἰνδίοις 28 βούλη· βουλή 33 ἐπὶ — θανάτου 34 εὔφημοι — εὐφημικόν 38 πρ. β. [λαχεῖν] 47 βουμυκαί — μυκημῶν 49a βουσία κτλ. legebantur infra post 981 49b βουνίς

HES. 902 βουϊέρευσεν (Η 314)· βοῦν ἔθυεν 11 βουκόλεα (I Reg. XIV 32)· ἀγέλη βοῶν 15 βουκολεῖσθαι· χρησταῖς ἐλπίσι (ἀπατᾶσθαι) 16 βουκολήσομεν· μεριμνήσομεν. ἀπτάσομεν ⟨l. ἀπατήσομεν⟩ 18 βουκόλος (Ψ 845)· βοονόμος, βοοσκός ⟨v. hoc⟩ 30 βούλεον· βούλευμα 31 βουλεύσαντες (Δ 531)· βουλεύσαντες, δυϊκῶς 40 βουληφόρον (Β 24)· σύμβουλον· οἱ δὲ δεινὸν βουλεύσασθαι· οἱ δὲ βουλευτήν 48 βοῶναι· οἰκίαι ⟨v. 1020⟩

βούνομον· ὑπὸ βοῶν νεμόμενον
βουνός· στιβάς. Κύπριοι [54]
βούπαις (Ar. Vespp. 1206 al.)· νέος, μέγας, ἀφῆλιξ, μέγας παῖς. ἢ ἰχθύς ⟨ἰσχυρός?⟩
βουπαλίδες· περισκελίδες ⟨878⟩
Βούπαλον· μέγα. καὶ ὄνομα (Hipponax)
βούπειναν· μέγαν λιμόν
βούπλευρον· λαχάνων εἶδος (Epaenet. schol. Nic. Ther. 586) [60]
βουπλήξ (Z 135)· μάστιγξ. πέλεκυς. βουκόπος
βουπόλον· βουκόλον
βουπόρους ὀβελούς (Herod. II 135, non Eur. Cycl. 301)· μεγάλους ὀβελίσκους [64]
βουπρηόνες· κρημνοὶ μεγάλοι, καὶ λόφοι
βούπρηστις (Nic. Alex. 346 al.)· λαχάνου εἶδος
βούπρωρον· θυσία τις ἐξ ἑκατὸν προβάτων καὶ βοὸς ἑνός· οἱ δὲ τὴν ἥβωσαν ἢ βουάρχην· σημαίνει δὲ καὶ τὴν βουπρόσωπον
†βούπρως· ἀσθένεια
βούπτινον· βοτάνη, λεγομένη τρίφυλλον
Βοῦρα (Callim. Del. 102)· πόλις τῆς Ἀχαίας
βουρικυπάρισσος· ἡ ἄμπελος. Περγαῖοι
βούρυγχος· ἰχθῦς κητώδης
βούρυτος· ποταμὸς μέγα ῥεῦμα ἔχων
Βούσβατον· τὴν Ἄρτεμιν. Θρᾶκες
βοῦς· πόπανόν τι τῶν θυομένων οὕτως ἐν ταῖς ἁγιωτάταις Ἀθήνησι θυσίαις. ἦν δὲ βοΐ παραπλήσιον. κυρίως δὲ βοῦς. ἡ ἀσπίς. βάρος (Aesch. Ag. 35 schol.), †ἀργός ⟨ἄργυρος?⟩ [76]
βοῦς ἐν αὐλίῳ· παροιμία ἐπὶ τῶν ἀχρήστων. Κρατῖνος Δηλιάσιν (fr. X p. 35)
βοῦς ἐν πόλει· χαλκοῦς (Plat. com. p. 688 Henioch. vol. III p. 560) ὑπὸ τῆς βουλῆς ἀνατεθείς
βοῦς ἐπὶ δεσμά καὶ βοῦς ἐπὶ φάτνην ⟨—νῃ δ 535⟩ καὶ ἐπὶ σφαγήν (Proverb. Sal. VII 22) καὶ κύων ἐπὶ σῖτον καὶ ὗς ἐπὶ δεσμά
†βουσή· δούλη
†βοῦς· μάστιγξ
βοῦς ἡγητήρ (Antiph. com. III p. 68)· τὸν εἰς ἑορτήν [εἴρηται κακοσχόλως ἐπὶ τοῦ γυναικείου αἰδοίου ⟨ad βοῦς⟩
βοῦς Κύπριος· κοπροφάγος, εἰκαῖος, ἀκάθαρτος. σημαίνει δὲ ἀτοπίαν τῶν Κυπρίων. καὶ Εὔδοξος ἀφηγεῖται, ὅτι κοπροφαγοῦσιν
βοῦς πετηλός· ὁ ἀναπεπταμένα τὰ κέρατα ἔχων [85. 86]
βουστροφηδόν· οὕτως ἔλεγον, ἐπὰν ὁμοίως τοῖς ἀροτριῶσι βουσὶ τὰς ἀντιστροφὰς ποιῇ τις. ἔλεγον δὲ ἐπὶ τοῦ γράφειν τρόπῳ τοιούτῳ (Euphorio fr. V)
βούσυκα· τὰ μεγάλα σῦκα [89]
Βουτάδαι· γένος Ἀθήνησιν, ἀπὸ τῆς Βούτου γενεᾶς
βοῦται· βουκόλοι, νομεῖς, βοτῆρες [92]
βουτάνη· μέρος τι τῆς μακρᾶς νεώς. ἡ μάστιγξ ⟨v. βουστάνη⟩. ἡ τάνυσις τῆς βοείας. μέρος δὲ τῆς νεώς, πρὸς ὃ τὸ πηδάλιον δεσμεύεται. δηλοῖ δὲ καὶ μάχην, ἀηδίαν ⟨ad οὐανία?⟩
†βούταρος· ὁ παχὺς ⟨ΒΟΥΓΑΙΟC?⟩
βούτας· βουκόλους. βοσκήματα ⟨ad βοτά?⟩
βουτελέστην· θύτην
Βούτης· ὀρίγανος ὑπὸ Κυδωνιατῶν· καὶ βουκόλος· καὶ παροιμία (Zenob. IV 28) ἐπὶ τῶν ῥᾳδίως συντελουμένων· καὶ ὁ τοῖς Διϊπολίοις τὰ βουφόνια δρῶν [98]
βούτιμοι· βοώνητοι, ὥσπερ ἀλφεσίβοιαι
βουτοί ⟨h. e. ΒΠΟΥΤ⟩· τόποι παρ' Αἰγυπτίοις, εἰς οὓς οἱ τελευτῶντες τίθενται
βούτομον (Iob. XL 16?)· φυτὸν βουσὶ διδόμενον τροφήν, οἷον χόρτον

COD. 52 βουνόμου 58 βουπεῖν . . . 61 βουσκόπος 65 |πρήονες 66 |ῆστις 70 βούρρα ⟨71 βουρι· κ. ἡ ἀ.?⟩ 73 μέγας 79 δεμά Post 981 legebatur 949^{a} βουσία (imo βουνιάς) κτλ. 82 βουσκητήριον εἰς εἱρύνην 84 πετηνός 86 κλητ| — ἀττίδι 91 βότιρες 93 π. ἡ ὁ πάχης 96 βουτελέστιν θύειν 98 |ηται

HES. 54 βουνοί· βωμοί ⟨cf. βανούς⟩ 60 βουόφθαλμος· βοτάνη τις 64 Βουπρασία (B 615)· τόπος τῆς Ἠλιάδος, ἡ κώμη ἐν Ἠλίῳ 76 βοῦς ἐπὶ γλώσσῃ· παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι (Aesch. Ag. 35). ἤτοι διὰ τὴν ἰσχὺν τοῦ ζώου· ἢ διὰ τὸ τῶν Ἀθηναίων (νόμισμα) ἔχειν βοῦν ἐγκεχαραγμένον, ὅνπερ ἐκτ[ε]ίνειν τοὺς πέρα τοῦ δέοντος παρρησιαζομένους ἦν ἔθος (Zenob. II 70) 85 βοῦς ἐμβαίνει μέγας· Στράττις (fr. VIII p. 790) εἶπε παρὰ τὴν παροιμίαν τὴν βοῦς ἐπίγνωσιν ⟨ἐπὶ γλώσσῃ⟩ 86 βοῦς ζ'· μνημονεύει δὲ τοῦ ἑβδόμου βοός (Euthycl. II p. 890). ὅτι δὲ πέμμα ἐστὶ καὶ τῆς Σελήνης ἱερόν, Κλειτόδημος ἐν Ἀτθίδι φησί 89 βουστάνη· βοοστασία, ἡ τῶν βοῶν στάσις. ἡ μάστιξ ⟨v. βουτάνη⟩, καὶ πληγή 92 βοῦς ἐμβαίη. μέγας στραττὴς (fr. VIII p. 790) εἶπε παρὰ τὴν παροιμίαν τὴν βοῦς ἐπὶ γλώσσῃ 98 βουτιανείρη (Δ 155)· τροφὴν ἀνδράσι παρέχουσα ⟨Cyprii?⟩

† βούτορον· ψάκαστρον, νιφάδ' ὑετοῦ (Nycoph. Ath. 269 E). βουκέντη. καὶ βούτουρος τὸ αὐτό

† βουτόων· ὁδὸν ἀτραπὸν ⟨v. 1018⟩; Lycoph. 697

βούτρωκτον· ὄροβον

βούτυπον· † πυθμὴν Ἀθήνησιν ἐκαλεῖτο, ἐκ τοῦ Θαυλωνιδῶν γένους καθιστάμενος

βουτύπος· ὁ βοῦν καταβάλλων. ἢ εἶδος ζώου καλουμένου ἐμπίς (Cyrill. Alex. in Hoseae c. IV p. 80)

βούτυρος· βοτάνης εἶδος. † Διονύσιος

βουφάγος· πολυφάγος

βούφαρον· τὴν εὐάροτον γῆν· φάρος γὰρ ἡ ἄροσις. † καὶ ἐπίθετον βοός

βούφθαλμον (Nicand. fr. 74, 53)· βοτάνη τις, ὑφ' ἡμῶν ⟨ὑῶν?⟩ ἐσθιομένη

βουφόνια (Ar. Nubb. 985)· ἑορτὴ Ἀθήνησιν. ἐν γὰρ τοῖς Διιπολίοις φασὶ βοῦν καταφαγεῖν, τὸ παρεσκευασμένον πόπανον τῇ θυσίᾳ, οἷον πλακούντιον ἐξ ἄρτου

βουφάρας ⟨—φορ—⟩· γεφύρας

βουφορβός (Eur. IT. 237 al.)· βοῦς τρέφων

βουχανδά· πολυχώρητα

βουχανδέα· τὸν μέγαν λέβητα

† βουχρώς τις· ἰσχυρός. ἢ ἴξηρος [17. 18]

βοῶν· τῶν τετραπόδων, τῶν βοῶν (K 352). ἢ ἀσπίδων (Π 636). καὶ φθεγγόμενος (B 224)

βοῶνας· ἀγροικίας ⟨v. 948⟩

βοώνητα· ἐπὶ ὠνῇ βοῶν δοθέντα (τιμῆς βοῶν ἠγορασμένα. παρὰ Κυπρίοις δὲ ἀνόσιε)

βοωνία· αὔλειος θύρα. Κρῆτες

βοῶπις (A 551)· μεγαλόφθαλμος, εὐόφθαλμος. Εὔπολις (fr. LXXXI p. 571) δὲ τὴν Ἥραν

Βοώτης (ε 272)· ὁ Ὠρίων. οἱ δὲ (ἀρκτο)φύλαξ

βοωτεῖν (Hesiod. Opp. 361 = 391)· ἀροτριᾶν, ὅταν ὁ Ὠρίων δύνῃ. ὃ Λάκωνες (βωτεῖν)

(βοωτύν· τὴν ἄροσιν)

βραβέα· ἄρχοντα

βραβεῖαι· διαλλάξεες (cf. Eur. Phoen. 453)

βραβεῖον· ἐπινίκιον, ἔπαθλον, νικητήριον. ἀμοιβή. ἢ στάδιον ⟨q. v.⟩

βραβεύει· διακρίνει. ἐπιψηφίζεται. μεσιτεύει. διοικεῖ [30]

βραβευτής· διαλλακτής

βράβυλος (Rhodii, Siculi)· εἶδος φυτοῦ κακοῦ

† βρά· ἀδελφοὶ ὑπὸ Ἠλείων

βράγος· ἕλος ⟨pro βράχος⟩

βραγχία· ἡ περιτράχηλος ἀλγηδών

βραγχιάζοισθε· πνίγοισθε

βραγχίον· τῆς καταφράκτου νεὼς τὸ κύτος

βράγχος· νόσημά τι τῶν ἐν τῷ σώματι γιγνομένων (περὶ) τὸν βρόγχον, ὃ τὰς ὗς μάλιστα διαφθείρει (schol. Thuc. II 49, 2) [39]

βραγχῶν· φλεγμονῇ πνευμόνων (ἁλούς)

βραδανίζει· ῥιπίζει. τινάσσει

βραδέως (Thuc. I 78)· μελλητικῶς

βραΐδιον· ῥαΐδιον. Αἰολεῖς

βράδων· ἀδύνατος ⟨v. βλαδόν⟩

βράζειν· τὸ ἡσυχῇ ὀδύρεσθαι

βράθυ· πόα τις θεοῖς θυομένη

βράκαλον· ῥόπαλον

βράκανα (Pherecr. II p. 252)· τὰ ἄγρια λάχανα (δύσπλυτα)

βρακεῖν· συνιέναι

βράκες· ἀναξυρίδες

βράκετ(ρ)ον· δρέπανον. κλαδευτήριον. † οἱ δὲ πλῆθος

βρακίας· τραχεῖς τόπους

† βρακίς· συνείς

(βράκκαι· αἴγειαι διφθέραι παρὰ Κελτοῖς)

βράκος· κάλαμος. ἱμάτιον πολυτελές (Sapph. fr. 70)

βράξαι· συλλαβεῖν: δακεῖν. καταπιεῖν ⟨v. βρύξαι⟩

βράπτειν· ἐσθίειν. κρύπτειν, ἀφανίζειν. τῷ στόματι ἕλκειν (Nic. al. 359). ἢ στενάζειν

βράσσει· ζέει. ἀναβάλλει βρασμοῖς, ἢ τοῖς σεισμοῖς

† βρασσιότροχος· κεραμικὸς ὁ μὴ ἐρρωγώς

βράσκη· κράμβη. Ἰταλιῶται

βράσσον· βραδύτερον. ἀσθενέστερον. ἢ ἑτεροκλινές, ἐπὶ τροχοῦ. ἔνιοι (1059)

COD. 5 θαυλωνίδων ⟨7. 9 † καὶ ἐπίθετον † Διονύσου ad 8?⟩ 11 βουφονία 14. 15 βουχανδέα — βουχάνδα 19 ἀπίδων 21 Cf. βοονητά 22 αὔλιος 23 εὐ. [μεγαλόφωνος] Εὐ. Cf. βριήπυος 25 ὃν ὁ ⟨cf. Procl. l. l.⟩ 25b βυωτὴν, τὴν ἄρσιν infra 1367 26 ἄρχων 27 βραβεῖα· διαλλάξ 36 bis |θαι 38 πρόγχον ὅταν — |ρεται 42 μελη| ⟨46 Symmach. ad Iesai. LV 13⟩ 48 EM. 291, 46 50 ἀναξηρίδες 52 |είας 54 Cf. 227 60 κράμη ⟨ad βρασσίκη⟩ 61 βρασσόν. Forte ἔνιοι δὲ βράσσων τροχὸς ὁ κεραμικὸς ὁ διερρωγώς

HES. 17 βούχωμα· φρόνημα ⟨v. φρόνημα⟩ 18 βοῶνα· ὁδόν ⟨v. 1003⟩ 30 βραβευέτω (Coloss. III 15)· μεσιτευέτω. μηνυσαίτω. ἠθυνέσθω 39 βράγχοντος· βρόχοις ἁλόντος (Porphyr. Plotin. p. 94 Fabric.)

βράσσονας· ταπεινοτέρας

βράσσων· ἐλάσσων· ἢ ἄτακτος, ἀπὸ τοῦ βρασμοῦ, ὁ οὐ σταθέρος [Ad 63]

βρατάναν· τορύνην. Ἠλεῖοι ⟨v. ῥατάνα⟩

βρατάνει· ῥαΐζει ἀπὸ νόσου. Ἠλεῖοι

βρατάχους· βατράχους

βράττειν· πληθύνειν. βαρύνειν

βραυκανᾶσθαι· ἐπὶ τῶν κλαιόντων παιδίων λέγεται, ὡς μίμημα φωνῆς (Menand. ap. schol. Nic. Alex. 221)

βραύκας· ἀκρίδας ⟨v. βρεῦκος⟩

βραύλα· φθείρ

βραῦλον· κοῖλον

βραῦνα· κήλη. κύστις. ἐντεροκήλη

βραυνία· κοιλώματα τῆς γῆς

Βραυρών (Euphorio fr. LXXXI)· τόπος τῆς Ἀττικῆς

Βραυρωνίοις (Ar. Lys. 645)· τὴν Ἰλιάδα ᾖδον ῥαψῳδοὶ ἐν Βραυρῶνι τῆς Ἀττικῆς. καὶ Βραυρώνια· ἑορτὴ Ἀρτέμιδι Βραυρωνίᾳ ἄγεται καὶ θύεται αἶξ

βραυῶσα· κεκραγυῖα

βράχαλον ⟨—όν?⟩· χρεμετισμόν ⟨—τικόν?⟩

(βραχ†μάζουσαι· χρεμετίζουσαι

βραχέ' ἄττα· ὀλίγα τινά) [79]

βραχεῖν· ἠχῆσαι. ψοφῆσαι [81]

βραχεῖς· ὀλίγοι

βράχιστον (Soph. fr. 173)· ἐλάχιστον

βραχίων· βραχύτατος ⟨—ερος⟩

βραχμᾶνες· οἱ παρ' Ἰνδοῖς γυμνοσοφισταὶ καλούμενοι

βραχύ· ἀντὶ τοῦ οὐδέν. ὀλίγον, μικρόν

βραχυλόν· μικρόν [88]

βραχώδης (Aeoles)· τραχύς

βράψαι· συλλαβεῖν. ἀναλῶσαι. κρύψαι. θηρεῦσαι ⟨v. ἐραπτήρ⟩

Βρέα· Κρατῖνος (fr. inc. LVI)· μέμνηται τῆς εἰς Βρέαν ἀποικίας. ἔστι δὲ πόλις Θρᾳκίας, εἰς ἣν Ἀθηναῖοι ἀποικίαν ἐξέπεμπον

βρέγμα (Stratt. fr. II p. 776)· τὸ μέσον τῆς κεφαλῆς [93]

Βρέκυν· τὸν Βρέκυντα, τὸν Βρίγα. Βρίγες γὰρ οἱ Φρύγες [95]

βρέμει· ἠχεῖ (Δ 425 Aesch. Sept. 85). φωνεῖ. σίζει. πατάσσει ⟨—αγεῖ⟩. ἀπειλεῖ ⟨v. βρίμη⟩

†βρεμεαίνων· ἠχῶν [98]

βρέμοντι· ἠχοῦντι. ἀπειλοῦντι

†βρέμβος· ἔμβρυον ⟨βρέμος⟩

βρεμούσας· ἠχούσας

βρεναιάται (Macedones?)· δυσχεραίνει(ν) προσποιεῖται ⟨βρενδίεται?⟩

βρένδον (Messapii)· ἔλαφον

(βρενθείῳ) (Sappho fr. 49)· βρενθίῳ. ἀνθινῷ

βρενθινά· ῥιζάρια τινά, οἷς ἐρυθραίνονται αἱ γυναῖκες τὰς παρειάς· οἱ δὲ ἄγχουσαν. οὐκ εὖ □ οἱ δὲ φῦκος παρεμφερὲς κάλλει Ἀφροδίτης

βρένθιξ (—ις Nicand. fr. 120)· θριδακίνη. Κύπριοι

βρένθον (cf. Pherecr. fr. V p. 298)· μύρον τι, ὡς βάκκαρις. οἱ δὲ ἀνθινὸν μύρον. καὶ ὄρνεον βρένθος (Aristot. HA. IX 2, 4), ὅπερ ἔνιοι κόσ(σ)υφον λέγουσι. †Βρένθος (Cretice?) καὶ ὁ τύμβος λέγεται ⟨v. βένθος et 1112⟩

†βρενθύνεται· ἀξιοπαθεῖ ⟨ἀπαξιοῖ?⟩. βαρεῖται. σεμνύνεται

βρενθύεσθαι· θυμοῦσθαι, ὀργίζεσθαι. † ἀξιοπιστεύεσθαι. δυσχεραίνεσθαι προσποιεῖσθαι

βρενθύεται· μεγαλοφρονεῖ (Ar. Pac. 26), ὑπερηφανεύεται, ἐπαίρεται

βρενθυόμενοι· ἐναβρυνόμενοι, τρυφῶντες [1112]

Βρέντιοι· ἔθνος ἐν Ἰταλίᾳ

βρέτας ἅγιον (Ar. Lys. 262)· εἰκών, ὁμοίωμα [15]

βρέτας (tragici)· ἀπεικόνισμά τι. ὁμοίωμά τι. παρὰ τὸ βροτῷ ἐοικέναι. ὅπερ φασὶν οἱ νεώτεροι δίκηλον

COD. 74 βαυρωνίοις — βραβῶνι 78 βραχέα 81 βραχίονα. Supple κόσμον περὶ 85 Cf. γεννοί 87 βραχυτελόν· μ. βραχυλόν Post 88 legebantur 1077. 78 95. 99 βρέμμει = βριμᾷ ut τέμμει — τιμᾷ? ⟨1103 Seleucus Steph. Byz. 185, 16⟩ 4 βρενθινῷ· ἀνθινῷ 5 οὐκευ — φυκὸς περιφερὲς κύδει ⟨Diogen. EM. 212, 48⟩ 6 Cf. 1180 8. 9. 10 = 10. 9. 8. In Cyr. 171 copulantur 8. 10 14 βρεντάγιορ 16 βρέτας· ξόανα εἴδωλα παρὰ τῷ

HES. Ad 63: σταθερός] βράσσων τε νόος (Κ 226) οἷον ἀκαταστατῶν, ἀσθενέστερος ὤν 79 βραχέ..· ἐψόφησε (φ 387) 81 βραχιόλια (II Regg. I 10)· ..... τὸν τράχηλον 88 βραχυτελῆ (Sapient. XV 9)· μικρόν 93 βρέγμα· τὸν βρεγμόν (Ε 586) 95 Βερεκύνδαι· δαίμονες. οἱ Φρύγες ⟨v. Βερ—⟩ 98 βρέμεται (Ξ 399)· ἠχεῖ. ψοφεῖ. προσρήσσεται (Β 210) 1112 βρενός ⟨βένθος, q. v.⟩· πυθμήν. τύμβος. καὶ ὄρνεον, ὃ καὶ βρένθον 15 βρενταί· βρονταί ⟨βρέμεται· βροντᾷ Cyr. Mosq.⟩

βρέτη (c. c. Aesch. Sept. 94)· ξόανα, εἴδωλα
Βρεττανία· νῆσος ἡ περὶ τὸν ὠκεανόν [19]
Βρεττία· μέλαινα (πίσσα). ἡ βάρβαρος (Aristoph. fr. inc. LXXIV). ἀπὸ τοῦ Βρεττ[α]ίων ἔθνους
βρεῦκος· ἡ μικρὰ ἀκρὶς (ὑπὸ Κρητῶν)
βρέφος· ἔμβρυον ⟨cf. 1100⟩. νήπιον, παῖς
βρεχμόν (Ε 586)· τὸ κρανίον
βρεχμός· βρέγμα. τὸ μέσον τῆς κεφαλῆς
βρῆγμα· ἀπόπτυσμα ἀπὸ θώρακος παρὰ Ἱπποκράτει (vol. II p. 255 K) [ad 25] ἔλεγον βρήσσει (ibid.)· βήσσει
βρῆσσαι (Cretes?)· βῆσσαι
Βρησσαῖος (Lesbii)· ὁ Διόνυσος
βρήσσουσι· βληχῶνται. φωνεῖ τὰ πρόβατα
βρητός· ἀλεκτρυὼν ἐνιαύσιος (v. 1181) [30]
βρι· ἐπὶ τοῦ μεγάλου, καὶ ἰσχυροῦ, καὶ χαλεποῦ τίθεται
† βριαγχόνην· βάτραχον. Φωκεῖς ⟨βρίταχον?⟩
βρίακχος (Soph. fr. 706)· βριαρῶς [ad 33] ἰακχάζουσα [34]
βρίαν· τὴν ἐπ' ἀγροῖς κώμην
(Βριάρεω στῆλαι· αἱ Ἡράκλειοι λεγόμεναι) [37. 38]
βριαροί· βαρεῖς, ἰσχυροί
βριαρόν· κραταιόν, ἰσχυρόν. μέγα. βαρύν. ἄγριον
Βρίγες· οἱ μὲν Φρύγες· οἱ δὲ βάρβαροι· οἱ δὲ σολοικισταί. Ἰόβας δὲ ὑπὸ Λυδῶν (ἀπο)φαίνεται βρίγα λέγεσθαι τὸν ἐλεύθερον
βρίγκα· τὸ μικρόν. Κύπριοι
βρίγκος (Ephipp. fr. 1 3 p. 330)· ἰχθῦς κητώδης
βρίζει· † ἐσθίει ⟨v. ῥίζειν⟩. † πιέζει. † χύει. καθεύδει (Aesch. Eum. 280) [ad 44]
Βριζοῖ (Semus Ath. 335 A)· ἐν ὕπνῳ μάντις [46]
βρίζοντα· νυστάζοντα (Δ 223). κοιμώμενον
βρίηπυος (Ν 521)· μεγαλόφωνος. μέγας. δεινός
βρίηρον· μεγάλως κεχαρισμένον [50]
βρίθει· αὔξει. ἢ εὐθηνεῖ † διατρέφει
βρίθειν (Eur. Tro. 216)· γέμειν
βρίθεται (Aesch. fr. 111)· βαρύνεται καρπῷ
βρίθοντα (Nic. Al. 210)· βαροῦντα
βριθοσύνη· βάρος
βρίθουσαν· λάμπουσαν· βαροῦσαν (Σ 561)
βριθύ· ἰσχυρόν (Ε 746). μέγα. βαρύ (Θ 390)
βρίθων· γέμων. κομῶν ὑπὸ καρπῶν
βρίκελοι· οἱ μὲν τοὺς ἱστόποδας, ἀπὸ τοῦ βάρους καὶ τοῦ ξύλου· οἱ δὲ βαρβάρους· Δίδυμος δὲ τὰ τραγικὰ προσωπεῖα παρὰ Κρατίνῳ ἐν Σεριφίοις (fr. XI p. 140), οἷον βροτῷ εἴκελοι
βρικίνη· εἶδος βοτάνης
βρικίσματα· ὄρχησις Φρυγιακή
βρικοί· πονηροί ⟨v. προικός. πρόκοος⟩
βρικόν· ὄνον, Κυρηναῖοι. βάρβαρον (Κύπριοι)
βριμάζει· ὀργᾷ εἰς συνουσίαν
βριμάζων· τῇ τοῦ λέοντος χρώμενος φωνῇ, βριμῶν, ἀπειλῶν
βριμαίνεται· θυμαίνεται ⟨—νει· —νει?⟩, ὀργίζεται
βρίμη· ἀπειλή. καὶ γυναικεία ἀρρητοποιΐα
βρίμημα· ἐπίπληξις
βριμήσασα· δεινή, χαλεπή
βριμός (Bergk. PLG. fr. 6 p. 1028)· μέγας. χαλεπός
(βριμούμενον· ὀργιζόμενον)
βριμοῦσθαι· θυμοῦσθαι, ὀργίζεσθαι
Βριμώ (Bergk. PLG. fr. 6 p. 1028)· ἰσχυρά
βρινδεῖν· θυμοῦσθαι. ἐρεθίζειν
βρίννια· τὰ ἄρνεια κρέα ⟨βρήνεια?⟩
βρῖξαι· ὑπνῶσαι, νυστάξαι
Βρῖσαι· βαρῦναι. ὁρμῆσαι. καὶ Νύμφαι
† βρισθείς· ὑπνώσας
βρίσαντα ⟨—ες? Ρ 233⟩· ἰσχύσαντα. βαρύναντα
† βρίξ· θριδακίνη ⟨v. 1106⟩. καὶ εἶδος ἄνθους. οἱ δὲ περιστερεῶνα

COD. 17 βρέτη· ἀπεικ. τι ὁμ. τι 18 |λία 21 βρέκος ⟨v. βραῦκος βρόκος βροῦκος⟩. Cf. 1119 36 legebatur post 40 scripta βριάρως, στῆλαι Post 43: βριγκώμενον· ὁ. μιμούμενον h. e. βριμούμενον, q. v. 45 βριζομάντις, ἐνυπνιομάντις 48 βρινποιός 49 βρικρόν ⟨EM. 213, 21; ἐρίηρον?⟩ 51 εὐθύνει 52. 53 = 53. 52 59 ἐπὶ τοῦ — Κρατίνῳ οἷον βροτοίκελοι ἐν Σ. 60 |νυη ⟨63 Cf. βρύκος et βρούχετος⟩ 64 συνουσίαν Κύπριοι 71 Cf. post 1143 ⟨73 βριμῷ· ἰσχυρῷ Cyr. 171⟩

HES. 19 βρέττανα (Ar. Eqq. 17)· φοβερά ⟨θρέττανα⟩. ἀκρὶς μικρὰ ὑπὸ Κρητῶν Ad 25: βρηνεύομαι ⟨βρενθύομαι⟩ 30 βρηχανώμενοι· φωνοῦντες. ἢ χασμώμενοι ⟨v. 1279⟩ Ad 33 βριαρῶς] βριαρῶς (Greg. Naz. XIV 32) βριάγχως βραδέως 34 βρίσει· θρασύνει ⟨v. 1150⟩ 37 Βριάρεων (Α 402. 3)· ἀνθρώπῳ ἑκατονταχείρῳ 38 βριαρήν· βαρεῖαν (Τ 381), ἰσχυράν (Δ 375) Ad 44 καθεύδει] ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις (Δ 223) cf. καμβρίζοντα 46 βρίζω· κηδεύω 50 βρίθει (Sapient. IX 15)· βαρύνει

† βρίτος· ἔτος ⟨v. 1129⟩

Βριτόμαρτις· ἐν Κρήτῃ ἡ Ἄρτεμις

βριτύ· γλυκύ. Κρῆτες [84]

βρογχιάζει· καταπίνει

βρόγχος· ῥόφημα. ὁ λάρυγξ ὁ καταπότης

βρόδα (Sappho fr. 65)· Αἰολεῖς ῥόδα

βρόκοι (Paphii)· ἀτ(τ)έλεβοι. ἀκρίδες

βροκός· μωρός. † Ἕλλην ⟨ad Βραῖκος?⟩ [90. 91]

βρομήσει· φυσήσει. ψοφήσει

Βρόμιος· παρὰ Τηλεκλείδῃ (fr. inc. XXIV) ὁ Σάτυρος, ἢ ὁ Διόνυσος

βρόμος (Theophr. VIII 9, 2)· βοτάνη ὁμοία σίτῳ, μὴ ἔχουσα γόνατα

βρόμος· ἰδίωμα ἤχου. ἦχος [ ]. καὶ σπέρμα λεπτῆς κριθῆς (Pausan. Eustath. 918, 38) [ ]

βροντάζων (Ar. Vespp. 323 Dindorf.)· βροντῶν

βρόντημα· ὁ ἐμβρόντητος

βρόξαι· ῥοφῆσαι

† βρόκων· ἀμαθής, ἀπαίδευτος, οἷον βόσκημα

βρόσσονος (Aeoles)· βραχυτέρου

βρόταχος (EM. 214, 44)· βάτραχος

βροτέης· ἀνθρωπίνης

βροτήσια (Alcman. fr. 38)· ἀνθρώπεια

βροτόεντα· [ ] τὰ λαμπρά ⟨EM.⟩

βροτοδαίμων· ἡμίθεος 6—12]

βροτόφηλος· ἀνθρώπους φηλῶν, τουτέστιν ἀπατῶν

βροῦκος· ἀκρίδων εἶδος, Ἴωνες. Κύπριοι δὲ τὴν χλωρὰν ἀκρίδα βροῦκαν. Ταραντῖνοι δὲ ἀττέλεβον ⟨1188⟩. ἕτερο.. ἀρουραίαν μάν...

βροῦνος· ἐνεὸς ἢ μαινόμενος ⟨βροῦχος? v. 1247⟩

βρούξ· τράχηλος. βρόγχος

† βρουλός· πονηρός

βροῦς· πιεῖν

βροῦτος (Boeoti?)· ἐκ κριθῶν πόμα

βρούχετος· βάρβαρος ⟨v. 1163⟩. βάτραχον δὲ Κύπριοι ⟨1271⟩

† βροῦχαλ· θερμός

[ ] βροχέως (Sappho fr. 2, 7)· σαφῶς. συντό'μως. Αἰολεῖς [ad 22]

βροχμώδης· ἡ νοτερὰ καὶ ἁπαλή. Δημόκριτος (p. 421) [24. 25]

βρόχος· ἀγχόνη, δεσμός [ad 26]

βρύα (Hippocr. II p. 568 K)· ἃ γίνεται μὲν ἐπὶ πετρῶν, λέγεται δὲ καὶ σφάκος ἢ φυκίς. ἐπετίθετο δὲ ἁγνισμοῦ χάριν

βρυάζει· θάλλει. τρυφᾷ

βρυάζειν· γαυριᾶν. ἥδεσθαι

βρυαζούσης λεαίνης· ἐν Ἀθάμαντι (Trag. adesp. 1). ἀκμαζούσης. ἢ ἐγκύμονος

βρυαθμόν (Dorice)· βρυασμόν

βρυαλιγμόν· ψόφον, ἦχον

βρυαλίζων· διαρρήσσων

βρυαλίκται· πολεμικοὶ ὀρχησταὶ μενέδουποι, Ἴβυκος (fr. 52) καὶ Στησίχορος (fr. 79)

βρυανίων· μετεωριζόμενος. καὶ κορωνῶν ⟨—νιῶν⟩

βρυάσομαι· ἀναβακχεύσομαι μετά τινος κινήσεως

βρυγμός (Eupol. fr. XIII p. 492)· κατανάλωσις. καὶ νόσος (Hippocr. II 572 K), ἀπὸ τοῦ βρύχειν, ὅ ἐστι τοῖς ὀδοῦσι πιέζοντα ψόφον ἀποτελεῖν, ὡς ἐν ῥίγει συμβαίνει. ἢ ἀκόνησις μύλων ⟨v. βρυχμοί⟩ [ad 37]

βρυγχός· βρόχος ⟨βρύγχος· βρόγχος?⟩

βρύει· ῥέει, πηγάζει, ἀναβλύζει. πηδᾷ. ἀνθεῖ (P 56). ἀνίησιν. αὔξεται

COD. 82 Diogen. ap. schol. Callim. Dian. 190 86 ῥούφισμα 86. 87 = 87. 86 88 Cf. βροῦχος, βρύχος 89 Cf. πρόκος, προικός, βρόκων 1200 βρόσσομος 1 βότραχος ⟨1184⟩ 3 βροτίεια, d. καὶ ἀνθρώπινα 14 ἀρουραῖαν 18 Phrynich. 31, 10 ⟨cf. 1255⟩ 20 βάραθρος 22 βρουκε.. 27 σκάφος ἢ σκαφίς ⟨30 βράζουσα λέαινα Cyr. Dr.⟩ 31 βρύαθον 34 ὤρχηται μὲν αἰδοίπου 36 ἀνακακ| 37 ἐπὶ τοῦ Post 37 legebantur 1247. 48

HES. 84 βρόγχος ⟨βρόταχος⟩· βάτραχος 90 βρομέον· ὀζόμενον *) 91 βρομέωσιν (Π 642)· ἠχῶσιν Ad 95: καὶ ὁ τόπος, εἰς ὃν ἔλαφοι οὐροῦσι καὶ ἀφοδεύουσι (Alcaei fr. 97) — καὶ ὀσμή ⟨v. βρῶμος⟩. καὶ χόρτος (Iob. VI 7) Ad 1204: ἠμαγμένα (Z 480). οἱ δὲ καὶ ἀνθρώπινα (Ξ 509) 6 βροτολογεῖ (E 31)· ἀνδροφθορεῖ 7 βροτολοιγός· ἀνθρωποκτόνος (E 518). αἱμοφθόρος (E 846) 8 βροτήσεια· ἀνθρώπεια ⟨1203⟩ 9 βροταί· γυναῖκες 10 βρότος· αἷμα 11 βροτον· [τὸ αἷμα] ὀξυτόνως μὲν ἄνθρωπον· παροξυτόνως δὲ σημαίνει τὸν ἐκ φόνου λύθρον 12 βροτός· φθαρτός, ἢ γηγενὴς ἄνθρωπος Ad 22: βρουχέων ἢ 24 βροχμόν (E 586)· τὸ βρέγμα 25 βρόχοι (χ 472)· ἅμματα Ad 26 βρόχος] ἀγκοίλη. Δημόκριτος Ad 37 μύλων] ἢ τρισμὸς ὀδόντων (Matth. VIII 12)

*) ⟨βρόμεον (ἦχουν συρίζον Cyr. 171) habet Greg. Naz. Carm. XIV 99. Sed ὀζόμενον est βρωμέειν q. v.⟩

Βρύθακες· αἱ ⟨Βρυθακίδαι?⟩ χιτῶνες βομβύκινοι. ἢ γένος ἰθαγενῶν ⟨v. Βάρθει⟩
βρύκαι· αἱ ἱεραὶ ὑπὸ Δωριέων ⟨βρύκαιναι· ἱέρειαι?⟩
βρυκανήσομαι· βοήσομαι
βρυκεδανός· πολυφάγος. οἱ δὲ μακρός ⟨λάβρος⟩
βρύκειν· λάβρως ἐσθίειν. ἀπὸ τοῦ τρίζειν τοὺς ὀδόντας (Hippocr. II p. 623 K). οἱ δὲ μασᾶσθαι
βρυκετός· ταυτὸν τῷ βρυγμῷ. καὶ βρυκηθμός ὁμοίως Δωριεῖς
βρύκος· κῆρυξ ⟨μῆρυξ? 1260. 1288⟩. οἱ δὲ βάρβαρος ⟨1163⟩. οἱ δὲ ἀττέλεβος ⟨1188⟩
βρυκύς· ἄφωνος. νεκρός ⟨v. κρύβες⟩
βρύκουσα (Ar. Avv. 26)· δάκνουσα. † μετελθοῦσα
βρυκταία· εἶδος βοτάνης
βρύκων· συνερείδων τοὺς ὀδόντας μετὰ ψόφου
βρυλλιχίδδει· πρόσωπον γυναικεῖον περιτίθεται καὶ γυναικεῖα ἱμάτια ἐνδέδυται. ὅθεν καὶ τὰς † μαχρὰς βρυλλίχας καλοῦσι Λάκωνες παρὰ τὸ γελοῖον καὶ αἰσχρόν. ὁ Ῥίνθων τὴν ὀρχήστριαν
βρυλλιχίζειν· ἀκταίνειν
βρυλλιχισταί· οἱ αἰσχρὰ προσωπεῖα περιτιθέμενοι γυναικεῖα καὶ ὕμνους ᾄδοντες
βρύλλων (Ar. Eqq. 1126)· ὑποπίνων
βρῦν (Ar. Nubb. 1382)· πιεῖν (v. 1218)
† βρύματα· μυρήματα
† βρυνθαλλόν· βρύσμα
βρυνχόν· κιθάραν. Θρᾷκες
βρύξαι· δακεῖν. καταπιεῖν ⟨v. βράξαι⟩
† βρύοχον· κήρυκα ⟨1246. 1288⟩
βρύσδην (Aeoles)· χύδην [62]
† Βρύσται· κρημνοί. καὶ πόλις κρημνώδης ⟨Βρυσειαί?⟩
βρύταna· κονδύλους
βρυτιγγοί· χιτῶνες

Βρυτίδας (Demosth. 1365, 9)· γένος παρὰ Ἀθηναίοις
βρυτίνη (Cratin. II 1 p. 76)· ἐν Μαλθακοῖς· ἀμοργιν ἔνδον βρυτίνην ἠθεῖν τινα ἔπαιξε πρὸς τὸ πόμα τὸ βρύτινον. ἔστι δὲ καὶ ζῷον βρύτον ὅμοιον κανθάρῳ, καὶ τὸ ἀπ' αὐτοῦ βρύτινον πήνισμα, ὅπερ ὑπ' ἐνίων βομβύκινον λέγεται
βρυτίνην (Cratin. l. l.)· βυσσίνην
βρύτιχοι· βάτραχοι μικροὶ ἔχοντες οὐράς ⟨v. 1280⟩
βρῦτον (Archil. fr. 31)· πᾶν τὸ ἐκ κριθῆς ποτόν [βρυτονία κτλ. Cf. βρυωνία]
βρυτταί· τὰ λείψανα ⟨EM. 209, 50?⟩
βρύττεα· στέμφυλα (Athenaei). ἔνιοι εἶδος σκορόδου
βρύττειν· ἐσθίειν ⟨EM. 216, 29⟩
βρύττιον· πόμα ἐκ κριθῆς
βρύττος· εἶδος ἐχίνου πελαγίου, ὥς φησιν Ἀριστοτέλης (HA. IV 5, 2)· οἱ δὲ ἰχθῦν. οἱ δὲ τρισυλλάβως ⟨ἄμβρυττον⟩ † βρυγγόνην λάχης ποιεῖ [77]
βρύχανα· σάλπιγγι καμπύλῃ ⟨βυκάνᾳ?⟩
(βρυχανώμενοι· φωνοῦντες. ἢ χασμώμενοι; cf. 1130)
βρυχετόν· πυρετόν
βρυχηθμός· στεναγμός. οἰμωγή
βρυχίς· κλῆμα
βρυχμοί· ψόφοι [84. 85]
Βρύχων· ποταμὸς περὶ Παλλήνην [87—89]
(βρυωνία (Nic. Ther. 858)· ῥίζα τις οὕτως καλουμένη)
(βρωμέεν· ὀζόμενον ⟨cf. 1191⟩ βαρυῶδες δυσῶδες) [91]
(βρῶμος· καὶ ὁ τόπος εἰς ὃν οἱ ἔλαφοι οὐροῦσι καὶ ἀφοδεύουσι καὶ ὀσμή) Cf. 1195
βρωμωμένου· ὀγκωμένου
βρωτόν (Xenoph. An. IV 5, 7)· βρώσιμον [95]
† βυατά· βεβυσμένα ⟨1318⟩ † αὔτη

COD. 40 σχιστῶνες θομ| — ἰθαλενων ⟨sic⟩ 44 λαύρως — τρύζειν 45 |ιθμός 47 βρυγκός ⟨v. μύρκος βροῦνος et Nic. Alex. 226⟩ 47. 48 Cf. 1237 not. 51 βρυδαλίχα π. γ. παρὰ τὸ γελοῖον καὶ αἰσχρὸν ὀρϋτίθεται, ὀρίνθω, τὴν ὀρχίστραν καὶ γυναικ... l. ἐ. ὅ. κ. τ. μ. βρυδαλίχας κα. Δ. 52 βρυδακίζειν· ἐκτείνειν 53 βρυλλοχ| 57 Cf. ad 1322 ⟨βρῦον· θάλλον⟩ 61 βρύγδην (64 βύτανα infra, βύζανα Theognost.) Post 65 legebantur 72—86, deinde 66—71 66 Βρυτίνας — περὶ 67 νίθειν τ. ἔπαξε — π.' ν. σμα 69—71 = 70. 71. 69 70 βρυττόν — τρυφῆς ⟨τρύγης?⟩ 73 βρυττία 79 βρυχετῶ 80 |ιθμός Post 88: βρυῶδες (sic)· δυσῶδες 93 |ομένου bis

HES. 62 Βρύσια (B 583)· πόλις 77 βρύχα (ε 319)· ὑποβρύχιον. βυθιζόμενον 84 βρυχίσασθαι· ὡς λέων 85 βρύχιον· βυθιζόμενον ⟨non Aesch. Pers. 392⟩ 87 βρύχεται (Menand. fr. CCCCXXXII)· μένεται ⟨βρυχᾶται· μαίνεται⟩ 88 βρυχός· κῆρυξ ⟨1246. 1260⟩ 89 βρωμᾶσθαι· ὀγκᾶσθαι ⟨Moeris⟩ 91 βρώμην (κ 460)· βρῶσιν 95 βρώτωον· βρῶσιν (T 205). τροφήν ⟨v. δεσβρωτύν⟩

βυβὰ ταῦτα (Anaxandr. III p. 186, Sophro)· ἐπὶ τοῦ μεγάλου τάσσεται [98]

† βυγή· πηγή ⟨πυγή? φυγή?⟩

βύβλιοι· οἱ τῶν τάφων φύλακες, παρὰ Κυπρίοις. καὶ πόλις Φοινίκης Βύβλος

βυδοί ⟨cf. 206⟩· οἱ μουσικοὶ [ἢ] κρουμά τι. Σοφοκλῆς † Κρησίν (fr. 57)

βύει· καμμύει. φράσσει τὰ ὦτα

† βύζαντες· πλήθοντες

βυζαντία· εἶδος ὁρμιᾶς [1305]

βύζην (Thucyd. IV 8, 7)· ἱκανῶς. ἀθρόως. δαψιλῶς. πυκνῶς (Hippocr. I p. 388 K). ἐπαλλήλως. ἢ πληρῶς

βύζην· τὸ πεπιασμένως μετέχειν

βυζόν· πυκνόν. συνετόν. γαῦρον δὲ καὶ μέγα [9]

βυθίζων· ποντίζων ἐν βυθῷ (Sophocles?). Σκύθαις

βυθμός· ἄντρον. πυθμήν, † καὶ βυθμήν ⟨v. βυσσός⟩

† βυκνισταί· εἴκασταί

† βυκήης ⟨—ήεις?⟩· ὑπνηλός

† βυκός· δασμοφόρος

† βυκτά· σχέτλια, δείλαια

βυκτάων (κ 20)· πνεόντων, φυσητῶν ⟨cf. 531. 925⟩

βύκτης· ὁ ἐκ βυθοῦ ταράσσων. φυσῶν

βυλλά· βεβυσμένα ⟨448. 1296⟩

βυλλίχαι· χοροί τινες ὀρχηστῶν παρὰ Λάκωσι

βυλλίχης· χορευτής

βυλλιχίδες· † ῥαχίδες ⟨βακχιάδες?⟩

βύνη· θάλασσα. πεύκη [ad 22]

⟨βύνην⟩· σκεύασμά τι κρίθινον

βύξ· τὸ ἐν τῷ στόματι κατέχειν τι

βύπτειν (Aeoles)· βαπτίζειν

βύρθακος· βάτραχος

† βυρικόμενος· πνιγόμενος. τραχηλιζόμενος

βυριόθεν (Cleo EM. 389, 24)· οἴκοθεν

βύριον (Messapii)· οἴκημα

βύρμακας· μύρμηκας ⟨v. βόρμαξ⟩

βυρμός· σταθμός

βυρρός (fullo)· κάνθαρος. Τυρρηνοί

βυρσαίετον· Ἀριστοφάνης (Eqq. 209) ἀπὸ τῆς βύρσης καὶ τοῦ ἁρπάζειν τὸν Κλέωνα εἶπε

ῡ ~
Βύρσαν· π' Θ Ἀριστοφάνης ἐν Δράμασι (fr. IV) παίζων ἔφη

βυρσιμάλους (Ar. Eq. 136?)· βυρσοδεψίμους

† βυρσάτονος (Eur.?)· τύμπανον

Βυρσίνης· Μυρσίνης. ἦν δὲ αὕτη γυνὴ Ἱππίου τοῦ τυράννου. ἐν τοῖς Ἱππεῦσι (449)

βυρσίς· δέρμα

βυρσοδέψης (Eqq. 44)· σκυτοδέψης, βυρσεύς

βυρσόκαπρον (Com. anon. fr. III)· τὸν Κλέωνα ⟨—οκάπηλον⟩ [41]

† βύρτη· λύρα

βῦσαι· ἐπιθεῖναι. φορτῶσαι. κρύψαι

βύσας· πλήσας. φράξας

βυσαύχην (Xenarch. com. III p. 614, Ar. fr. CCXIII)· ὁ συνέλκων τὸν τράχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν καὶ τοὺς ὤμους ἀνέλκων

βύσσαλοι· βόθροι [47]

βυσσαλεύοντι· τῷ † βυθῷ ἐφικνουμένῳ

βυσσοβαρῆ· μεγάλα. ἀπὸ τῶν καταφερομένων εἰς βυθὸν διὰ τὰ βάρη

βυσσοδομεύει· ἐνθυμεῖται. μηχανᾶται. ἀποκεκρυμ⟨μ⟩ένως βουλεύεται, καὶ ἐκ βάθους

βυσσοδομεύειν· ἐνθυμεῖσθαι. κατὰ βυθοῦ δομεῖν, ἤγουν οἰκοδομεῖν [52]

βυσσός· βυθός (Ω 80). ἄντρον. πυθμήν. καὶ χρῶμα ἀντὶ τῆς ⟨ὕσ⟩γης παραλαμβανόμενον

βυσσοφαρεῖ· μεγαλοφαρεῖ

βυσσόφρων (cf. Aesch. Cho. 651)· κάτωθεν ἐκ σπλάγχνων βουλευόμενος. καὶ ἐκ βυθοῦ φρονῶν

† βυσσῶσι· φράξωσι

βύσταγα (—ας Antiphon. com. III p. 22)· πώγωνα

COD. 97 βαβά 1301 σοφῶς 6 βύζ.. — ἐπ' ἀλλήλων ἢ πληροῦς 10 σκῦθαι 11 ⟨βυκανισταί· ἤχηταί? 15 ἰβυκτά? Sed cf. φλυκτά, φύκα⟩ 19 ὀρχιστῶν 22 θαλάμη ⟨EM. 217, 9⟩ — βύσμα, βύξ, βυθός 24 βυννεῖν· τὸ (cf. 1322) Post 31 legebantur 36—38 32 τυρηνός 33 |αίετο, ἀπὸ τοῦ 35 ἀράμασι 36 βυρσάτονος τοῦ τυμπάνου CDr. Zonar. 42—44 = 44. 42. 43 43 βῦσσαι· ἐπιθῆναι 49 |οβάρη 56 φράζωσι ⟨βύσωσι?⟩ 57 βυστάγα ⟨cf. μίτταχες⟩

HES. 98 βυβλία· βιβλία (Moeris) 1305 Βυζάντιος· Κωνσταντινουπολίτης 9 βύθιος· φόσσα Ad 22: βύθαλον. βύσμα ⟨1277⟩. βυθός. βυνεύς. 41 βύουσαν· κρύπτουσαν 47 βύσσινον (Apocal. XVIII 16)· πορφυροῦν 52 βύσινα (Ezech. XVI 13)· πορφυρᾶ

βυστίχοις· τοῖς ἐν θαλάττῃ βρόχοις
βῦστραι (Antiph. III p. 98)· αἱ τῶν λαχάνων ἐνθέσεις. ἔνιοι δὲ τοὺς ἐκ τῶν λαχάνων ψωμούς
βύτθαν· τὸν ψᾶρα
βυτθόν· πλῆθος
† βύτανα· κονδύλοι. οἱ δὲ βρύτανα (q. v.)
βυτίνη· λάγυνος, ἡ ἀμίς. Ταραντῖνοι [ad 63]
βύττος· γυναικὸς αἰδοῖον
βύων τὰ ὦτα· ἐπιφράττων [66]
βυωτήν· τὴν ἄρσιν (v. 1025b)
βῶ· ἐπιβῶ
βωβός· † πτορός
† βώβους· χωλός
βωβύζειν· σαλπίζειν
Βωβώ· οὕτως ἡ Μάκρις ὠνομάζετο
βῴδιον· βοίδιον
βωθεῖν· ὁμιλεῖν. βοηθεῖν
βωθέοντες (Iones)· βοηθοῦντες
βωθύζειν· βοᾶν. θωύσσειν
βῶκα (Arist. HA. IX 3, 1)· θύννον
† βωκός· τρυφερὸς χιτών (βράκος?)
Βώκαρος (Lycophro 451)· ποταμὸς ἐν Σαλαμῖνι ἐκ τοῦ Ἀκάμαντος ὄρους φερόμενος
βωλάκιον· χωρίον βώλους ἔχον
βῶλαξ· βῶλος. γῆ
βωλία. βωλίς· μάζης εἶδός τι ἐν ταῖς θυσίαις
βωλίνας· καλιάς. ἢ πλινθίνας οἰκίας
βωλόναι· οἱ μὲν κολώνας· οἱ δὲ τὸ Κίλλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ (fr. 928)
βῶλορ (Lacones)· γῆ
βωλόρυχα· τὴν σῦν. Λάκωνες
βωμακεύμασι Apollod. Cyren. ap. schol. Plat. p. 421)· βωμολοχεύμασι. παραλογισμοῖς. πανουργήμασι κολακευτικοῖς
βώμαξ· βωμολόχος. καὶ ὁ μικρὸς βωμός, ὑποκοριστικῶς (βῶμαξ)
βώμευσις· βωμοῦ ἵδρυμα
βώμηνεν. ὤμοσε
βωμίδας (Herod. II 125)· ἀναβάσεις
Βωμιῆς (Thucyd. III 96, 2)· οἱ περὶ τοὺς Βωμοὺς καλουμένους λόφους οἰκοῦντες [93]
βωμίσκοι· ἀριθμοὶ ἄνισοι
βωμοί· ἔμβολοί τινες οὕτω λεγόμενοι
βωμοῖς· βαθμοῖς
βωμοῖσι (Θ 441)· β.΄σεσι
βωμολοχία· γένος κοβαλείας φορτικὸν καὶ γελωτοποιόν
βωμολόχος· σκώπτης. ἱερόσυλος· παρὰ τὸ λοχεῖν εἰς τοὺς βωμούς (Pherecr. fr. II p. 325), ὅ ἐστιν ἐνεδρεύειν· πανοῦργος. ἀσεβής. ἀπατεών
βωμός· ἱερόν. τέμενος
βῶν (Π 238)· βοῦν. ὅπλον
βωνίτας (Callimachi?)· τοὺς ἐν ἀγρῷ. οἱ δὲ βουκόλουν, ἢ ἀγροίκους
† βώνημα· εἴρημα. Λάκωνες
Βωρθία· Ὀρθία
Βῶρμον (Nymphis Ath. XIV 620 A)· θρῆνον ἐπὶ Βώρμου νυμφολήπτου Μαριανδυνοῦ
βῶροι· ὀφθαλμοί [1407]
βῶς· ἀσπίς (Argivi). πέλτη. βύρσα. καὶ ποιὸς ἰχθῦς (Aristot. HA. V 4, 2?)
βώσαντι· βοήσαντι (cf. Herod. VI 105)
βώσομαι· βοήσομαι, ἐπικαλέσομαι
βωσόμεθα· † μαρτυρώμεθα. ἐπικαλεσώμεθα
βῶσον (Cratin. fr. CLIII)· κάλεσον, βόησον
βωστῆρες· νομεῖς
βωστρεῖν (μ 124)· βοᾶν. καλεῖν. ἐπικαλεῖσθαι [15]
βωτάζειν· βάλλειν (h. e. οὐτάζειν)
βωτιάνειρα (Α 155)· τοὺς ἄνδρας τρέφουσα (v. βοτ— βουτ—)
βωτίον· σταμνίον (διωτίον?)
βώτορες (ξ 102)· βωτῆρες. νομεῖς. ποιμένες
βώχ· βοτάνης εἶδος
† βωῶμεν· ὀμόσωμεν

Γ

Γᾶ· χθὼν ἢ θεόν
γαβαλάν (Maced.)· ἐγκέφαλον, ἢ κεφαλή(ν)
† γαβαθόν· τρύβλιον (v. 115 et ζαμάτιον)
γάβενα· ὀξυβάφια. ἤτοι τρύβλια

COD. 59 βύστραι — ψαμένους 63 λάγηνος ἢ ἄμις (63 V. μυττός et σάβυσσος) 72 βώμω 76 θούσσειν 77 βωκάθυνον (79 EM. 217, 40) 82 μάζα εἰς 85 βῶλοι 86 βωλορύχα 91—3 = 92. 3. 1 91 βωμίνας 92 βώμενοι — λοφ. καλ. τοὺς οἰκοῦντες 95 legebatur post 97; 1400 post 98 98 κολακείας 9—14 = 10. 12. 9. 13. 14. 11 9 βώσοντι (21 βωώμεν· βοήσωμεν Laconice?) 1 γάαθον, ἤσσον 3 τρυβλία ubique

HES. Ad 63: ἤγουν σταμνίον 66 βυώσης (Ps. LVII 4)· πληρούσης. καλυπτούσης. κωφωθείσης 93 βώμενος· βωμός 1407 Βῶρος (Π 177)· ὄνομα κύριον (v. Βᾶρος) 15 βωσσοῦσι· βομβοῦσιν, ἠχοῦσι (Ν 106)

γαβεργόρ· οὐ μισθωτός. Λάκωνες

γαγγαλιᾶν· γαγγαλίζεσθαι. ἥδεσθαι

γαγγαλίδες· γελασῖνοι

γάγγαλος· ὁ εὐμετάθετος καὶ εὐρίπιστος τῇ γνώμῃ καὶ εὐμετάβολος

γαγγαμεύς· ἁλιεύς, ὁ τῇ γαγγάμῃ ἐργαζόμενος

γαγγάμη· σαγήνη ἢ δίκτυον ἁλιευτικόν (v. γωγγάμη). καὶ σκεῦος γεωργικὸν ὅμοιον τῇ κρεάγρᾳ

γάγγαμον· δίκτυον (Aesch. Agam. 361). καὶ τὸ περὶ τὸν ὀμφαλὸν τῶν ὑποχονδρίων

γαγγαμουλκοί· σαγηνευταί

γαγγα†ίνειν· τὸ μετὰ γέλωτος προσπαίζειν

γαγγλιοειδέων (Hippocr. III p. 187 K)· γαγγλίοις ἐοικότων. Γαγγλίον (defin. med. 400, 45) δὲ νεύρου συστροφή [15. 16]

γάγγραινα· φαγέδαινα· οἱ δὲ καρκίνος, πολυδιάχυτον ἐν τῷ σώματι πάθος

†γαδεδᾶν· χαίρειν (γελᾶν? γανᾶν?)

γαδεῖν· χαρίσασθαι

Γάδειρα· νῆσος ἔξω τῶν Ἡρακλείων στηλῶν

γάδειρα· τὰ περιφράγματα. Φοίνικες

Γαδειρικὸν τάριχος (Eupol. fr. XXIII p. 506)· τὸ ἀπὸ Γαδείρων [κομιζόμενον]. ἐκεῖθεν γὰρ ἐκομίζετο [23]

Γαδείρων· χώρας ὄνομα

†γαδεῶ· χαρά (γαθῶ)

γάδεσθαι· ἥδεσθαι

γάδεται· ἥδεται

γάδιξις (Tarentini)· ὁμολογία

γάδονται· εὐφραίνονται

γᾶδος· γάλα. ἄλλοι ὄξος

γάδου αἴδων (Corinn. fr. 14 v. l.)

Γάζα· πόλις, παρὰ δὲ Πέρσαις βασίλειον. ἢ οἱ ἐκ τῶν πολλῶν φερόμενοι φόροι

γάζαν· πλοῦτον. ἢ ταμιεῖα

γάζας· ἰχθῦς ποιός

γάζης κεκορεσμένος· ......

γαζοφυλάκιον· θησαυροφυλάκιον (lex. rhet.). βαλάντιον [ad 36]

γάθευδον· ἐκ γῆς ῥέον (γᾶθεν ὕδος?)

γαθία· ἀλλαντία

Γαθιάδας· ἥρωος ὄνομα, ὃς [καὶ] τοὺς καταφεύγοντας εἰς αὐτὸν ῥύεται καὶ θανάτου ....

γαῖα· ἡ κόνις. καὶ ἡ γῆ

γαιάδας· ὁ δῆμος ὑπὸ Λακώνων

γαιάλοχος· ἠπειρώτης [43. 44]

γαίειν· χαίρειν. γαυριᾶν. σεμνύνεσθαι

γαίεσχον· ἔχαιρον

Γαιηΐδα· τὴν Φοίβην Ἀντίμαχος (fr. LXXXIX)

Γαιήϊον (η 324)· τὸν γῆς υἱόν, Τιτυόν [49]

γαιήοχος (Ν 43)· ὁ τὴν γῆν συνέχων, ἢ ἐπὶ τῆς γῆς ὀχούμενος. ἢ ὁ ἱππικός, ὁ ἐπὶ τοῖς ὀχήμασι ἢ ἅρμασι χαίρων. Λάκωνες (Xen. Hell. VI 5, 30) [51—54]

†γαίνεται· ἀνύει (γ' ἄνεται· ἀνύεται?) [56. 57]

γαιογράφοι· τὰ ἐν τῇ γῇ γράφοντες

γαῖος· ὁ ἐργάτης βοῦς (Apoll. lex. 52, 13). καὶ ὁ ἀπόγειος ἄνεμος. (οἱ δὲ μισθόν Tarentini)

γαίουσα· ὑπερφρονοῦσα

γαῖσος· ἐμβόλιον ὁλοσίδηρον (schol. Iosu. VIII 18). ἢ ὅπλον ἀμυντήριον (Pausan. lex.) (Γαίσων Archestr. Ath. VII 311 A)· ὄνομα ποταμοῦ

γαῖται· γεωργοί

γαίων (Α 405)· γαυριῶν [65]

COD. 5 γαβεργός, δρουμισθωτός 9 γαγγαλεύς (11 cf. μάγγανα) (13 γαγγανῶν Arcad) 14 γαγγαλιοιδέων — γαγγαλίους — γαγγάλιον 20—27 = 25—27. 20—26 28 γάδιξ. Cf. ἄδιξις 30 γάλοι 31 γάδουα, ἴδιον 32. 33 ἢ ταμιεῖα post φόροι (EM. 219, 39) 37 Cf γάφυτον 44 γαιῶ Theognostus; v. γλιᾶται 47 γαίηΐδα 48 Πίτυον 50 ὑπὸ — συνεχόμενος — ἄρξουσι χ| 59 Cf. 61. EM. 223, 24; μίσθιον Eustath. 188, 28 61 γαισός, ἐ. ὁ. [καὶ ὄνομα ποταμοῦ. οἱ δὲ μισθόν.] ἢ 62 γαιάτης Cyr. Dr.

HES. 15 γαγγίας ἢ γαγγαλίας· οἱ μὲν γελασινόν (cf. 7)· οἱ δὲ τὴν τῶν νεύρων συστροφήν (cf. 14). ἄλλοι ὑποστάθμην (v. γάργασις) 16 Γάγης· Φεισῶν ποταμός 23 γαδή· κιβωτός (v. γάνδιον) Ad 36: σκευοφυλάκιον (LXX) 43 γαῖα χάνοι (Ζ 282)· καταπίοι ἡ γῆ 44 †γαιᾶται· κερτομεῖ καταμωκᾶται 49 γαίη· τὴν γῆν. τὸ χῶμα (rec.) 51 Γαλιλαία· κατακυλιστή 52 Γαλλίμ· κεκριωμένον. ἤγουν κριῶ κριῶν (Basil. Iesai. XV 8 p. 606 B) 53 γαιηούχῳ (Ξ 355)· τῷ τὴν γῆν ὀχοῦντι, καὶ συνέχοντι 54 γαίηθες,
ο
πρῶτον (ξ 315)· ἡ Ἤπειρος μοίρας ἔχει τέσσαρας Θεσπρωτοὺς Χάονας Μολοττοὺς Κασσω-
δ
πάνους 56 γαῖντα (Callim. fr. CCCIX)· σπλάγχνα (γέντα) 57 γαιθυλα· ἀμπελόπρασα (v. γήθυα) 65 γαιῶς· μακροκέντης. ἢ κόντος λαμβάνων

γάκα· ἡδέως [67]

Γακεῖαι· Γλυκεῖαι (cf. Paus. VII 27, 2)

γάκινος (Athenienses)· σεισμὸς γῆς

γακίναν· τὸν σεισμόν

γάκου· ἡδύ, γλυκύ

γακούδια· ἡδύσματα

γακουπώνεις (Boeoti)· ἡδυπότης

γακτός· † κλάσμα

γαλαθηνόν (Pherecr. fr. VI p. 263)· ὑποτίτθιον. νέον [76]

γαλακτοκόμος· ποιμήν

γαλακτώδης (Hippocr. III p. 696)· οἰνός τις [79. 80]

γαλάξια (Athenienses)· ἑορτή, ἐν ᾗ ἕψουσι γαλαξίαν. ἔστι δὲ πόλτος κρίθινος ἐν γάλακτι

γαλαρίας· ἰχθῦς, ὁ ὀνίσκος

γάλας· γῆ παρὰ Εὔκλῳ

γαλάσιον (Cyprii)· ἐνηρόσιον (festum) [85. 86]

γαλατμόν· λάγανον ἄγριον [88]

Γαλεοί· μάντεις (cf. Archipp. fr. IV p. 720). οὗτοι κατὰ τὴν Σικελίαν ᾤκησαν. καὶ γένος τι, ὥς φησι Φανόδημος καὶ Ῥίνθων Ταραντῖνος

γαλεώτης (Menand. IV p. 124)· ὁ ἀσκαλαβώτης. καὶ ἰχθῦς. καὶ ζῷον χερσαῖον

γάλη· ἐξέδρας εἶδος [ad 91]

(Γαλήνη [Philetaer. fr. I p. 295] ὄνομα κύριον ἑταίρας)

γαλήνη (plumbago)· τὸ ἐπιπολάζον ἐν τῇ μεταλλείᾳ τοῦ ἀργύρου χωνευομένου

γαληνόν· ἥσυχον. ἱλαρόν. εὔδιον

γαληρόν· τὸ αὐτό (gl. α 642), καὶ γαλερόν

γαλῆ Ταρτησία· ἡ Ταρτησὸς ἔξω τῶν Ἡρακλείων στηλῶν, ἧς Ἀργανθώνιος ἐβασίλευσεν. ἔστι δὲ ἡ πόλις αὕτη πρὸς τῷ Ὠκεανῷ, μεγάλη λίαν· ὡς οὖν ἐκεῖ μεγάλων γινομένων γαλῶν εἶπε

Γαληψός· παίζει μὲν Εὔπολις (fr. inc. LXXXII) παρὰ τὸ λαμβάνειν. ἔστιν δὲ καὶ πόλις (v. Γάμψηλος). καὶ βοτάνης εἶδος

γάλι· ἱκανόν (γ' ἅλις?)

γαλιαγκών (Hippocr. III p. 220 K)· ὁ τὸν βραχίονα ἐλάττονα ἔχων

γαλίαι· οἱ ὀνίσκοι

γαλιδέως· Κρατῖνος (fr. XIX p. 170). λέγει δὲ (οὕτ)ως τὸν εὐτελῆ. καὶ ὡς γαλῶν παῖδα γαλιδέα θθ

γάλινθοι (Cretes?)· ἐρέβινθοι. οἱ δὲ γαλ' [103]

† γάλις· γαλαός

† γαλιώσης· ἀκολασταινούσης

γαλιώταρ· ἀσκαλαβώτης. Λάκωνες

γάλλαρος· Φρυγιακὸν ὄνομα (sc. συγγενικόν. Cf. 290). [παὰ Λάκωσι

γάλλια· ἔντερα (v. γόδα. χαλίδια)

γάλλοι (Aeoles)· ἧλοι

γάλλος· ὁ ἀπόκοπος, ἤτοι ὁ εὐνοῦχος

γαλόως (Homer.)· ἡ τοῦ ἀνδρὸς ἀδελφή

γαλωνίς· χρῶμα ἵππων τὸ ὀνοειδές

γάλως (Apoll. lex. 53, 31)· ἡ τοῦ ἀνδρὸς ἀδελφή, καθάπερ Κασάνδρα τῇ Ἀνδρομάχῃ

γαμάλ· ἡ κάμηλος παρὰ Χαλδαίοις

† γάμβριον· τρύβλιον (γαμάτιον? cf. 3)

γάμβρια· δῶρα ἢ δεῖπνα γαμβροῦ

γαμβρός· ὁ ἀνὴρ τῆς θυγατρός .....

γαμέσσεται (I 394)· εἰς γάμον ἄξει

γαμηλία (Dem. 1312, 12)· φέρνη εἰς γάμου παρασκευήν, καὶ δεῖπνον, ὃ τοῖς φράτορσιν ἐποίει ὁ γαμῶν

γαμήλιος (Philetaer. fr. I p. 297)· ὁ εἰς τοὺς γάμους πεσσόμενος πλακοῦς

γαμηλιών· ὁ (ζ) τῶν μηνῶν, τῆς Ἥρας ἱερός

γαμησείειν· γαμητικῶς ἔχειν [ad 22] [23]

COD. 66 γβήα 68 γαγεῦαι 69 γάκεινα 70 γακινίαν 71 γάκυ, ἡδὺς γλυκὺς 73 γακουττάνης 81 γαλεξία 82 ὀνικός 83 εὐκλίτω (88 v. ἀδάλτομον) θ 89 ῥιν ταραντῖνοι 91 ἐν ᾗ γαλαία 92 Γαλίνη post 100 99 γαλιακόν Post 100] 92 1 γαλίδεως — δὲ ὡς — γαλὸν παῖδα γαληδέα 2 Cf. 303. 429 λέβινθοι, ῥάβινθοι et ἰάλιον 6—9 = 7—9. 6 6 γαλλιῶται, ἀσκαλαβώτησις (12 γάλωνες EM. 220, 32 γαλῶμες Bekk. 230, 6) 14 γαμάλη (v. ἀκαμάλα) 16 γαμβρία 18 γαμήσεται, ἄξεται 21 |ίων, ὁ τῶν

HES. 67 Γαιών (Genes. II 13)· ποταμός. παρ' Ἕλλησι Νεῖλος 76 γάλα· ἡδέως 79 γαλακτιῶντες· γάλακτος μεστοί (γλακτῶντες) 80 γαλακτοφάγων ἀβίων (N 6)· γάλα ἐσθιόντων καὶ τόξα μὴ ἐχόντων 85 Γαλαάδ (Hoseae VI 8)· παλαιῶν ὄνομα. ἡ μέτοχος 86 Γαλαλά (Hos. XII 11)· πόλις ἔθνον 88 γαλερόν· γαληνόν. ἱλαρόν. εὔδιον (v. 95) Ad 91: καὶ ἐν (τῷ) ἡ γαλέα τὸ ζῷον (Moer. p. 112) 103 γαλιός (Cyprii)· παράδεισος (γάτος) Ad 22 καὶ γαμεῖται (Eur. Ion. 58) μὲν ἡ γυνή, γαμεῖ (Eur. Phoen. 53) δὲ ὁ ἀνήρ 23 γάμμοροι (Eur. Hec. 421)· ἀμέτοχοι. ἐστερημένοι

γάμοι· ἡ πρώτη ἡμέρα τῶν γάμων. ἡ δὲ δευτέρα ἀπαύλια

† γαμοτελεῖν· γάμους ἐπιτελεῖν

γαμόροι (Aesch. Suppl. 613)· οἱ περὶ τὴν γῆν πονούμενοι. ἢ μοῖραν εἰληχότες τῆς γῆς. ἢ οἱ ἀπὸ τῶν ἐγγείων τιμημάτων τὰ κοινὰ διέποντες (Herod. VII 155)

γαμφηλαί· γνάθοι, σιαγόνες. [28] Ὅμηρος δὲ ἐπὶ ἀλόγων

γαμφηλῇσι (Ar. Eqq. 198. Π 489)· σιαγόσι [30]

γαμψόν· ποικίλον. καμπύλον (Hippocr.). ἐπικαμπές

γαμψωλή· κάμπη. οἱ δὲ ἄκρον, ἡ περιφέρεια

γαμψώνυχας (Π 428)· ἐπικαμπεῖς ὄνυχας ἔχοντας

γάμων ἔθη· τὰ προτέλεια καὶ ἀπαρχαὶ καὶ τριχῶν ἀφαιρέσεις τῇ θεῷ πρὸ μιᾶς τῶν γάμων τῆς παρθένου

† γᾶν· ἀγγεῖον, σκύφῳ παραπλήσιον

γάνα· χέρσος. γῆ (v. γάλας) [37]

γανάσσαι· σμῆξαι, ἡδῦναι

γανάσσας· καλῶς .....

γαναυγέας· τελείας ἐν τῷ ὁρᾶν

γανδᾶν (— άαν) ἢ γανᾶν· λάμπειν

γανδάνειν· ἀρέσκειν (v. γαδεῖν)

Γάνδαρος· ὁ ταυροκράτης παρ' Ἰνδοῖς

γάνδιον· κιβώτιον (v. 27)

γάνδομα· πυροί

γανδόμην· ἄλευρα

γάνδος· ὁ πολλὰ εἰδὼς καὶ πανοῦργος. τινὲς δὲ γάδος (v. γάσος. H. c. γαυσός)

γάνεα· κήπους

γανεῖν· λευκαίνειν

γανῖται· δάπανοι. ἄσωτοι

γάνος· παράδεισος (Cyprii; v. γαλίος). χάρμα. φῶς. αὐγή (gl. α 8318 et γ 181). λευκότης. λαμπηδών. ἡδονή. καὶ ἡ ὕαινα (Aristot. HA. VIII 7, 2), ὑπὸ Φρυγῶν καὶ Βιθυνῶν (γλάνος) [52]

γάνυμαι (Ar. Vespp. 612 al.)· χαίρω

γανύμενος· χαίρων

γανυρόν· λευκόν. ἡδύ. ἱλαρόν

γανύρματα· ἀρτύματα [57]

γάνυται (Ν 493)· χαίρει. εὐφραίνεται. λαμπρύνεται (Eur. IT. 1239). καὶ γελᾷ. ἥδεται

γανυτελεῖν· † γανοπετεῖν. ἡδύσματα ποιεῖν

γανωθείς· λαμπρυνθείς

γανῶσαι· λαμπρῦναι

γάπεδα· ἀγροικικαὶ οἰκίαι

γαπελεῖν· ἀμελεῖν (v. ἀπαλεῖν)

γάπος· ὄχημα. Τυρρηνοί

γάραβος· ὀλολυγών

γάργα· αἴγειρος

γαργαίρειν (Cratin. fr. CXLI p. 221)· [ ] πληθύειν [ ]

γάργαλα (Alcae. com. p. 830)· πλῆθος. πολλά (v. 412)

γαργαλίζει· ἐρεθίζει

γαργαλισμός (Hippocr. II p. 21 K)· κνῆσις σώματος

γαργαλισμός· γαγγαλισμός, ἡδυπάθειά τις (Hegesipp. IV p. 479, 16)· τὸ δὲ αὐτὸ καὶ γάργαλος (Attici)· καὶ γαργάλη

† γαργαρής (ἰς?)· θόρυβος

γαργαρεών (Hippocr. II p. 241)· κιονίς, ἡ καὶ σταφυλίς (v. 415)

Γάργαρον (Ξ 292)· ἀκρωτήριον ὄρους Ἴδης. καὶ πόλις Τροίας πλησίον Ἀντάνδρου

† γάργασις· γαργαλέη ὑποσταθμοῦ (v. 15)

† γαργάρται· λίθοι αὐτοφυεῖς

Γαργηττός· δῆμος Ἀθήνησι .... φυλῆς, ὅπου δοκεῖ κεῖσθαι τὸ σῶμα Εὐρυσθέως

γαρέλαιον· γάρος καὶ ἔλαιον

Γαρίμαντας· τοὺς βαρβάρους. οἱ δὲ ἔθνος Λιβυκόν (Herod. IV 174)

γάρκαν· ῥάβδον. Μακεδόνες [81]

γάρνον· τὸ ἔσω τῆς πλήμνης σιδήριον, ὃ τὸν ἄξονα τρίβει (l. τόρμος)

γάρρα· ῥάβδος

† γάρρης· ἄρρης (ἔρρεις?)

† γαρρίαι· γάμοι (γάλλοι?)

COD. 24 παλία 26 γάμοροι — ἀγγέων 27 γαμφῆλαι 29 |λήϊσι 32 |ώλα (Aeolice?)
τ
35 ἀγγίον 40 τέλειος. τελείας Cyr. 319 43 |κρά 48 κόπους (49 λευκᾶναι EM.) 50 γανιταί 51 ὕενα — βυθινῶν (55 γανερόν EM.) (56 γανύματα Bekk. 230, 7) 60 |ωθείς 62 ἄγροικοι καὶ οἰκεῖαι 67 πληθύναι (v. ἐκάρκαιρεν) 70 κίνησις 69. 70 = 70. 69 71 γαργαρισμός — γαργίλη 77. 78 = 78. 77 γαρελον (82 γάρκον EM., γαρνὸν Poll.) (84 Cf. βαρρεῖ. γερρῶ. γερητηρία) (85 = κερσίαι?)

HES. 28 γαμφαίη, γνάμφαί, γνάθοι 30 Γάμψηλοι· πόλις Μακεδονίας (v. 97) 37 γάναι· περιπτύσαι (γλαγγάνει· πτερύσσεται) 52 γανόωντες· λελαμπρυσμένοι. λάμποντες (Ν 265) 57 γανύσεται (Ξ 504)· χαρήσεται. διαχυθήσεται. αὐξηθήσεται. εὐφρανθήσεται Ad 67: γ.] λάμπειν — κινεῖσθαι σπαίρειν (μαρμαίρειν — καρκαίρειν) 81 γαρμαφών. λευκότης. λαμπηδών (v. γάνος)

γαρριώμεθα· λοιδορούμεθα
γάρσανα· φρύγανα. Κρῆτες ⟨v. τραύσανον⟩
γᾶς· χώρας, γῆς
γάσ[σ]αν· ἡδονήν
γάσος ⟨γαυσός?⟩· ὁ ἀπατεών. ὁ πολλὰ εἰδὼς καὶ πανοῦργος ⟨v. γάνδος⟩
γαστέρες οἶον· τροφῆς μόνης ἐπιμελούμενοι. (ὡς Ἡσίοδος ἐν τῇ Θεογονίᾳ 26)
γαστερόχειρες καὶ ἐγχειρογάστορες· οἱ ἀπὸ τῶν χειρῶν ζῶντες [93]
γάστρα· γογγυλίς (Λάκωνες). ἢ κράμβη (Boeoti)
γάστρα· τὰ ὀπίσθια τῶν μηρῶν
γαστρίαν· στρόφον. ἢ † διάνοιαν
γάστριδες· οἱ τὰς ἕλμινθας ἔχοντες. γίνονται δὲ ἐν ταῖς κοιλίαις αὗται
γαστρίζεσθαι· λαβρότερον τρέφεσθαι ὑπὲρ τὴν χρείαν, ἤγουν γαστριμαργεῖν (ὥσπερ τὰ θηρία)
γαστρίμαργοι· τῇ κοιλίᾳ μαινόμενοι. ἀκρατεῖς. ἄπληστοι. πολυφάγοι
γάστριον· πέμμα σησαμῶδες παρὰ Κρησί
γάστρις (Ar. Avv. 1604)· ὁ πολυφάγος, ἢ ἀκρατὴς περὶ τὴν γαστέρα
γαστρίσαι (Ar. Vesp. 1528)· εἰς τὰ στέρνα πλῆξαι. ἢ χορτάσαι
γαστροίδης (Pherecr. fr. I p. 324)· προγάστωρ. καὶ γαστροπίων
γαστρόπ(τ)ης· σκεῦός τι μαγειρικόν [205]
γατειλαί· οὐλαί
† γάστρι· τὰ σπαρθέντα πρὸς τὸ ⟨σπαρέντα πρὸ τοῦ?⟩ λιστρευθῆναι. οἱ δὲ κύαμοι ἢ ῥάφανοι, οἷς ἀντὶ κόπρου χρῶνται, ὅταν αὐξηθέντα λιστρευθῇ
γαυλός· ὁ ἐξ ἀλλοτρίων ζῶν. ἢ κάδος (Antiphan. III p. 132), ἐν ᾧ τὰ πλοῖα ἀντλεῖται
γαυλοί· τὰ ποιμενικὰ τοῦ γάλακτος ἀγγεῖα (ι 223). καὶ τὰ Φοινικικὰ πλοῖα γαῦλοι (Callim. fr. 217, Ar. Avv. 598) καλοῦνται καὶ γαυλικὰ χρήματα (Xen. An. V 8, 1) τὰ ἀπὸ τῶν πλοίων. τινὲς δὲ καὶ τὰς χύτρας γαυλούς καλοῦσι
γαύρηξ· ὁ γαυριῶν
γαύρης· ὁ σεμνυνόμενος [12. 13]
γαυριῶν· χαίρων. ἀγαλλόμενος. ἐπαιρόμενος. ἀλαζονευόμενος
γαῦρος (Eur. Phoen. 128)· αὐθάδης. σεμνός. μεγαλοπρεπής. Εὐριπίδης Φιλοκτήτῃ (fr. 786). ἢ μετέωρος
γαύρῳ· μεγάλῳ. ἀκαταπλήκτῳ
γαυσάδας· ψευδής
γαυσαλίτης· ὄρνεον παρὰ Ἰνδοῖς
γαυσόν (Hippocr. de fract. 765 C)· σκαμβόν, στρεβλόν
γαυσῶσαι· προσελάσαι. κάμψαι
γαφάγας· σκώληξ, ὃν ἡμεῖς γῆς ἔντερον λέγομεν, Συρακούσιοι
γάφυτον· γηγενές
† γάφυτον· ἐν γῆς ῥέον [24]
γέαρ· ἔαρ ⟨v. γίαρ⟩ [26—28]
† γέβουτον· ψόφον ⟨γδοῦπον?⟩
γεγάκω (Dores)· γεγενημένος (ὦ)
γεγάλημαι ⟨—άνυμαι⟩· γεγαλήνισμαι (.......·) διακέχυται
γεγανωμένη· λελαμπρυσμένη
γεγαυῖα (Δ 199?)· γεγεν(ν)ημένη
γεγαώς· γεγονώς, ὑπάρχων [36. 37]
γέγηθεν (Eurip. Or. 66)· χαίρει. ἥδεται. γελᾷ
γεγηθότες· χαίροντες
γεγηθώς (Demosth. 332, 9)· χαίρων [41]
γέγλανται· κεκοίλανται
† γεγλύπωνται (Hippocr. III p. 195 K)· ἀντεγκλείονται ⟨cf. 556⟩
γεγραμμένοι· ἐξωστρακισμένοι. ἢ ἐζωγραφημένοι
γεγριφώς· ὁ ταῖς χερσὶν ἀλιεύων
γεγυναικωμένα· πέμματά τινα, ὧν γυνὴ ἥψατο, καλεῖται οὕτω

COD. ⟨89 γάσαν = γῆθην Lacones?⟩ 90. 91 πανοῦργος, ὡς — Θεογονίᾳ γαστερεσσοιον 92 |οχεῖρες — ἐπὶ 94 γαστορίς ⟨v. 205. 456 et Ath. IX p. 369 A⟩ 97 ἑλμενεῖς — αὗται, ὥσπερ τὰ θηρία 200 σισαμῶδες — ἀκρισίῳ 3 |ειδής — |ποίων 6 γατάλαι
π δ
7 ῥόφανοι 8 γαῦλος 9 γαῦλοι 15 |πρε εὖ ἢ μετέωρος ἀρι φιλοκτίτῃ 16 |αλήπτῳ 21 γαφάτα 23 Cf. γάθευδον ⟨γάχυτον? γάρυτον?⟩ 33 |ομένη; γεγαννυμένη Cyr. 212 43 γεγλύποντάι, ἀντεγκλέονται 45 ἀλοῶν 46 γεγυνε|

HES. 93 γαστεριμαργῇ (σ 2)· τῇ γαστριμαργίᾳ 205 γαστραία· ἡ γογγυλίς. Λάκωνες 12 γαυριᾷ (Iob. XXXIX 23)· σεμνύνεται. χαίρει 13 γαυρίαμα (e. c. Sirac. XLIII 1)· καύχημα. ἔπαρμα. φρύαγμα 24 (γ)δούπησεν (ο 479)· ἐψόφησεν 26 γέβους (Iob. XXXIX 10)· ζυγά ⟨עבות⟩ 27 γεάγια· κουράλλια ⟨γέλγια⟩ 28 γεγάασι (δ 325)· γεγενημένοι εἰσίν. ὑπάρχουσι 36 γεγαότα (I 456)· γεγονότα, ὑπάρχοντα 37 γέγγει· βρέχει ⟨τέγγει⟩ 41 γεγιώτας· τρίγλας ⟨Sophro γενεᾶτιν⟩. οἱ δὲ τράγον ⟨γενειάταν⟩

γεγυρωμένον· κεκαμμένον, ἡττονηκότα τῷ σώματι

γεγωναί· αἱ (μεγαλόφωνοι) ὁμιλίαι

γεγωνεῖν· μεγαλοφωνεῖν. ἤδη δὲ φθέγγεσθαι (Aesch. Prom. 523)

γεγωνοκώμη (Com. an. fr. CVI)· ἡ μέγα κεκραγυῖα

γεγωνόν (Antiph. com. fr. I 2 p. 112)· τὸ ἐξάκουστον. μεγαλόφωνον

γεγωνός· μεγαλόφωνος [53. 54]

γεγωνήσω· βοήσω ⎫ spur.? [56]
γεγωνίσκει· λέγει ⎭

γεγωνώς· κράξας [59]

γεγώς (tragici)· γεγονώς, ὑπάρχων

γέῃ· τῇ γῇ

γεηπόνος· γεωργός [63]

γειναμένη· ἐνεγκαμένη. ἡ πατρίς, ἀφ' ἧς ὑπάρχει (Eur. Tro. 825)

γειναμένοις (Xenoph. Apol. 20)· γονεῦσι [66]

γείνεαι (υ 202)· γεννήσεις

†γεῖθρον· ἔνδυμα

γεῖσα· τὸ ἐν ταῖς οἰκίαις, ἢ τειχῶν (Eur. Or. 1620) ἐξέχον κυμάτιον. οἱ δὲ πρὸ τῶν θυρῶν στέγασμα. καὶ τὰς ὤας τοῦ ἐνδύματος γεῖσα (Aristoph. fr. inc. CXLIX) λέγουσιν [70. 71]

γεισιποδίζειν (Isaeus)· τὸ προσβάλλειν τὰ γεῖσα ἐν τοῖς τοίχοις

γεῖσον· στεφάνωμα οἴκου ⟨v. γίσιον⟩

γείσωσις· τὸ τῆς στέγης ἐξέχον [75]

γειτνία· πλησιασμός

γειτνιῶντες· πλησιόχωροι [78—80]

γεῖτον· ἐγγύς [ad 81]

γειτόνημα (Plat. Legg. IV p. 705 A)· γειτνίαμα [83]

γέκαλον· ἥσυχον

γεκᾶσα· ἑκοῦσα

γέλαν· αὐγὴν ἡλίου

γέλανοι· εἶδος ἵππων δυσγενῶν καὶ εἰς πόλεμον οὐκ εὐθέτων

γελαρής· γαληνή. Λάκωνες

γέλαρος· ἀδελφοῦ γυνὴ Φρυγιστί ⟨v. 107⟩

γελαιώς ⟨—αστύς⟩· ὁ γέλως (Callim. Del. 324)

†γέλας· ναύτας

†γέλγει· βαπτίζει. χρωματίζει

γέλγη (Eupol. fr. V p. 550)· ὁ ῥῶπος. καὶ βάμματα. ἄτρακτοι. καὶ κτένες ⟨v. τελγή⟩

γελγοπωλεῖν (Hermipp. fr. VI p. 385)· ῥωποπωλεῖν. παντοπωλεῖν

γέλγια· πήνη. σπάθη. κουράλια ⟨v. 227⟩

γέλγιθες· αἱ τῶν σκορόδων κεφαλαί

†γελγηθεύειν· ἀπατηλογεῖν ⟨γελγι—⟩ [98]

γελεῖν· λάμπειν. ἀνθεῖν

γέλενος· ἀσφοδελός ⟨v. ἔλικοι⟩. νάρκισσος

× γέλιν· ὁρμιάν

†γελανδρόν· ψυχρόν (gelidum?)

γέλινθοι· ἐρέβινθοι [304]

γέλλαι· τῖλαι

× γελ(λ)ίκη· ἕλιξ

γελλίξαι· συνειλῆσαι

Γελλώ· εἴδωλον Ἐμπούσης, τὸ τῶν ἀώρων, τῶν παρθένων (Zenob. III 3)

Γέλλως ...... (Sapho 47)· δαίμων, ἣν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν

γελοδυτία (Dores)· ἡλιοδυσία [11]

γελοιός· ἱλαρός. γελοιαστής. καὶ ὁ καταγέλαστος ἄνθρωπος καὶ λοίδορος [13]

[ἢ γέλιον

γέλουτρον (Lacon. Boeot.)· ἔλυτρον, ἤγουν λέπυρον

COD. 47 γεγυρανο| — |ικότα 50 |κόμη / γεισῃ 67 γειτεαί· γεννήσει / ἔκθεματα 69 γείσατο — γείσας 72 γεισαπ| (Scriptum erat γεισαποδίζειν — τὰ γεῖσα) 84 γέγκαλον 85 γεκαθά 88 γαλήνη 93 ὀρωπώς 94 γελγεοπωλεῖν 95 πίνη 96 γελγίδες ⟨99 σελάειν — αἴθειν?⟩ 301 ὀρχιᾶν; cf. σέλμιν ⟨3 Cf. 102. 429. λέβινθοι ῥάβινθοι et ἰάλιοι⟩ 5 τίλαι 8 γελῶ — δώρων 9 γελλώς — ἣ 10 ὀλιοδυσία ⟨14 v. γολούριον⟩

HES. 53 γεγωνέειν (Eur. Or. 1220)· ἐξάκουστον βοῆς ⟨βόησον⟩ 54 γέγωνεν ⟨—ονεν⟩ ἐν καλῷ· καλλίστω(ς....) 56 γεγωνέμεν (Θ 223)· ἐξάκουστον φωνεῖν 59 γεγωώς (Θ 227)· κραυγάζων, βοῶν 63 γειγνοῖα· γείτονα ⟨γειτνία· γειτονία⟩ 66 γείνατο (Λ 280)· ἐγέννησε 70 γειοχόμον· γεωργόν ⟨rec. epici⟩ 71 γείσας· ἐξοχὰς τῶν οἰκοδομῶν Ad 72: γείσῃ· ἐκθέματα 75 γείτη· βάμματα ἐξ ἐρίων ⟨ΡΗΓΗ non ΓΕΛΓΗ⟩ 78 γειτνιῶν (Susann. 4)· ἐγγίζων 79 γειτνίαι· γειτονίαι 80 γειτνιᾶν· γειτονεῖν ⟨Bekk. 86, 16⟩ Ad 81: καὶ γεῖτος γὰρ ⟨l. ΡΗΓΟC γράφεται⟩ αὐτό (cf. 275) 83 γείωρας (Exod. XII 19)· γείτονας ἐξ ἄλλου γένους καλουμένους τῷ Ἰσραήλ, προσηλύτους (Iesai. XIV 1). ἢ τοὺς περὶ τὴν γῆν διαπονουμένους ⟨v. 482⟩ 98 γέλεα τέλεα ⟨τέλεα· τέλεια Aesch. Suppl. 116⟩ 304 γελλίζειν· γαργαρίζειν ⟨v. γιγγλίζειν⟩ 11 γελοίιον (Β 215)· γέλοιον, γέλωτος ἔξεστι ⟨l. ἄξιον⟩ 13 γέλων· γέλωτα ⟨Moer. p. 108⟩

γελσόν· ἀτυχές ⟨v. βέλλιον⟩

Γελχάνος ⟨sic⟩· ὁ Ζεὺς παρὰ Κρησίν [17]

γέλως Μεγαρικός (Ar. Vespp. 57)· ὁ σκωπτικός

γελωτῖνος· καταγέλαστος

γέμειν (cf. Eur. fr. 107)· κύειν

γέμματα (Aeoles)· ἱμάτια ⟨v. γῆμα⟩ [22]

γέμος (Aesch. Ag. 1221)· γέμισμα, πλήρωμα [24]

γενάρχου (Callimach.)· πατρός [26]

γενεά· φυλή. ἐπὶ διαστήματος χρόνου τῶν μὴ κατ' αὐτὸ βεβιωκότων. τὴν δὲ γενεὰν ὑφίστανται ἐτῶν οἱ μὲν κ', οἱ δὲ κε', οἱ δὲ λ'

(γενεᾶτιν (Sophro, Eratosth. p. 138)· τρίγλαν. οἱ δὲ τράγον ⟨γενειάταν⟩)

γενεῇ· ἡλικία. τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων (Α 250). εὐγένεια (Δ 60) [ad 29]. γένεσις (Β 707)

γενέθλια· τὰ ἐπὶ τῇ πρώτῃ ἡμέρᾳ δῶρα. καὶ ἡ εὐωχία (Eur. Ion. 653. 805)

γένεθλον (tragici)· τέκνον [32]

γενειάς (Theocr. II 78)· ἴουλος

γενειήτης (Callim. Dian. 90)· πωγωνίας ⟨v. 328⟩ [35—37]

γενέσια (Herod. IV 26)· ἑορτὴ πένθιμος Ἀθηναίοις. οἱ δὲ τὰ νεκύσια. καὶ ἐν ᾗ ἡμέρᾳ τῇ γῇ θύουσι [39]

γένεσις Κύπρου ⟨—ιδος?⟩· ἡ σπονδὴ παρὰ Κυπρίοις [41]

γενέταν (Eur. Or. 1010)· πατέρα. καὶ γενέτην (Callim. epigr. XXII 2)

γενέτας (Soph. O. T. 470)· ἔκγονος ⟨v. 349⟩

γενετῆρι· πατρί

γενετυλλίδας (Ar. Thesm. 130)· δαίμονας

Γενετυλ(λ)ίς (Ar. Lys. 2)· γυναικεία θεός, πεποιημένου τοῦ ὀνόματος παρὰ τὰς γενέσεις, ἐοικυῖα τῇ Ἑκάτῃ. διὸ καὶ ταύτῃ κύνας προετίθεσαν. ἔστι δὲ ξενικὴ ἡ θεός. καὶ ἑορτὴ τῶν γυναικῶν

γένη. διαφορά· ἢ γενεά (Callim. fr. CCXLI γενὴν). ἢ βλαστήματα

γενηΐδα (Eur. fr. 534, 6 Valck.)· ἀξίνην, πέλεκυν [49. 50]

γενικόν· τὸ καθόλου περιεκτικόν

γεννάδαι· εὐγενέστατοι, γενναιότατοι

γεννάδας (Ar. Ran. 179)· γενναῖος, ἀνδρεῖος. εὐγενής. μέγας

γενναῖον· τὸ εὐγενές. καὶ τὸ τῆς γενέσεως ἀρχηγόν. καὶ συγγενικόν (Ε 253)

γενναῖος· ἀνδρεῖος. εὐγενής [56]

γέννημα (Soph. Ant. 627)· παιδίον

γεννῆται· οἱ τοῦ αὐτοῦ γένους μετέχοντες καὶ ἄνωθεν ἀπ' ἀρχῆς σχόντες κοινὰ ἱερά. οἱ δὲ ὁμογάλακτας καὶ φράτορας συγγενεῖς τοὺς γεννήτας (Isae. p. 64, 35. 66, 13) [59]

γεννήτορες (Eur. I. T. 576)· γονεῖς

γεννητός· γνήσιος υἱός [62]

γέννου· Κύπριοι. καὶ λάβε. καὶ κάθιζε ⟨ἰνύου⟩

γενούστης (Plat. Phileb. c. XVI)· ἐπὶ τοῦ θεοῦ ἐννοίας. ὁ γεννητικός

†Γεννοί· ⟨Iaina⟩ οἱ Γυμνοσοφισταί [66—70]

γέντα (Thraces, Callim. fr. CCCIX Nic. Al. 62)· κρέα. σπλάγχνα ⟨v. 56. 455⟩

†γεντελισταί. οἱ ἑορτάζοντες, καὶ παίζοντες ⟨πεντελιθίσται?⟩

γεντιανή· ῥίζα τις οὕτω καλουμένη, χρήσιμος οὖσα εἰς τὰς ἀντιδόσεις

†γέντιροι· οἰκεῖοι ⟨οἱ Κεῖοι⟩

†γέντινος· ὕπνος

γέντο (Θ 43)· ἔλαβεν. ἀνέλαβεν (Callim. Cer. 44) [77]

γένυν· σιαγόνα

δειπνοφόροι· παρὰ Ἀθηναίοις καθίστανται ἐν τῇ τῶν ὀσχοφορίων ἑορτῇ αἱ δειπνοφόροι

†δείρα, δείμοιρα. τράχημος. διαίρεσις

δειράδας (Soph. Ant. 832)· ἐξοχάς, κορυφὰς (669) (ἢ τὰς νάπας. ἢ τὰς φάραγγας)

δειράζειν· κλέπτειν (λέπειν?)

δειράδες· αὐχένες καὶ τραχηλοειδεῖς τῶν ὀρῶν. καὶ ἐξέχοντα μέρη

δειράρ (Lacones)· κορυφή [32]

δείρειν· ἐκδείρειν

δειρή· τράχηλος, αὐχήν (668) [35]

δειριᾶν· λοιδορεῖσθαι. Λάκωνες

δειρεῖοι· λοίδοροι. οἱ αὐτοί (670)

†δειρός· λόφος. καὶ ἀνάντης τόπος [39]

δεῖσαι· εὐλαβηθῆναι, φοβηθῆναι. δέος γὰρ ὁ φόβος

†δεισιλός· δειλός

δεισιάδα· τὴν μοῖραν. οἱ δὲ διμοιρίαν

δεισιδαίμων (Xen. Cyr. III 3, 26. 58) [ad 43]· ὁ εὐσεβὴς καὶ δειλὸς περὶ θεούς [44]

δεῖται· δέεται, χρήζει

δειφήσαντες· ψηλαφήσαντες [47]

[48] δίκην τοῦ προσήκοντος [49]

δεκάβοιον· ἀριθμὸς ποσός. καὶ σταθμὸς ποσός, ἐφ' ᾧ τετύπωτο βοῦς. ἔνιοι δὲ Δηλίων τὸν βοῦν νόμισμα εἶναί φασι (Poll. IX 61)

δεκαδάρχαι (Xen. Cyr. VIII 1, 14)· οἱ τῶν δεκάδων ἡγεμόνες. οὓς καὶ δωδεκάρχους ἔλεγον. ἦσαν γὰρ σὺν τοῖν δεκάρχοιν δώδεκα

δεκάδαρχος· οἱ μὲν ἀπὸ τοῦ δεκαδαρχεῖν. οἱ δὲ ἀπὸ τοῦ δεκάζειν, ὅπερ ἐστὶ τοὺς δικαστὰς πείθειν δώροις. ἦν δὲ καὶ ὄνομα. καὶ ὁ τελώνης

δεκάδες· οἱ ἐκ τῆς τάξεως τῶν δέκα στρατιωτῶν συνεστῶτες

δεκάδρομοι· οἱ δέκα †ἐν τοῖς ἀνδράσι ἐσχηκότες, ὑπὸ Κρητῶν

δεκάζειν· διαφθείρειν, χρήματα ἢ δῶρα ..... (ἔλεγον δὲ οὕτω καὶ τὸ κατὰ δέκα διαφθείρειν τὸν δικαστήν, ἢ τοὺς κριτάς· καὶ ἁπλῶς τὸ διαφθείρειν δικαστήν)

δεκάζεσθαι· δωροδοκεῖσθαι

δεκάζων· ὁ εἰς †δέκατον ἀριθμὸν ἥκων

†δεκανᾶται· ἀσπάζεται (δεικ—?)

δεκάπουν (τὸ) στοιχεῖον (Ar. Eccl. 652)· οἱ ἐπὶ δεῖπνον κληθέντες τὰς ὥρας οὕτως ἐξελάμβανον, πρὸς τὴν σκιὰν ἀναμετροῦντες

δεκασθείς· δωροδοκηθείς [ad 60]

δεκάτα· τάξις. ἄθροισμα. καὶ ἡ τῶν κ' †ἁρμάτων τάξις

δεκατεύειν· τελωνεῖν, δεκάτην εἰσπράττεσθαι. ἔλεγον δὲ καὶ τὸ ἀρκτεύειν δεκατεύειν, ἐπεὶ ἔπρασσον αὐτὸ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι

δεκατευταί (Antipho Harp.)· τελῶναι, οἱ τὴν δεκάτην ἐκλέγοντες. ὡς τὸ δεκατεύειν δεκάζειν

δεκάτη· τὸ δέκατον μέρος τῆς οὐσίας

δεκατηλόγοι (Demosth. 679, 26)· τελῶναι

δεκάτην θύομεν (Ar. Av. 922 Eubul. III p. 203)· τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν. ὁ δὲ Ἀριστοτέλης τῇ ἑβδόμῃ φησί

δεκάτη προτέρα· ἡ πρὸ εἰκάδος· ὡς ὑστέρα· ἡ μετ' εἰκάδα

δέκα τοῦ 'βολοῦ· (ἐπὶ) οὐδενὸς ἀξίου. βέλτιον δὲ εἰς μικρότητα τίθεσθαι αὐτό (Comic. V p. 77) [69]

δεκάφυια (Callim. fr. CLXII)· δεκαπλάσια, δίφυια δὲ διπλάσια

†δεκάχειλε· πρὸς ἀποδοχὴν ἐπιτήδειον [72]

δεκάχοια· δεκαπλαῖ [74]

δεκέτης· δεκαετής

COD. 26 ὠσχοφορίων — οἱ 30 μέρη. ἢ ... φάραγγας (38 δεῖρος (Euphorio fr. XXXIV) an δειράς?) 50 δειλιόντων βοῦν 51 σὺν τῷ δεκάρχῳ (57 Ut πεμπάζειν?) Post ἥκων] ἔλεγον ... δικαστήν 59 δεκαπουνστοίχιονοί 63 δεκάζειν δεκατεύειν 66 δεκάτη, θύομεν 68 δεκάτου, βόλου 69 δεκαδώρων. ο| 70 δεκαφυῖα |σία

HES. 25 δεῖπνον ἕλοντο (B 399)· ἐδείπνησαν 32 δείραντες (Actt. Ap. V 40)· ἐκδείραντες 35 δειρήν (Λ 26)· αὐχένα, τράχηλον 39 δειροτομῆσαι (χ 319)· διατεμεῖν, διατμῆσαι Ad 43: ὁ τὰ εἴδωλα σέβων, εἰδωλολάτρης 44 δεισιδαιμονία (Actt. Ap. XXV 19)· φοβοθεῖα 47 δειφόμενος (Ar. Pac. 290?)· ψηλαφήσας 48 δειφῶν (Π 747)· ζητῶν 49 δεκάδα· τάξιν τινά Ad 60: ἐπιτιμηθείς. ἐντραπείς 69 δεκαδώρῳ ἁμάξῃ (Hesiod. opp. 424)· (ἧς ἡ διάμετρος τῶν τροχῶν δέκα δώρων. Δῶρον δέ, ὡς μέν τινες, ἡ παλαιστή, ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος 72 δεκάχειλοι (E 860 Ξ 148)· δεκασχίλιοι 74 δεκέτες (Moer. p. 123)· δεκαετές

δεκτή· χλαῖνα, χλανίς

δεκτῆρες· ὑποδυχεῖς

δέκτης (δ 248)· πτωχός, ἐπαίτης. ἀπὸ τοῦ δέχεσθαι [79. 80]

δέκων· ὁ δεκαζόμενος

δελεάζει· ἐξαπατᾷ [83]

δέλεαρ· ἀπάτη, δόλος

δελεασθείς· ἀπατηθείς ⟨v. 461⟩ [86]

δελεάστραι· παγίδες

δέλετρον· φανός, ὃν οἱ νυκτερεύοντες φαίνουσι (Timachidas)

Δελέφατ· ὁ τῆς Ἀφροδίτης ἀστὴρ ὑπὸ Χαλδαίων

δέλητι· δελέατι ⟨v. 629⟩

δελήτιον (Sophro fr. 20)· (ὡς) λεβήτιον, (τὸ δέλεαρ)

δελία· δάφνη ⟨Δηλία?⟩

† δέλιχρα· τὰ ἡμίχοιρα

δέλλει (Arcades)· βάλλει ⟨v. 995⟩

δέλλιθες· σφῆκες. ἢ ζῷον ὅμοιον μελίσσῃ

δελλίθια· ἀνθρήνια. οἱ δὲ κηρία

Δέλκος· λίμνη ἰχθυοφόρος περὶ τὴν Θράκην

δελφάκιον· χοιρίδιον (Ar. Lys. 1061). οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον (Ar. Thesm. 237)

δελφακοῦσθαι (cf. Ar. Ach. 786)· τελειοῦσθαι τὰς ὗς

Δελφικὸν τρίποδα· τὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς

Δελφικὴ μάχαιρα· ἀπὸ κατασκευῆς, (μὴ) λαμβάνουσα ἓν πρὸς ἓν μέρος σιδηροῦν, ὡς Ἀριστοτέλης (polit. I 2)

δελφῖνες (Ar. Eqq. 762)· πολεμιστήριον μηχάνημα ἐν ναυμαχίαις. καὶ ἡ ἔχουσα αὐτὸ δελφινοφόρος ναῦς (Thuc. VII 41, 2)· οἱ δὲ διὰ τὰ κρεμαννύμενα βάρη, δελφίνων σχῆμα ἔχοντα, ἃ ταῖς λῃστρικαῖς ναυσὶν ἐμβάλλεται (Pherecr. fr. VI p. 258)

δελφίνιον· εἶδος βοτάνης

Δελφύς· μήτρα. καὶ ὁ ἐν Δελφοῖς δράκων

δελφύων· γαστέρων [6]

† δέμα· σχοινίον ⟨69⟩

δέμας· σῶμα. μορφή. ἰδέα. τρόπος

δέμας πυρὸς αἰθομένοιο (N 673)· τρόπον πυρὸς καιομένου

δέμει· οἰκοδομεῖ

† δέμει· ὁδός (cf. Herod. II 124)

† δεμβλεῖς· βδέλλαι ⟨Philol. XIV p. 204⟩

δέμνια (δ 301 al)· στρώματα. κοῖται

δεμνίοις (Soph. Tr. 915)· κοίταις. στρωμναῖς

δεμνιοτήρην (Aesch. Ag. 1449)· ἔγκοιτον. τὰ δέμνια τηροῦντα

δεμνιοτήρη πόνον· Αἰσχύλος Ἀγαμέμνονι (53). καθόπου οἱ νεοσσοὶ ἔτι τοιοῦτοί εἰσιν, ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν, μηδέπω πέτεσθαι δυνάμενοι· πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν

† δεμών· χρόνος ⟨v. 318⟩ [18]

δενδαλίδας (Com. II 2 p. 852)· οἱ μὲν ἄνθος τι, ἄλλοι τὰς λευκὰς κάχρυς, οἱ δὲ τὰς ἐπτισμένας κριθὰς πρὸ τοῦ φρυγῆναι (Eratosth. fr. VIII p. 140), οἱ δὲ τὰς ἐκ κριθῶν μάζας γενομένας ⟨v. δανδ—⟩

δενδίλλει· σκαρδαμύττει. διανεύει. σιλλαίνει. ἀτιμάζει. σκώπτει (ex onomastico?)

δενδίλλων (I 180)· τοῖς ὀφθαλμοῖς διανεύων

δενδρῖτις· γῆ τις πετρώδης εὔθρυπτος παρὰ Λάκωσιν

δενέμωρ· κροκόδειλος

δενδρυάζειν· ταπεινῶς ὑπὸ τὰς δρῦς παραφεύγειν. προστρέχειν σκέπῃ

Δένθις (Alcm. fr. 115)· οἶνος. Λάκωνες

(δεννάζων (Soph. Ai. 243)· λοιδορῶν)

(δενναστόν· καταγέλαστον. λοιδορούμενον μετὰ καταγέλωτος)

δεννόν· κακολόγον [29]

δεξαμεναί (Herod. III 9)· ὑδάτων δοχεῖα. καὶ ἐν τῷ σώματι φλέβες, Δημοκρίτου (p. 421 Mull.) καὶ ἐπισκίαι

δέξασθαι· λαβεῖν παρὰ τῷ ποιητῇ (A 112)

Δεξιάδην (H 15)· οἱ μὲν ὄνομα κύριον· οἱ δὲ Δεξιοῦ παῖδα. οἱ δὲ ἐπιρρηματικῶς ἐκ δεξιῶν, δεξιῶς

COD. 76 λόκκη Arcad. 122, 9. Cf. λέκκη et λακτή 77 ἀποδοχεῖς 81 δεκών 87 δέλεστραι, βατίδες 89 Cf. βελέβατος 91 βελήτιον 94 καλεῖ 96 δενθρίνια 600—3 = 603. 600—2 1 ἔμπροσθεν 3 δελφίνιος ⟨—ινιάς?⟩ 10 δεμεῖ 11 Cf. 347. 700 16 πέτασθαι Post 18] 626 19 κάχρυσοι δὲ — ἐπισταμένας 22 δενέμωρ, γῆ Post 22] 627 23 δενδρίτης, κρ. 24 δενδριάζειν 25 δενθείς ⟨26 Cf. ἐδέννασεν, ἐλένναζεν, νεννάζει⟩ Post 32 ἐπεὶ ἐκδεξιῶν θεῶν βροτοὶ ἐπὶ δεξιμήλου

HES. 79 δεκτόν (Luc. IV 19)· εὐπρόσδεκτον 80 δεκτός (Luc. IV 24)· ἀρεστός 83 δελεαζόμενος (Iacob. I 14)· παγιδευόμενος 86 δελεδώνη (Aristot. HA. IV 1, 15)· ὁ μυλαῖος ἰχθύς ⟨v. ἐλεδώνη⟩ 606 δέλτος· πιναχίδιον. ἢ πλάκες 18 δενδιέω (Γ 152)· τὰ δένδρα 29 † δεντή· δέλεαρ ⟨δέλητι· δελέατι⟩

δεξιάς· συνθήκας [34]

δεξιμήλοις· ἐπηκόοις καὶ ἱλαροῖς θεοῖς· ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα· καὶ δεξίμηλον ἐσχάραν, †(ἐπεὶ ἐκδεξιῶν θεῶν βροτοὶ ἐπὶ δεξιμήλου)

δεξιός· συνετός. ἀγαθός, καλός. ἐπιδέξιος. εὔθετος [37]

δεξιότοιχοι· ἐρέται οἱ κατὰ τὸ δεξιὸν μέρος. τίθεται δὲ καὶ ἐπὶ χορευτῶν [39]

δεξίς· τῶν ἐν τῷ ἥπατι μερῶν παρὰ τοῖς θύταις (ἡ) καλουμένη δοχή ⟨v. δυχεών⟩

δεξιώσασθαι· ἐγγυήσασθαι γυναικί

†δεξιόν· εἶδος μέρους

Δεξώ· ὁ Κρατῖνος (II 1 p. 58) ὠνοματοποίησεν. ἀπὸ τοῦ δέχεσθαι δῶρα [44]

δέοιμι (ϑ 352)· δεσμεύοιμι

δέομαι· δοκῶ ⟨v. δέαμαι⟩

δεόμενοι· χρῄζοντες (Xen. An. VII 1, 6). δεσμοῦντες [48]

δεομένων (Xen. Cyr. II 3, 2)· χρῃζόντων

δέον· ἐς δέον ἢ εἰς δέον. οὕτω Περικλέα φασὶ λογιζόμενον εἰς τὸ δέον (Ar. Nubb. 859) προσγράφειν, ὃ σημαίνει εἰς προδοσίαν δεδομένον χρῆμα. πρέπον, ἀναγκαῖον

δέοντα· χρῄζοντα. λείποντα. πρέποντα [53. 54]

δεόντως· προσηκόντως

δέος (Macedones)· [ad 56] θεός ⟨v. δέα⟩

δέουσι· δεσμούουσιν ἀπέχουσι

δέπας (Hom.)· ποτήριον. παρὰ τὸ δέχεσθαι τὸ πόμα [59]

δέρα· ὑπερβολὴ ὄρους. οἱ δὲ τὰ σιμὰ τῶν ὀρῶν

Δέραι· αἱ συνάγκειαι. Λάκωνες

δέραια (Eur. Ion. 1431)· περιτραχήλια. παίγνια. τὸ αὐτὸ καὶ δεραιοί

δέρας· δέρμα προβάτου

δέργμα (Aesch. Pers. 81)· ὀφθαλμός. ὅρασις

δέργματα (Eur. Hec. 1265)· ὄμματα

δεργμάτων (Eur. Phoen. 660)· ὄψεων, ὀμμάτων. καὶ δεργμῶν

δέρεθρον (Arcades)· λίμνη ἀποχώρησιν ἔχουσα

δέρη· τράχηλος. αὐχήν (Xen. Hippocr.)

δέρης (Aesch. Ag. 329)· τραχήλου

δερίαι· λοιδορίαι ⟨536. 37⟩

δερίπιον· φλοιόν ⟨= τέρφος⟩

δέρκειν· βλέπειν. ὁρᾶν

δέρκεσθαι (P 675)· ὁρᾶσθαι

δερκομένου (Ξ 141)· ὁρῶντος

δερκομένῳ· ὁρῶντι, βλέποντι

δερκύλλειν· αἱμοποτεῖν. ἄλλοι δερμύλλειν διὰ τοῦ μ̄

δέρκων· βλέπων, ὁρῶν

δέρμα· πήρα. καὶ δέσμη (Elei ?)

δέρμα (Callim fr. CCXI)· δορά

†δέρμη· ὁδός ⟨v. 347⟩

δέρμα Δικυκόν (Com. V p. 33)· ὡς κάλλιστον

†δέρμητες· οἱ ἐξ ἐφ' ἡμῶν περισσοί

δερμιστής (Soph. fr. 408)· ὁ σκώληξ, ἢ ὁ σὴς ὁ τὰ δέρματα ἐσθίων. Ἀρίσταρχος ὄφιν

δέρξιος· ὄψεως

δέρος (Nic. Ther. 821)· δέρμα

δερμύλλει· αἱμοποτεῖ. οἱ δὲ †ἐκπαίει [87]

δερριδόγομφοι πύλαι (Com. II 1 p. 418)· δέρρεις ἔχουσαι παραπετάσματα

δέρρις (comici)· δέρμα. βύρσα

δερριστήρ· περιδέραιον ἵππου

δερριστής· κυνάγχης περιαυχένιος [92]

δέρτρα· τύμπανα

δέρτρον· δέρμα. ὑμήν. λαπάρα. ἦτρον. ὑπογάστριον (Hippocr. III p. 560 K). Ἄμεινον δὲ τὸ περιτόναιον ἀκούειν. ἢ ὑμένα, ἐπίπλουν (λ 578)

δεσαύχενες (Aristoph. fr. inc. CCXIII)· ἀσκοί, διὰ τὸ ἐκ τῶν αὐχένων δεδέσθαι ⟨v. μεσ—⟩ [96]

COD. 35 δεξιμήλους — ἐπὶ τοῦ — δεξίμηλοι ἐσχάραι ⟨46 δέαται. δείασθεν. ἐδεάμην. δοάσσατο. δέαλος. δ' οἱ δέατο⟩ 51 δέοντες δέησις δέον 61 συνάσκιαι (cf. Paus. IV 15, 4) 64 δέρμα ⟨68 cf. δηρή et ῥεδέρη⟩ 69 δέρις, τράχηλος, em. Cyr. 171 80 ὁδός. καὶ δεσμη? cf. 700 82 ἐξ ἡμῶν Phavor. 470 ⟨ἐξήβων? ἐξ ἐφήβων?⟩ 86 Cf. 676; ἐκδέρει EM. 90 δερβιστήρ Siculi ap. EM. 94 τὸ πὲ τὸ νέον

HES. 34 δεξιαί (B 341)· αἱ γινόμεναι κατὰ συνθήκας ἐπαφαὶ τῶν δεξιῶν χειρῶν, εἰς σύμβολον τοῦ βέβαια ἔσεσθαι καὶ †ἣν μετὰ τὰ συντιθέμενα 37 δεξιοῦται· προσάγεται 39 δεξιότερον (E 393 K 373)· δεξιον 44 δεξιωσάμενος (Xenoph. Cyr VI 3, 12 !)· δεξάμενος 48 δεόμενος ⟨δαι—⟩· καιόμενος 50 δεόμενος· νόμος. δεσμός ⟨v. δέημος et δεσμός⟩ 53 δέοντο (Σ 553)· ἐδεσμεύοντο 54 δεόντων (μ 54), δεσμευέτωσαν ⟨v. διδόντων⟩ Ad 56: φόβος. ἢ (Hebr. XII 28 gl. ms.) 59 δεπάσεσι (Θ 162)· ποτηρίοις 87 δέρραις (LXX)· τὸ παχὺ ὕφασμα, ᾧ εἰς παραπέτασμα ἐχρῶντο. ἴσως δὲ καὶ δερματίνοις ἐχρήσαντο [Περὶ τῶν δήλων ⟨αὐλῶν cod.⟩] 92 δέρριον (Zachar. XIII 4)· τρίχινον σακίον 96 δεβρωτέν (T 205)· δεῖπνον

δεσμά· πέδαι [98]

δεσμεῖν ἀμάλας· δεσμεῖν τὰς δεσμὰς τῶν σταχύων

† δεσμή· ὁδός ⟨v. 680⟩

δεσμίης· μάστιγος ἄξιος

δεσμοί (θ 296)· ἧλοι

δεσμοὶ Τυρρηνικοί· (ἐπὶ δεσμῶν,) οἷς ἐχρήσαντο Ἀθηναῖοι ⟨v. Τυρρηνοὶ δ.⟩

δεσμόν· σημεῖον παρὰ τοῖς θύταις [ad 704]

(δεσμός [Macedones]· νόμος)

δεσμός· σῶμα. μορφή. ἧλος. † εἶλος

δεσπίνας· γυναῖκας. Θεσσαλοί

δεσπότην κεκαρμένοι· ἔνιοι μὲν ἵππου κουρᾶς εἶδος εἶναί φασιν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ κείρειν τοὺς αὐχένας, ἐπειδὰν ὁ δεσπότης τοῦ ἵππου τελευτήσῃ. βέλτιον δὲ δεσπότην πενθοῦντες· ἐπειδὴ καὶ τοὺς ἵππους ἀπέκειρον ἐπὶ τοῖς θανάτοις τῶν δεσποτῶν [9]

† δέτις· παλάνθη

δεταί· λαμπάδες (Λ 553). καὶ αἱ πέδαι. καὶ τὰ δράγματα, παρὰ τὸ συνδεῖν

δέτρον· δέρμα τοῦ ἤπατος (Et. Gud. 389, 27) [ad 12]

Δευάδαι· οἱ Σάτυροι ὑπ' Ἰλλυρίων

Δεύας· τοὺς ἀκάκους θεοὺς Μάγοι

δεύασθαι (Arcades?)· γεύσασθαι ⟨v. ζεύσασθαι⟩

δεύειν· μάττειν (Arist. fr. IV p. 1057). τύπτειν [17]

δεύεσθαι· βρέχεσθαι. ἐπιδεῖσθαι (Ν 310) [19]

δευθέντα· βραχέντα

Δευκαλίδαι· οἱ Σάτυροι

δεύκει· φροντίζει

δευκές· λαμπρόν. ὅμοιον ⟨450⟩

δευλόν (Cretes)· πονηρόν. ἀχρεῖον ⟨458. 471⟩ [25]

δεύοιντο (Callim. Apoll. 51)· ἐπιδεεῖς γένοιντο

δευόμενα· δεόμενα

δευομένα (Eur. Tro. 273)· δεομένη

δευόμενος· [ ] βρεχόμενος [ad 29]

δεύοντο· ἐδέοντο. ἔχρηζον [ad 30]

δεῦρο· ἐνθάδε ἐλθέ, εἰς τοῦτον τὸν τόπον [ad 31] [32]

Δεύς (Ar. Acharn. 911)· Ζεύς

δεῦσαι· βρέξαι (Eur. Phoen. 224). βάψαι. μάξαι (Xen. Oec. X 11)

δευσ(ο)ποιόν (Plat. Civ. IV p. 429)· τὸ ἔμμονον, καὶ μὴ ἐκπλυνόμενον βάμμα. οἱ δὲ τὸ γνησίως βεβαμμένον, ἤτοι πορφύρα, ἢ ἄλλο τι (Comici)

δεύσω· βρέξω [37]

δεῦτ' ἄγετε (Π 350)· δεῦτε φέρετε [39]

δεύτερα ἄλφιτα· τὰ δευτερεῖα καὶ εὐτελῆ

δευτεραγωνιστής· δεύτερος ἀγωνιζόμενος

δευτέρα φθίνοντος· † ἀπὸ ⟨α' πρὸ?⟩ τῆς τριακάδος

δευτερίας· Κάλλιπ(π)ος (com. IV p. 561). οἶνος εὐτελής

δευτερίναρ (Lacones)· ὁ μετὰ τὸ ὕδωρ ἐπιχεθῆναι εἰς τὰ στέμφυλα οἶνος

† δευρόλας· ὁ ἐξ ἐφήβων Ἀθηναίων ⟨δεῦρο πᾶς?⟩

δευτερόποτμος· ὁ ὑπό τινων ὑστερόποτμος. οὕτω δὲ ἔλεγον, ὁπόταν τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγένετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. ὁ δὲ Πολέμων (fr. L* p. 93) καὶ ἀπειρῆσθαι τοῖς τοιούτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν Σεμνῶν φησι Θεῶν. ἢ ὁ φημισθεὶς ἐπὶ ξένης τετελευτηκώς, ἔπειτα ἐπανελθών. ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδύς· ὡς ἔθος ἦν παρὰ Ἀθηναίοις ἐκ δευτέρου γεννᾶσθαι

δευτέρων ἀμεινόνων (Diogenian. IV 15)· παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ, καὶ ἐπὶ δεύτερα τραπῶσι λέγοντες ‚δευτέρων ἀμεινόνων.' Μνημονεύει Πλάτων (Legg. IV 723 D)

δέχεσθαι· λαμβάνειν. ἀσπάζεσθαι

COD. 97 πέδαις 99 δέσμειν 701—3 = 2. 3. 1 1 μάστιγας ἄξιος ἐστὶ δεσμῶν 5 Cf. 422. 650 6 εἶδος (v. εἴλεα) 8 κρεμμένοι — βελήντιον 11 δράμματα ⟨v. δαιτή⟩
ἐ
12 Cf. 1038. 39 13 σατοὶ π 15 δεύαται 16 μαλάττειν 26 δευοίαντο 28 δευομένη 29 βραχόμενος 31 περιδώμεθα; νυνὶ 34 μαλάξαι 43 δευτερεῖα 46 οἱ δὲ πολέμοις — φασὶ

HES. 98 δέσματα (θ 278 al.)· ἐπιδέσμια Ad 704: οὐδετέρως Ἀττικοί. καὶ ⟨Moer.⟩ 9 δετρός· μάγειρος Ad 12: ἢ διάπυρον. διαφανές ⟨Hippocr. II p. 475 δίαιτρον⟩ 17 δεύει· μίσγει. βρέχει (Β 471). φύρει. ἐνδεῖ ⟨l. δεύεαι· ἐνδεὴς εἶ (Ψ 484)⟩ 19 δεύεται (ε 53)· βρέχεται 25 δευοίατο (Β 128)· ἐπιδέο(ι)ντο Ad 29: δεύμενος (Χ 492). — χρήζων Ad 30: ἐβρέχοντο (Ι 570) Ad 31: ἢ ἐπὶ τοῦ παρόντος, ἢ νῦν. ἢ παρακελευστικῶς· δεῦρό νυν. ἢ τρίποδος περιδώμεθα (Ψ 485) 32 δεύρω (Γ 240)· δεῦρο 37 δευσοποιός· βαφεύς ⟨Moer.⟩ 39 δεύτατος (Τ 51)· ὕστατος, ἔσχατος, μεθ' ὃν οὐκ ἔστιν ἕτερος

δέχμα· νόμιμον [50. 51]
δέχομαι· ὁμολογῶ
δεψήσας (μ 48)· μαλάξας [54]
† δῆ· γῆ. καὶ σιωπᾷ
† δηατάχα· καὶ φθορὰ δένδρων (v. 893)
† δήβοιλοί· κιθαρῳδοί ⟨δήβυδύ Boeotice pro δὴ ἀοιδοί⟩ [58. 59]
† δηγοῖ· πληροῖ
δῆγμα· σπάραγμα ὀδόντων [62]
δήειν· πολεμεῖν. φονεύειν
δήεις (N 260 η 49)· εὑρήσεις. ὄψει. μαθήσῃ [65]
δηθαγόρον· ἐπιπολὺ λέγουσαν
δηθαίωνας· μακραίωνας. μακροβίους
δηθάκι (Nic. Al. 215)· πυκνῶς, πολλάκις [69. 70]
δῆθεν· ὡς δή. ἤ φησιν (nempe). ἢ ἐντεῦθεν
δῆθεν· ὡς μάλιστα. ὡς δή. ἐξεπίτηδες [72—74]
δηιάλωτοι· αἰχμάλωτοι
δήϊοι (I 76 Σ 208)· πολέμιοι [77]
δηιοτής· πολεμικὴ διάθεσις (Apoll. lex. 58, 6). μάχη παρὰ τὸ δήϊον
δηιοτῆτας· μάχας [80. 81]
δηιοῦσι· πολεμοῦσιν [83—86]
δηλαδή· φανερόν ἐστιν. ἢ δηλονότι
δ' ἠλαίνουσι· παίζουσι
δηλεομένη· βλαπτομένη [90. 91]
δηλαυγῶς (Democritus?)· ἄγαν φανερῶς ⟨cf. ἐμφανῶν⟩
δήλεσθαι (Dores)· θέλειν, βούλεσθαι
δήλη· βούλη [95]
† δηληθήσονται· θεωρηθήσονται

δηλήματα (μ 286 Soph. OT. 1495)· βλαπτικά
δηλήμονας (Apoll. lex. 58, 14)· βλαπτικούς. κλέπτας. κακούργους. λυμεῶνας
δηλήμων· κακοῦργος. λυμαντήρ, λυμεών [800]
δηλήσασθαι (Δ 67. 72)· βλάψαι. διακόψαι. φθεῖραι [2]
δηλήσεις· στάσεις [4]
δήλησις· ὀργή. λώβησις. κακουργία. φθορά
δηλήσονται· ψεύσονται. βλάψουσι
δηλητήριον· φάρμακον. βοτάνη θανάσιμος
Δηλιασταί (Lycurgus)· οἱ εἰς Δῆλον πεμπόμενοι θεωροί [9]
Δῆλον· φανερόν, ὁρατόν. καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερόν (Callim. Del. 2) [11]
δήλονται (Dores)· θέλουσι [13—15]
† Δηλκακὸς βωμός ⟨δηλιακὸς νόμος⟩· τὸ περιτρέχειν κύκλῳ τὸν ἐν Δήλῳ βωμὸν καὶ τύπτεσθαι· ἤρξατο τούτου Θησεύς, † χαριστητὴς ἀπάτης λαβύρινθος φυγῆς (schol. Callim. Del. 321)
δημαγωγεῖ· στρατηγεῖ [18]
δημαγωγός (Xen. Hell. V 2, 7)· ἄρχων, ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν. δημόσιος
δημαγωγοῦνται· στρατηγοῦνται
Δημαρέτιον (Doric.)· νόμισμα ἐν Σικελίᾳ ὑπὸ Γέλωνος κοπέν, ἐπιδούσης αὐτῷ Δημαρέτης τῆς γυναικὸς εἰς αὐτὸ τὸν κόσμον
δημαρχία· ὅτε δῆμος ἄρχει
δήμαρχοι· οἱ πρότερον καλούμενοι ναύκραροι (Aristoteles Harp.)· ἄρχοντες δὲ ἦσαν καὶ ἠνεχύραζον οὗτοι τοὺς ὀφείλοντας (Aristoph. fr. XIX p. 1146)

COD. 49 δέγμα ⟨55 δηῶ· ἡ γῆ Cyr. Dr. — δῆ Io. Alex. 31, 13⟩ 58 δειρῆτες Ath. IX 392 A δήγορες Zonar. 492. Verum est δρῖγες a δρίξ 61 δῆγμα, παράδειγμα καὶ 63 δηεῖν 67 δηθαιῶνας 71 ὡς δῆλον 88 δηλαίνουσι 89 δηλαινομένη 94 δηλή, βουλή 99 post λυμεών] κακ. διαπρ. 808 θεωριον 16 τῶν ἐν Δ. βωμῶν 21 εἰς αὐτὸν

HES. 50 δέχθαι (Δ 23. 377)· λαβεῖν 51 δέχμενος (I 191)· προσ[δια]δεχόμενος 54 δή· οὖν. σύνδεσμος 58 δὴ γάρ (ξ 282)· ἤδη γάρ 59 δηγῆρες (Elei ap. Nicand. fr. 123)· στρουθοί ⟨v. διγῆρες διρῆγες δρῆγες⟩ 62 δήεται (I 418)· εὑρήσεται 65 δηθά· πολὺν χρόνον (Φ 131). συνεχῶς 69 δηθὰ ματεύσωμεν (Ξ 110)· ἐπιπολὺ ζητήσωμεν 70 δηθά τε καὶ δόλιχον (K 52 sp.)· ἐπιπολύ, καὶ μακρὸν χρόνον 72 δηθύνειν (ρ 278)· ἐγχρονίζειν 73 δηθύνοντα· χρονίζοντα (Δ 27), βραδύνοντα 74 δηθυρεῖν· σχολάζειν, διατρίβειν 77 δηΐοιο· καυστικοῦ (B 415). πολεμικοῦ. φθαρτικοῦ 80 δηίοισι (Δ 373)· τοῖς πολεμίοις 81 δηίουν (M 425)· ἐμάχοντο. ἐπορθοῦντο 83 δηίεσθαι (M 276)· διώξασθαι 84 δηιωθέντων (Δ 417)· αἰκισθέντων 85 δηίων (P 65)· διακόπτων 86 δηιώσας (Θ 534)· κατακόψας 90 δηλαϊστή (Ezech. V 14)· ἐλεεινή 91 δηλάτωρ· κατήγορος 95 δηληγατιῶν· ἀφορίζων 800 δηλήσας ⟨ἀηδήσας⟩· καμών. διαπραξάμενος (κακῶς διαπραττόμενος) ⟨cf. ληδήσας et δμηκῶτες⟩ 2 δηλήσατο (χ 278)· ἔβλαψεν. ἐφθείρετο. ἐκακοποίησε ⟨cf. ἐδηλήσατο⟩ 4 δηλήσηται (Γ 107)· βλάψῃ. φθείρῃ 9 δήλιοι ⟨αἰέλιοι⟩· οἱ ἀδελφὰς γεγαμηκότες 11 δηλονότι· φανερὸν ὅτι 13 δήλων (Sirac. XXXIII 3)· δράσεων. ἐνυπνίων 14 δήλως· ἀπερικαλύπτως 15 δηλῶσαι· φράσαι. δεῖξαι. σημᾶναι ⟨ex onomastico; cf. δεῖξαι⟩ 18 δημαγωγίας (III Esr. V 90)· ὀχλοποιήσεις

δήμαρχον· τὴν ἐνεχυραστήν [25]

δημεῖαι· αἱ τῶν δήμων συστάσεις

δημελέητος· ἐλεεινός

δημεύειν· τὸ οὐσίαν τινὸς δημοσιῶσαι. καὶ τὸ ἐνδημεῖν. ἔνιοι τὸ δημαγωγεῖν λέγουσι

δημεύσεις· ἁρπάσεις

δημεύσας· δημοσιεύσας

δημεχθηλός (Hipponax?)· μισούμενος ὑπὸ τοῦ δήμου [32. 33]

δήμητρα· τὸν σῖτον

δημητριάς· κριθὴ ἑξάστιχος ⟨v. ξέστριξ⟩

Δημήτριος (Πέλεκυς)· τραγῳδ(ι)ῶν ὑποκριτής. καὶ ἴσως ὑπεκρίθη τὸν Ἀγαμέμνονος θάνατον, πελέκει κατὰ πολλοὺς γενόμενον. (Γλαῦκος)

δήμια· δημόσια. καὶ δημ(ι)όπρατα

Δημίαισι πύλαις· κοιναῖς, ἐπεὶ προεστήκεσαν ἐν ταῖς πύλαις αἱ πόρναι. ὁ δὲ Ἀντίπατρος τὸ γυναικεῖον μόριον δημόσιον ἔφη. οἱ δὲ τὰς Κεραμεικὰς πύλας· πρὸς γὰρ αὐτάς φασιν ἑστάναι τὰς πόρνας. μήποτε οὖν ἀντὶ τοῦ Διομῆσι πύλαις Δημίαισιν εἶπεν διὰ τὴν ἐγγύτητα τῶν ὀνομάτων [39]

δημίην· πόρνην. † Κύπριοι

δημιόπρατα (Ar. Vespp. 659)· τὰ δημευθέντα κτήματα, καὶ ὑπὸ δήμου πιπρασκόμενα

δήμιος· ὁ τοὺς καταγνωσθέντας ἀναιρῶν, ἢ ὁ ὑπηρέτης τῶν βασάνων

δημιουργεῖ· τὰ μὴ ὄντα ποιεῖ

δημιουργεῖον· χαλκεῖον. ἐργαστήριον

δημιουργός (Soph. Ai. 1035)· χειροτέχνης. κατασκευαστής

δημιουργός· ὁ ἥλιος· ὅτι πάντα πέσσει καὶ τελεῖ

δημιουργός· ἐπὶ μὲν τῶν ἀνδρῶν τὸ ἔθνος ἐκλήθη, ὅτι χειροτέχναι ἦσαν καὶ βάναυσοι· καὶ παρὰ τοῖς Δωριεῦσιν (Thuc. V 47 3) οἱ ἄρχοντες, τὰ δημόσια πράττοντες, ὥσπερ Ἀθήνησιν οἱ δήμαρχοι. Λέγονται καὶ οἱ τεχνῖται καταχρηστικώτερον. λέγεται δὲ καὶ γυνὴ δημιουργός, ἡ ἐν τοῖς γάμοις πέμματα πέσσει (Menand. fr. 1 p. 222)

δημιῶν· τὸν δῆμον διοικῶν

† δημοαλῆ ⟨—κλῆ?⟩· περιβόητον

δημοβόρος (Α 231)· ὁ τὰ κοινὰ τοῦ δήμου κατεσθίων, ἢ ὁ τὰ δημόσια [51]

δημοειδέως (Hippocr. III p. 262 K)· δημώδους, ὀχλικῆς [53]

† δημοθέσεση· ἐθεώρει

† δημοθεές· θεωρόν ⟨v. δηληθήσονται⟩

δημοθοινία· ἡ τοῦ δήμου εὐωχία. [δημόθυσα] ἡ τοῦ δήμου θυσία

δημοκαλλίας (Com. fr. CXIV)· τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας

δημόκοινον (Isocr. trapez. § 15)· δημόσιον

δημόκοινος· δημόσιος βασανιστής. πόρνος. καὶ δήμιος (Soph. fr. 707)

δημόκομπος· δήμῳ ἐπαιρόμενος

δημοκόπος· δημηγόρος [61]

δημοκώκυτος· ἀθρήνητος· ἀνελεήμων.... [63—65]

Δημοκλεῖδαι (Com. fr. inc. CXV)· οἱ ξένοι καὶ μοιχοί, ἀπὸ Δημοκλείδου τοιούτου ὄντος, καθάπερ καὶ τοὺς ἡταιρηκότας Τιμάρχους ἔλεγον, τοὺς δὲ πονηροὺς Εὐρυβάτους, Κιλλίκωνας δὲ τοὺς προδότας

Δημονήσιος χαλκός (Aristot. ausc. mir. c. LIX)· δύο εἰσὶ πρὸς τῷ Βυζαντίῳ νῆσοι, κοινῇ μὲν Δημόνησοι λεγόμεναι, ἰδίᾳ δὲ διαλλάττουσαι· ἡ μὲν γὰρ Χαλκῖτις, ἡ δὲ Πιτυοῦσα

COD. 28 ἐνδημαγωγεῖν (29 ἁρπαγὰς Cyr. 39. 171) 34 σῖτον γλαῦκον 38 πελέκη γενόμενος 39 δημίεσι — διομῆσι πύλαις δημιάσιν 44 ἱερεῖ (47 δημολάλητον EM. 265, 19 55 EM. 265, 36) 56 |λικας 59 |ομπος 59. 60 δημοκόμπος· δημηγόρος. δήμῳ ἐπαιρόμενος 62 |τυτος 64 εὔκρατος — δαημόστις — ἐόντα ὀξυτόνως 66 ἡτερ.κότας — κιλλίκωνας ⟨v. Comic. V p. CCCXXXVIII⟩ 67 δημοννήσιος — νήσω — δημόννησοι ⟨Πιτυώδης St. Byz. 685, 10⟩

HES. 25 δηματρεύεσθαι (Ο 512)· ἐπιπολὺ ὑπερτίθεσθαι [mire Ῥωμαϊκὴ ἡ λέξις addit Cyr. 121; cf. θαστρεύεσθαι] 32 δημηγορῆσαι (Nehem. VIII 6)· ἐν δήμῳ λαλῆσαι 33 δημηγορῶν (Prov. XXX 31)· εἰς τὸν δῆμον λέγων 39 δήμιον· κοινόν. δημόσιον. πολιτικόν 51 δηλογέροντες (Γ 149)· οἱ τοῦ δήμου ἐντιμότεροι 53 Δημήτερος ἀκτή (Ν 322)· τὸ ἀκρότατον καὶ ἐξοχώτατον τῶν Δημητριακῶν καρπῶν, τῶν πυρῶν. μεταφορικῶς ἐπὶ τῶν ἀκρωτηρίων καὶ τῶν ἐξεχόντων τόπων τῶν παραθαλασσίων· ἢ ἄλευρον 61 δημον· λειπός. ἢ ὄχλον 63 δημονέστερον· ἀσχημονέστερον, διὰ τὸ ἐν ὄψει πάντων γινόμενον ⟨δημωδέστερον⟩ 64 δημός (Θ 240 al.)· ὁ ἐπίπλους τοῦ ἱερείου, ἀπὸ τοῦ εὐκέατος εἶναι, δαϊμός τις (ὤν), ὠνομασμένος. καὶ τὸ λίπος (ὀξυτόνως)· προπερισπωμένως δὲ τὸ πολιτικὸν σύστημα (υ 266) .... δῆμον ἐόντα (Μ 213)· δημότην, καὶ ἕνα τῶν πολλῶν 65 δῆμον Ἐρεχθεῖον (Β 547)· τὰς Ἀθήνας, περιφραστικῶς

δημοσιεύειν· τὸ δημοσίᾳ ὑπηρετεῖν ἐπὶ μισθῷ

δημόσιον (Thuc. V 18, 7)· δεσμωτήριον

Δῆμος καλός (Ar. Vespp. 97)· Πυριλάμπους υἱὸς ἦν οὗτος, Δῆμος ὄνομα καὶ τὴν ὥραν κάλλιστος· ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὰ τῶν παίδων (παιδικῶν?) ὀνόματα

δημοποίητον (Demosth. Neaer. § 88)· ὁ κατὰ ψήφισμα δήμου γεγονὼς πολίτης, ξένος ὢν φύσει

δημόσα†ους· τὸν δῆμον σώζων. ἢ ὁ δημοδίωκτος

†δημοστροφεῖν· ἐν δήμῳ ἀναστρέφειν

δημοτελῆ ἱερά (Demosth. 1374, 1)· καὶ δημοτελῆ μέν, εἰς ἃ θύματα δίδωσιν ἡ πόλις· δημοτικὰ δέ, εἰς ἃ οἱ δῆμοι (Dinarch.)

δημοτεύεσθαι (Antipho)· τὸ μετέχειν δήμου καὶ πολιτείας κατὰ νόμον

δημότης· ὁ ἐκ τοῦ δήμου. δηλοῖ δὲ καὶ ἰδιώτην

δημοτικά· τὰ τοῖς πολλοῖς ἐμπρέποντα [79]

δημοῦσθαι· εὐφραίνεσθαι, εὐθυμεῖσθαι δημοσίᾳ, παίζειν

δημοῦται· παίζει. θωπεύει [81—85]

δημόφαντον· δημόσιον

δημώδης· παιδιώδης

δημῶ(δη Plat. Phaed. 61 A)· δημοσίαν

δημώματα (Ar. Pac. 797)· παίγνια

δημωφελῶν ⟨—λής?⟩· δῆμον ὠφελῶν [91]

δηναιόν· πολυχρόνιον, ἀρχαῖον [93—96]

δήνεα (Δ 361)· βουλεύματα

δῆνος· βούλευμα [99]

δήξεται (Eur. Med. 1370)· δάκνει

δήξομαι (Eur. Bacch. 351?)· λυπήσομαι, ἀνιάσομαι

†δῆος· βωβός. Κρῆτες

δῃουμένη· ἀπολλυμένη. ἠρημωμένη. καταστρεφομένη. πορθουμένη

δῃουμένων· ἀναιρουμένων

δῃοῦν (Thuc. I 81)· πορθεῖν [6]

δῃοῦντες (Xen. Cyr. III 3, 12 (23)· διακόπτοντες. καίοντες ἐλαττοῦντες. πολεμοῦντες

δῃούντων· ἀνελόντων

δήποθεν· λέξις συναπτική, ὡς καὶ τὸ δήπου [10—12]

δηράδες (Cretes)· βουνοί

δή ῥα δή· ὡς δή (v. 256) [15]

δῆρις· μάχη [ad 16] [17]

δηρίττειν (Cretic.)· ἐρίζειν [ad 18] [19. 20]

δῆσαι· ῥῖψαι

δῆσαι πρὸς σανίδι, Ἀττικῶς (Ar. Thesm. 940)· βασανίσαι ἐν τῷ δεσμωτηρίῳ

δησάν(των μ 50)· δησάτωσαν

δήσαντι· ὁμοίως

δῆτα· οὕτως. ἢ τοίνυν

†δητός· ὕστερος

δηταί (Cretes)· αἱ ἐπτισμέναι κριθαί [28. 29]

Δηώ (Callim. Cer. 133)· Δημήτηρ [31]

δῄωσαν· κατέκοψαν. ἔπρησαν. ἠφάνισαν [33]

δῄωσε· κατέκοψεν. ἐφόνευσε [35. 36]

διάβαθρα (Alexid. III p. 423)· εἶδος ὑποδήματος γυναικείου

διαβάλλει· καταγινώσκει (Xen. An. I 1, 3). ὑβρίζει. ἐξαπατᾷ. παραλογίζεται (cf. Eur. fr. 438) [39]

COD. 68—73 = 72. 68. 71. 69. 73. 70, ut dubites de 72. 71. 73   68 δημοκοπεύειν   70 κάλλιστον   75 δίδω (δημοῦται Bekk. 240, 28)   88 δήμω   903 δησυμένη   16 δήρη   21 ῥίψαι   22 προσάνοδον   23 δήσαν   27 δηαὶ EM. 264, 12   38 $\overset{\varepsilon}{\pi}$ πετᾶ $\overset{\varepsilon}{\pi}$ λογίζεται

HES. 74 δημολάλητος· δημοβόητος (v. δημοαλῆ)   79 δήμου ἄνδρα (Β 198)· δημότην ἄνδρα   82 δήμου τ' ἄνδρα (Β 198)· δημότην ἄνθρωπον   83 δήμου· πόλεως   84 δήμω ἀρίστω (Λ 328)· δημότας ἀρίστους. δυϊκῶς   85 δημοφάλιον (Aesch. Prom. 555)· ἑτεροῖον, ἀλλοῖον   91 δήν (Hom.)· ἐπὶ πολὺν χρόνον   93 †δηναιά· ἀχρεῖα καὶ ἄφορα δένδρα (v. 765. α 1306. 1524. 1847; l. ἈΪΝΑ. ΤΑ ἀχρ.)   94 δηνάριον (Matth. XX 2)· τὸ νόμισμα, ἢ εἶδος ἀργυρίου   95 δηνάσας· διεξελθών. διεξῆλθες (διήνυσας et διανύσας)   96 δὴν δ' ἄνεω (Ι 30)· ἐπὶ πολὺ ἀχανής, ἥσυχος, ἄφωνος   99 δήναστο (Λ 512)· ἐπὶ πολὺ ἐκαθέζετο   906 δὴ οὖν· χρὴ δή, ἢ χρὴ οὖν (δεῖ οὖν vel δή· οὖν: χρῆ. δέῃ (ad Ar. Ran. 265))   10 δήπουθεν· δηλονότι (Moer. p. 130)   11 δηπορτάτος· ἐξομισιμαῖος   12 δή ῥα· ἄρα δή. ἤδη   15 δηριγένια (Λ 477)· ἡμέρα   Ad 16: δηρή· τράχηλος (δειρή)   17 δηρήσασθαι (Ρ 734)· μαχήσασθαι   Ad 18: δηρύτης   19 δηρύν (Hom.)· ἐπὶ πολὺν καιρόν   20 δηρότη· κακουργία (δηϊοτής)   28 δὴ τότε (Λ 476)· καὶ τότε. τότε δή   29 δηφένσωρ· ἔκδικος   31 δηωθέντων (Greg. Naz. Carm. I 493)· ἀναιρεθέντων (Δ 417). καυθέντων   33 δηώσαντες· πραιδεύσαντες (Π 158). πορθήσαντες. καταπολεμήσαντες   35 δῃώσωσι (Δ 416)· κατακόψωσι. φονεύσωσι. καταπολεμήσωσιν   36 διὰ τὸν δῖα: ἢ εὐγενής (v. διαγενής): καὶ πρόθεσις: ἐνδοξοτάτη, καὶ ἀγαθή   39 διάβασις· πορεία. γέφυρα. πέραμα (ex onomastico; cf. γέφυρα)

διαβάτης (Aristoph. fr. CLV)· ὀργανόν τι τεκτονικόν. διαβατικός [41. 42]
διαβεβαιοῦται οὐδέν· ἀντὶ τοῦ ἀσύμφωνον [44]
διὰ βίου (Aesch. Cho. 602?)· διὰ παντός, ἀεί
διαβιῶσαι· ζῆσαι
διαβόητος· ἐπὶ καλῷ φήμην ἔχων, ἢ κακῷ
διαβολή· λοιδορία. ἢ διαβολὴ ὑπόπτευσις. ἢ ὑπόληψις
διαβολίαν· διαβολήν [50. 51]
† διαβουλευείρ· ὁ ἐν τοῖς ἱστοῖς πρόβολος. Λάκωνες
† διαβουνίν· τὸ ἐν τοῖς πότοις τράγημα μεταξὺ ἐσθιόμενον
διαβρίθει· βαρύνει
διαβριθοῦς· ἰσχυρᾶς
διαβρόχους (Attici)· βεβρεγμένους
† διαβύσσει· διακαμύσσει ⟨v. βύει⟩
διαγέγραπται (Ar. Nubb. 774)· διακέκοπται
διάγειν· παρέλκειν ⟨1400⟩. ἐξαπατᾶν [60—63]
† διάγγαρον· δικέφαλον ⟨v. COD.⟩
διαγλαίνειν· διαλυμαίνεσθαι ⟨col. 350, 33 et καταγληνῆσαι⟩
διαγλάψασ' (δ 438)· διαγλύψασα. διασκαλεύσασα
διάγματα· διασκευάσματα
διαγνούς· διακρίνας. δίκαιον αἰσθόμενος. ἐπιγνούς, συνιείς, νοήσας [69—71]
Διαγόρας (Ar. Ran. 320)· Διόδωρος ὁ Ταρσεὺς ἀναγινώσκει περισπῶν δι' ἀγορᾶς, διὰ τὸ τοὺς μύστας βακχάζειν, τουτέστιν ᾄδειν τὸν Ἴακχον δι' ἀγορῶν βαδίζοντας
διαγορεύει· θεσπίζει. διαγγέλλει

διάγραμμα· διάταγμα. ψήφισμα
διαγραμμισμός (Philem. fr. CXV p. 64)· παιδιά τις ἑξήκοντα ψήφων λευκῶν καὶ μελαινῶν ἐν χώραις ἑλκομένων. τὸ δὲ αὐτὸ καὶ γραμμὰς ἐκάλει
διάγραπτος δίκη· ἥτις καὶ ἐξεσμένη ἐλέγετο
διαγραφαί· αἱ συνθῆκαι
διαγράφειν· διαξύειν. [ad 78] ἀκυροῦν
διαγραφή· ἐπὶ ζωγραφικοῦ πίνακος εἴρηται [80]
διαγράφω (Ar. Lys. 676)· ἀποδοκιμάζω
διαγωγάν· [ad 82] διέλευσιν
διαγωγή· ἀναστροφή
δι' ἃ δή (Plato)· δι' ἅπερ [85. 86]
διάδημα· στέμμα βασιλέως, κεφαλῶν κόσμος [post 87]
διαδιδράσκει· διαφεύγει. † διαδιδράσκεται ⟨—τε!⟩
διαδικαιοῦν· φανερῶς ἀποφαίνεσθαι
διαδικασία· ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν καὶ πρὸς τὰ ἄλλα. ἢ ἀμφισβήτησις (Plat. Legg. XI 937 C). κρίσις
† διάδικος· τὸ εἰς δίκην καλεῖν. Ἀττικοί
διαδοιδυκίζειν· ὀρχεῖσθαι ἀσχημόνως [Post 92]
διαδοκίς· οἱ μὲν [ad 93] ἡ τὰς ἄλλας δοκοὺς ἀναδεχομένη· οἱ δὲ δοκῶν πλάγιον ὑπόθεμα
† διαδέλλειν· διασπᾶν
διαδοῦναι δίκας· τὸ τοῖς ἀδικουμένοις ἀποδοθῆναι τὸ δίκαιον ὑπὸ τῶν ἀδικησάντων
διάδρα· διάφυγε [97. 98]
διαδρᾶναι· διαφυγεῖν [1000]

COD. 41 διαβατ(ὸς) ἦν· Thuc. II 5, 2? 43 διαβεβᾶται (Excidisse videtur gl. Hippocr. 808 E διαβεβῶτα) ⟨50 Cf. 1486⟩ 53 ἐσθίομεν ⟨64 δίκρανον? an δι' ἔγκαρον· δι' ἐν ἐγκέφαλον?⟩ 66 |ας ter 75 λαβὼν — ἐγχώραις 88 ἀποφέρεσθαι 92 διεδοιδακίζειν ⟨cf. διεδοιδύκισε 94 διαπατῶν? δέλλω, ζέλλω Arcades pro βάλλω⟩

HES. 41 διαβάτειν· 42 διαβαίνει (Ios. III 11)· διαπερᾷ 44 διαβήματα (LXX)· πορείας. περιπατήματα 50 διάβουλοι· διπλοῖ. δίβουλοι ⟨δίβολοι· διπλαῖ⟩ 51 διαβουλία (LXX)· ἀμφιβολία: ἐνθυμήματα, διαλογισμοί (LXX; cf. τὰ διαβούλια) 60 διαγγέλλει (Exod. IX 17 Rom. IX 17)· ἀπαγγέλλει. διαδραμεῖ 61 διαγγέλλω· ἀπαγγέλλω, διέξειμι τῷ λόγῳ 62 διάγει (Sirac. XXXVIII 27)· διατρίβει 63 διαγενής· εὐγενής ⟨v. διά⟩ 69 διαγνῶναι (Π 424)· ἐπιγνῶναι 70 διάγνωθι (Deuter. II 7)· νόησον 71 διάγνωσις (Isae. p. 36, 27 St. ap. Moer.) Ad 78] ἀπαλείφειν ⟨Plato ap. Moer.⟩ 80 διαγραφάριος· ὁ ἀπαιτῶν δημόσια Ad 82: διαίρεσιν. διανομήν ⟨ad ΔΙΑΚΟΠΑΝ⟩ 85 διαδέχεται (Sapient. VII 30) 86 διάδηλοι (Genes. XLI 20)· φανεροί Post 87: ἤγουν στέφανος ἢ βασιλέως σύμβολον (I Macc. XIII 32) Post 92: διάδοχος ⟨διάδοχος· διάδοχος? an Sirac. XLVI 1?⟩ Ad 93: ὑπόθεμα τῶν δοκῶν, πλάγιον ὑπόθεμα 97 διὰ δουρός (Γ 61)· διὰ τοῦ ξύλου, καὶ δέρματος ⟨v. ὑπ' ἀνέρος⟩ 98 διαδράκοι (Ξ 344)· θεάσοιτο 1000 διὰ δρυμά (Δ 118)· δι' ὕλην

διαδύει· διαφθείρεται

διαδῦν· διοφυγεῖν [3—5]

διάζευξις· διαχώρισις

διαήσει· διαπνεῖ (ε 478?) [8. 9]

διαθέει· διαφεύγει. διατρέχει

διαθέντε· διαθέμενοι. δυϊκῶς

διάθεσις· σχῆμα. ἀγάπη. ἀπόδοσις (Isocr. 11, 14). προαίρεσις

διαθέσει (Phrynich. com. fr. VIII p. 601)· διακοσμήσει [14]

διαθήκη· συνωμοσία· ἑνικῶς, οὐ πληθυντικῶς τὰς διαθήκας ἔλεγον· δηλοῖ δὲ καὶ διάστασιν, διαίρεσιν, διάκρισιν, διάθεσιν [16]

διαθήσει· τιμωρήσεται, κολάσεται: πράσει ⟨ad διαθέσει (Isocr. Busir. § 14)⟩

διαθήσομαι· † συντελέσω

διαθλέοιμεν· διαγωνιζοίμεθα, κάμοιμεν, ἐργαζοίμεθα· ἆθλος δὲ τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον [20]

διαθρήσαντα· διϊδόντα

διαθρυλλῶ· διαομιλῶ. διαψιθυρίζω [23]

διαίνεται· βρέχεται. δακρύει

διαίνεσθαι ⟨—ε Aesch. Pers. 258⟩

διαιολᾶν· ἐξαπατᾶν. ποικίλλειν

διαιρεῖν (Eur. fr. 103)· διακρίνειν. ἐξακριβοῦν. διαμερίζειν

διαιρῶσα (Dorice)· διαιροῦσα [29]

δίαιτα· θεσμός. διαγωγὴ τροφῆς [ad 30]

δίαιτα τοὐρανοῦ· τὸ φαγεῖν, τὸ πιεῖν

διαιτ(ε)ομένη (Hippocr. II p. 661)· τρεφομένη

διαιτηταί· Ἀθήνησιν ἕτεροί τινες τῶν δικαστῶν, οἷς ἐπέτρεπον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ διῄτων· .... εἰ δὲ μή, ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ περὶ ἑξήκοντα ἔτη γεγονότες διῄτων [34]

διαιτητής (Menand. fr. V p. 182)· κριτής. βασανιστής

† διαιτητός· ὁ μὴ κατὰ κλῆρον δικαστής [37]

δίαιθρον· διαφανές. καθαρόν. δίυγρον ⟨v. 712 et διερόν⟩

δίαιτρον (Hippocr. II p. 475 K)· δίοπτρον. διαφανές ⟨v. 712⟩ [40]

† διακαλαμάσαρκες. παρὰ Ῥοδίοις ἔριφοι οὕτως εἴρηνται ἐν νόμῳ τινί, οἱ τὴν καλάμην τῶν σπερμάτων ἐπιβεβοσκημένοι

† διάκινον· δυσκίνητον. Κρῆτες ⟨v. 1061⟩

διακαυνιάσαι (Ar. Pac. 1081)· διακληρώσασθαι· καυνὸς γὰρ ὁ κλῆρος [44. 45]

† διακεισομένων· διακειμένων ⟨διακΕCΚομένων?⟩ [47]

διακεκρίσθω· ἀφοριζέσθω

διακέρσαι (Θ 8)· διακόψαι. παραβῆναι

† διακεχειρεῖσθαι· πορθεῖσθαι

διακεχλοιδώς (Comic. II 2 p. 728)· διαρρέων ὑπὸ τρυφῆς ⟨1075⟩

διακίγκλισον (Arist fr. VIII p. 955)· διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς

διακλιμακίσας (Plat. com. II p. 656)· διαπαλαίσας. κλίμακες γὰρ καὶ κλιμακισμοὶ παλαίσματος εἶδος [54]

διακλονῶν· διασείων. δονῶν

διακναιόμενον (Aesch. Prom. 539)· διαπονούμενον. φθειρόμενον

διακνᾶσθαι (Hippocr. II p. 781 K?)· διαφθαρεῖν [58]

διακομισθείς (Plat. Legg. X p. 905 B)· διελθών. βασταχθείς [60]

† διακόνιν· δυσκίνητον. Κρῆτες [62]

διακονῆσαι· κατεργάσασθαι. ἀπολέσαι. βλάψαι

διακόνιον (Pherecr. fr. VI p. 312)· μάζα ἢ

COD. 1001 διαδύνειν ⟨7 διάη· διαπνεῖ. διαήσει· διαπέμψει Cyr. 39 12 πρᾶσις Eudemus⟩ 13 | θέσειν Post 14] 19 διαθέλοιμεν 15 συμωσία 31 τοῦ οὐρανοῦ 32 ξ´ ἔτη 32 legebatur post 35 ⟨38. 39 Philol. II p. 217, 8 43 διακαυχανιάσαι 51 | δῶς· διαρέων 52 ἢ σεισοπύλης 53 καίμακες 59 διακοσμιθείς 61 Cf. 1042 62—65 legebantur post 71

HES. 3 διὰ δώματα (Λ 600)· διὰ τὰ οἰκήματα 4 διαείσεται (Θ 535)· διαγνώσεται 5 διαειπέμεν (δ 215)· διαλεχθῆναι 8 διαείδεται (Ν 277)· ῥαίνεται ⟨φαί—⟩ 9 διέζετο· διεσχίζετο ⟨v. δαΐζει⟩ 14 δῖα θεάων (Hom.)· ἀντὶ τοῦ θειοτάτη 16 † διαθήσεις ⟨μαθήσεις⟩· νοήσεις 20 διάθονται (Herod. I 104 διαθέωνται) 23 διαθρύψεις (Levit. II 6)· συγκόψεις 29 διαίρεσις· τομή, μερισμός Ad 30: ἡ καθημερινὴ τροφή (Iudith. XII 15) 34 διαιτεῖν· διατρέχειν ⟨h. e. διάττειν⟩. διανύειν 37 διαιτός· κριτής ⟨Moer. p. 133?⟩ 40 διαίνεται· βρέχεται, ὑγραίνεται. διαχεῖται, ὑπὸ ὄμβρου βρέχεται 44 διὰ κενῆς (Ps. XXIV 3)· ματαίως 45 διακένῳ (Num. XXI 5)· κούφῳ 47 διακεκριμέναι (ι 220)· διακεχωρισμέναι (non Bacchyl. fr. 44) 54 διακλῶν (Thren. IV 4)· θρύπτων 58 διακοιρανέοντα (Δ 230)· βασιλικῶς ἐπερχόμενον, ἢ ὡς κοίραγγον διαπορευόμενον, διέποντα 60 διακομισθείημεν (Β 126) 62 διακοινώνησον (Ar. Vespp. 1169)· διασείσθητον ⟨—τι⟩ ἐν τῇ πορείᾳ. ἔνιοι πόνησον ⟨δαπάνησον⟩

ζωμός, καὶ ἡ κρηπὶς τοῦ πλακοῦντος. οἱ δὲ πέμματα ἐξαπτόμενα τῆς εἰρεσιώνης (Menecles)

διακονίς· ἐπὶ ὑφῆς ἱματίου † ἀνομάλου, ὅ φαμεν † κονίζειν. καὶ ἄνθρωπος ὁ μὴ πυκνὸς διακονίς

διακονουμένων. ὑπηρετούντων. ἢ ἀποκρίσεις τινὰς ἐκπληρούντων

(διακοπὰν· διαίρεσιν, διανομήν) cf. 982 [68]

διακορεῖς Plat. Legg. VIII p. 810 E)· κεκορεσμένοι

διακορεύει· τὴν κόρην διαφθείρει

† διακύρισται· διαπαρθενεύεται [72]

διακοσμησαμένω· διακοσμησάμενοι, δυϊκῶς

† διακορίζεσθαι· βλέπειν, ἀτενίσαι ..... [75. 76]

διακραδαίνοιντο· κινοῖντο. κραδαίνειν γὰρ τὸ κινεῖν

Διακριεῖς· οὐ μόνον Εὐβοέων τινές, ἀλλὰ καὶ Ἀθηναίων· καὶ τόπος τῆς Ἀττικῆς καὶ ἡ χώρα Διακρία, ἡ ἀπὸ Πάρνηθος ἕως Βραυρῶνος

δι' ἄκριας (ι 400)· κατὰ τὰς ἀκρωρείας [80]

διακριδόν (Ο 108)· ἐν διακρίσει ἄριστον. διακριδόν

διακριθέντες (Herod. VIII 18)· χωρισθέντες. (διαστάντες. χωρὶς ὄντες) [83—85]

διακρινομένω· διακρινόμενοι, δυϊκῶς

διακρινομένων· μαχομένων

διακρίνουσιν· διαχωρίζουσιν. μεσιτεύουσι [89]

διακρύτως· σκληρῶς. ἀποκρύτως

διακρούεσθαι· ἐξωθεῖν. ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι (Demosth. 351, 15)

διακρουόμενοι· διαφεύγοντες

διακρούσασθαι (Demosth. 711, 18)· ἀπορρῖψαι [94]

διάκτορος· ἄγγελος, ἀπὸ τοῦ διάγειν τὰς ἀγγελίας· ἢ οἷον διατόρως καὶ σαφῶς διαλεγόμενος [ad 95] [96]

διακυδόμεναι· διαχεόμεναι

διακυκῶσι· διαταράττουσιν

διακυνοφθαλμίζεται (Com. inc. fr. CXVI)· δυσποβλέπεται. διανεύει. ἢ ἀναιδῶς ἀνθίσταται (v. κυν—)

διακυρίττεσθαι· ἀντιμάχεσθαι· κυρίως δὲ κριῶν

διακωδωνίσαι· δοκιμάσαι

διακωδωνισθέντες (Lysias EM. 267, 30)· διαφημισθέντες. ὡς ἐπιτοπλεῖστον δὲ ἐπὶ τῶν διαπαιζομένων καὶ χλευαζομένων λαμβάνεται

διακωμῳδῶ· διατραγῳδῶ

διακωνῆσαι· διαχλύσαι· ἀπὸ τοῦ κωνῆσαι, ὅπερ ἐστὶν πίσσῃ χρῖσαι

διάλ· τὴν ἔλαφον Χαλδαῖοι (אַיָּל)

διαλαβεῖν (Ar. Eqq. 262)· παλαιστρικόν τι (σχῆμα)

διαλαβών· διαγινώσκων, [1108] διαχειρίσας, δεξάμενος [ad 1107] [1109] διελών

διαλάμπει· ὡραΐζεται [11]

δι' ἅλα πορφυροειδῆ (Eur. Tro. 124)· διὰ τῆς μελα(ί)νης θαλάσσης

διάλας (Cretice)· τὰς δήλας καὶ φανεράς

διάλαυρος· οἰκία μεγάλη πανταχόθεν λαύραις διειλημμένη, ἡ λεγομένη περιάμφοδος (v. διέλθυρις)

διαλεγδόν· διαφερόντως

διαλέγειν· ἀνακαθαίρειν (Xen. Oec. VIII 9). οἱ † δέον (δὲ ?) ἀπιέναι, ἢ ἐκπλεῖν· ἀπὸ δὲ τῶν πεσσῶν ἡ μετραφορά

COD. 74 διακουράζεσθαι EM. 267, 25 78 διακρεῖς, μόνον εὐ. ἕων — ἀθῆναι — εἰς βαλυλῶνος 79 ἀκρίας — |ρίας 81 post ἄριστον] διακριδόν διαστάντος χωρίσαντος Post 95 legebatur διάκτορσι (sic etiam Cyr. 63). Cf. διατάκτορσι 1102 διαπεζ| 4 διακωνίσαι διαχλαῦσαι — κωνῆσαι 7 διαχειρήσας — διελθών 10 ὁραΐζεται (13 v. δάελος, δίαλος) 16 πεσῶν

HES. 68 διακοπή (LXX)· διαίρεσις. διαχωρισμός 72 διακόσμησις (II Macc. II 29) 75 διακεχλιδέναι· θρύπτεσθαι (v. 1051) 76 διακόχλω (Thuc. III 87)· ὁ μεταξὺ χρόνος, καὶ διάστημα χρόνου (v. διωκωχή) 80 διακριβοῦν (II Macc. II 28)· ἀκριβῶς σαφηνίζειν 83 διακριθῆται (Γ 102)· διακριθείηται, διαλυθείηται 84 διακρινθήμεναι (Γ 98)· διακριθῆναι, χωρισθῆναι 85 διακρῖναι (Psalm. L 4)· διαχωρίσαι 89 διάκρισις· διαίρεσις. φθορά. διάλυσις (ex onomastico, vid. διάλυσις) 94 διὰ κτῆσιν δατέοντο (Ε 158)· τὴν οὐσίαν διεμέριζον Ad 95: ἄγγελος ὁ θεὸς γράφεται διακτόρως εἰρηνικῶς 96 διάκτωρ· διάκονος, ἢ ἄγγελος ἀπαγγέλλων (ficticium) 1108 διαλλαγή· φιλία Ad 1107 δεξάμενος] ἀγαθὸς ἔνδοξος (ad δεξιός) 1109 διαλλακτής· φιλιώτης, μεσίτης 11 δι' ἅλα· διὰ τῆς θαλάσσης

διαλέγεσθαι (Aristoph. fr. XXIV p. 1078)· ἐπὶ τοῦ συνουσιάζειν [18]

διαλεκτικός· πολύλαλος

διάλεκτος· ὁμιλία. λαλιά [21. 22]

διαλελημμένων (Ar. Eccl. 1090?)· διαδεδεμένων. ἢ διακρατουμένων ἑκατέρωθεν ⟨—ένον Ier?⟩

διαλελοίπασιν· ἐπαύσαντο [25—28]

διαλέξαι (Ar. Vespp. 350 Ddf.)· διορύξαι

διαλήξεις (Antipho Harp. 57, 22)· διαιρέσεις κλήρου [31]

διαλλαγαί· μεταβολαὶ καὶ διαλλάξεις [Λάκωνες] ἐπὶ τῆς ἔχθρας (Menand. fr. CCIII p. 279)

διαλλαγῶ· διαχωρισθῶ [34]

†διαλλύος· ὁ ἀντὶ ἄλλου διακονῶν [36]

διάλογος· λόγος. ποίημα

δίαλον (Cretes)· φανερόν ⟨1013⟩

διαλύγισμα· διαπλοκή [40]

διαλυγίσαντες· κάμψαντες. περικλάσαντες

†διαλαός· οἱ μὲν ἐπιμύλιδιον δαίμονα· ἄλλοι δὲ παιδιᾶς εἶδος, ἐν ᾗ διαλέγουσι τὰς ψήφους. βούλεται δὲ λέγειν ὁ Κρατῖνος (fr. LVII p. 196) τὸν ἔσχατον τῶν πόρνων

(διαμαξαμένη· διασμηξαμένη. διαψησαμένη)

διαμαρτάνει· ἀποτυγχάνει

διαμαρτυρία· δίκη τις ὁμοία τῇ παραγραφῇ· ταύτῃ δὲ ἐναντία ἡ εὐθυδικία

διαμαρτών· ἀποτυχών, ἢ διασφαλείς

†διάμαστος θεός· καὶ διάματος

διαμάττειν (Ar. Avv. 463)· διαφυρᾶν τὰ ἄλφιτα πρὸς τὸ ποιῆσαι μάζας

διαμάχη (Plat. Legg. I p. 633 D)· μάχη [51]

διαμέλλει (Thucyd.)· ἀναβολῇ χρῆται

διαμεμετρημένην ἡμέραν (Dem. 378, 7. 1252, 12)· ἐπὶ τῶν μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον εἰς διαστήματα (Aristot. Harp.)

διάμεσοι· οὕτως ἐλέγοντο παρὰ Ἀθηναίοις οἱ μέσοι τῶν πλουσίων καὶ πενήτων

διαμέσταν· ἀλαζόνα. ἐξαλλάκτην ⟨1158⟩

διάμετρος· ὄργανον γεωμετρικόν. καὶ τὸ διδόμενον εἰς ἀπουσίας λόγον τοῖς τοὺς σιτικοὺς καρποὺς μετροῦσιν (διάμετρον λέγεται. Dinarchus) [57]

διαμεύστας· ἀλαζόνας [59. 60]

†διαμέττης· ψεύστης, ἀπατεών

διαμηρίσαι· τοῦτο καὶ ἐπὶ παίδων ἀρρένων καὶ θηλείων ἔλεγον (Ar. Avv. 1254)

διάμοιος· ὁ ἀντ' ἄλλου διακονῶν ⟨1135⟩

διαμοιρᾶσαι (Eur. Hec. 1077 Hippol. 1376)· διαμερίσαι

διαμοιρωμένα· διαιροῦσα, καὶ διαμερίζουσα ......

διαμπάξ (Xen. Hell. VII 4, 23)· διόλου, καθόλου. διηνεκῶς. ἐξεναντίας (Eur. Bacch. 993)

διαμπείρας· διακεντήσας ⟨1206⟩

διαμπερές (Hom.)· διόλου. †παραγύρως. σαφῶς (Aesch. Cho. 380). τελείως. διαμπάξ (Xen. An. IV 1, 13)

διαμπερέως (Nic. Ther. 495)· σαφῶς. τελείως

διαμύθησις· παραλογισμός

διαμυλλαίνειν (cf. Ar. Vespp. 1355)· χλευάζειν. ἐπὶ τοῦ τὰ χείλη διαστρέφειν. διαμωκᾶσθαι [72. 73]

διαμφίδιον μέλος· ἀλλοῖον, διαπαντὸς κεχωρισμένον· ἀμφὶς γὰρ χωρίς. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (555)

διαμώμενοι (Thuc. IV 26, 2)· διϊστάντες

διαμῶσαι (Eur. Bacch. 709)· †ζητοῦσαι

Δῖαν· μεγάλην ἢ ἔνδοξον· τὸν οὐρανὸν Πέρσαι (Herod. I 131)· καὶ τὴν νῦν καλουμένην Νάξον (λ 325)

διᾶναι· σμῆξαι. πλῦναι [79]

COD. 30 διαλέξεις, διαλέξεις δ. κ. 32 καὶ διαλέξεις 35 διακονῶν (Λάκωνες?) Cf. διάμοιος Post 38 legebatur διαλουφῶν (v. διολουφῶν) 41 διαλυτίσαντες 43 παιδείας 44 legebatur post 50: διαμαψαμένη 51 διμέλαι Cyr. 174 244 διμελαὶ Cyr. Dr. οἰκέται λεπροί. 55 διαμέστας 62 |ήσαι — θηλυιῶν 63 διάμοιμος? Theognost. II 65, 2 ἀμοιμὸς κατὰ ἐναλλαγὴν στοιχείων ἀπὸ τοῦ ἀμοιβός (64 schol. l. c.) Post 71] διαμπετρονήσει κτλ.; cf. διαπερονήσει 75 δεσπότῃ 78 σμῖξαι

HES. 18 διαληκ[μ]ᾶσθαι· διασύρειν. διαμωκᾶσθαι ⟨ex Aelio Dionysio Eustath. 1208, 42⟩ 21 διαλαχόντα· κληρωσάμενα 22 διάλλασσε· διάλυε (monost. 122) 25 διάληψιν· ἐνθύμησιν. ἢ γνῶσιν ⟨φρόνησιν διαγόρευσιν Cyr. 171⟩ 26 διάλημμα· διάστημα 27 διαλήμματος· τοῦ διαχωρισμοῦ 28 διαληλιμμένη· ἠλ(ε)ιμμένη, κεχρισμένη ⟨v. α 2968⟩ 31 διάλεξις· ὁμιλία 34 δι' ἀλλήλων (Ζ 226?) 36 διαλογισμοί· (Rom. I 21)· ἀδολεσχίαι 40 διάλυσις· διάκρισις. φθορά. διαχωρισμός ⟨ex onomastico; cf. 1090⟩ 51 †διαμελεοί· οἰκέται ⟨αἶ αἶ μέλεοι⟩ 57 διαμετρητῷ (Γ 344)· διαμεμετρημένῳ 59 διαμῆσαι· διαθερίσαι. διακόψαι, διατεμεῖν 60 διάμησε· διέκοψε (Γ 359), διέτεμε. διεθέρισε (Η 253) 72 διαμπραθέειν (Η 32)· διαπορθῆσαι ⟨v. διαπρ—⟩ 73 διαμφάδιον (Aesch. Prom. 555)· ἀλλοῖον ⟨v. δημοφάλιον. διαφράγιον⟩ 79 διανκυΐ (διακυνοφθαλμίζεται)

διανάπαυσις· οἷον ὁ μεταξὺ χρόνος [81]

† διανδής· πολυχρόνιος. Κρῆτες

διανεῖμαι (Xen. An. VII 5, 1. 13)· διαδοῦναι

(διανείμαντε· διανείμαντες. δυϊκῶς)

διανεκές (Attici)· διαπαντός

διανέμεται· μερίζεται [87]

διανεύει· (σ)τρέφει. κυκλεῖ

(διανεῦσαι (Plat. Parmen. p. 24, 7 Bk.)· διαπλεῦσαι)

διανηξάμενοι· διακολυμβήσαντες. διαπεράσαντες

διανίζει· κρουνίζει. διακλύζει. πλύνει ⟨v. λανίζει⟩

διανίζεται· νίπτεται. καθαίρεται

διάνιον· κονία [94. 95]

διανοοῦμαι· λογίζομαι [97]

διανυκτερεύοντες (cf. Xen. Hell. V 4, 3)· ἀγρυπνοῦντες πᾶσαν τὴν νύκτα

διανυσθῆναι· τελειωθῆναι ⟨v. ἄνυται⟩

διαξιφίσασθαι (cf. Ar. Eqq. 781)· ξίφεσι διαγωνίσασθαι (κυρίως. ἤδη δὲ) καὶ (τὸ) μαχέσασθαι

διὰ πάντων κριτής· Βόηθός φησι ἐν τοῖς περὶ Πλάτωνος (Civ. IX 580 A), ὅτι ὁ νομοθέτης ἐκέλευσε τοῖς κρίνουσιν γράφειν τὰ κεφάλαια ἕκαστον ⟨—α⟩

διαπαρθενεύει· φθείρει κόρας [1203]

διαπατταλευθήσει (Ar. Eqq. 371)· τρόπῳ βύρσης διαταθήσῃ παττάλοις

διαπεπαρμένον· τοῖς ἥλοις πεπηγμένον

διαπείραντες· διακεντήσαντες ⟨1167⟩

διαπέπλιχε· διαβέβηκε· πλίγματα γὰρ βήματα

(διαπεπλίχθαι· διηλλάχθαι τὰ σκέλη, καὶ ἀντιβαίνειν)

διαπεπλιχώς (Hippocr. II p. 838 K)· διεστώς. κεχηνώς ⟨—ός⟩

διαπερᾶναι (Plat. Legg. I p. 625 B)· τελειῶσαι

διαπερδικίσαι (Com. inc. fr. CXVII)· διαλινῆσαι. καὶ διαφυγεῖν ⟨1412⟩

διὰ περιόδων· διὰ κύκλων

διαπεττεύων· μεταφέρων· μετῆκται δὲ ἀπὸ τῶν πεττῶν

διαπεττεύεσθαι ⟨—εῦσαι?⟩· πεττοῖς ἀποπαῖξαι. ἤδη δὲ καὶ τὸ συντελέσαι

(διαπερονήσει· διατρήσει † διατμήσαι, διακόψει, διακεντήσει, προσηλώσει)

† διαπνεύστας· παραλογιστικῶς

διαπέφλοιδεν (Hippocr.?)· (χαίρει) διακέχυται

διαπεφρούρηται βίος· Αἰσχύλος Φρυξὶν (fr. 258). οἷον ἡ διὰ τοῦ βίου φρουρὰ συντετέλεσται· ἢ διελήλυθεν ὁ χρόνος [19]

διαπεφυκέναι· διεσκέφθαι. καὶ καθεωρακέναι

διαπηνικίσαι (Cratin. fr. XXIV p. 184)· διακεφαλαιῶσαι. Πηνίκη γὰρ γένος περικεφαλαίας. οἱ δὲ τὸ ἀπατῆσαι, ἀπὸ τῆς πηνίκης [22]

διαπιδύει· διαπηδᾷ

διαπίνειν (Herod.)· προπίνειν. Ἐπιγένης

διαπληκτίζονται· διαμάχονται, φιλονεικοῦσι

† διαπλήσσειν· διέλκειν. διαπλέκειν

διαπλήσσοντες (Aristarch. Ψ 120)· διασχίζοντες

διαποδίζων· βασανίζων, ἐπιμελῶς ἐξετάζων ⟨col. 141, 18⟩ [29]

διαπονδαρίζει (Com. inc. CXVIII)· διαναβάλλεται, διαναρρίπτεται ⟨διαπυδαρίζει?⟩ [31]

διαπόρησις· ἀμφιβολία, ἀπορία

διαπορθμεῦσαι (Herod. V 52)· διαπεράσαι

διαπορθμεύων· διακομίζων [35]

διαπορπακίξαι (Lacones)· διὰ τοῦ πόρπακος [ad 36] διενεῖραι τὴν χεῖρα [37. 38]

διαπρέπειν· διαφέρειν. προκόπτειν

COD. 84 διανεύματε legebatur post 88 89 διαναῦσαι legebatur post [81]; cf. schol. p. 329 1200 |ήσασθαι 5 |λευθείσῃ — |τεθείσῃ 8 legebatur post 11 11 |ῆσαι, διαλαλῆσαι et q. s. legebantur post 14 15 Cf. post 1171 18 φθορὰ 20 |φρυκέναι 21 διαπηνηκίσαι — πηνήκης 23 διαπηδύει 24 Περιγένης ⟨Com. V p. 93⟩ 36 |ίσσαι — τὸ διενείρηται χεῖρα

HES. 81 διάνδιχα (Α 189)· διαφερόντως. χωρίς. ἢ διχῶς 87 διανεμηθῇ (Act. Ap. IV 17)· διαδοθῇ 94 διανοητικόν 95 διανοηθείς (Genes. VIII 21)· μεταμεληθείς. ἐνθυμηθείς 97 διαντεθῆναι· τελειωθῆναι ⟨h. e. ΔΙΑΝΥCΘΗΝΑΙ⟩ 1203 διαπεριτριβαί (I Timoth. VI 5)· ἐνδελεχησμοί, ἐνδελέχειαι 19 διαπέφρυδεν· ἐγείρει ⟨χαίρει⟩. διακέχυται ⟨1217⟩ 22 διαπεφωνήκαμεν (Ezech. XXXVII 11)· ἀπολλώμεθα 29 διαποδισμός· εἶδος ὀρχήσεως, ἢ ἁλμοῦ ⟨v. διποδία⟩ 31 διαπονηθείς (Act. Ap. XVI 18)· λυπηθείς Ad 33: παιδεῦσαι 35 διαπρήσσειν· κατεναντίον διελθεῖν. καὶ τάσσειν. ἢ σπεύδειν Ad 36: τῆς λαβῆς τὸ 37 διαπραθέειν (Η 32 al.)· ἐκπορθεῖν 38 δι' ἀποῤῥήσεων· δι' ἀμφιβολιῶν ⟨διαπορήσεων· ἀμφιβολιῶν?⟩

διαπρεπής· ἔκδηλος, ἐπίσημος [41—43]
† διαπρίεται· † διαγοράζει. μαίνεται [45—50]
διαπρύσιον (Hom.)· διαπορεύσιμον. μακρόν (P 247). διὰ πάντων δ(ι)εξιόν. ἐξάκουστον (Θ 227). μέγα (M 439). διάτονον [52]
διαπταῖσαι· σφαλῆναι [54]
διαπτερῶσαι (Hippocr. II p. 57 K)· ἀνευρῦναι. διαστῆσαι. διαπτύσαι ⟨—ξαι⟩
διάπτυε· ......
διαπτύει· ......
(διαπυδαρίζει cf. διαπονδ—)
διαπύλιον (Aristot. Oec. II 14)· τέλος τι παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο
διαπυνθάνεται· ἐρωτᾷ
διαπυρισθέντα· διοργισθέντα
διαπύρσιος (Soph. OC. 1479?)· μέγας. διαβόητος
διάπυρος (Alexid. fr. V 7 p. 440)· θερμός ⟨cf. 1425⟩
διαρθρούμενον· ἀκριβούμενον
διαρθροῦν· διαδηλοῦν. (ὁμολογεῖν)
διαριθμουμένην· διαλογιζομένην
διαρικνοῦσθαι (Cratin. II p. 142)· ἐπὶ σχήματος ὀρχηστικοῦ τίθεται. ὁτὲ δὲ ἐπὶ τοῦ συνεστράφθαι ⟨v. διερικροῦντο. ῥικνοῦσθαι⟩
διάρινον· τὸ σίναπυ ⟨v. ἀνάρρινον⟩
διαριπίζεσθαι· διακοντίζεσθαι
διαρκές· ἀρκέσαι μὴ δυνάμενον ⟨ad μὴ δ—⟩
διαρκέσαι (Hippocr.)· βοηθῆσαι
διαρκῆ (Thuc. I 15 an Demosth. p. 37?)· ὠφελοῦσαν. ἢ ἐξαρκοῦσαν
διαρκέστατοι· πλήρεις. ἀνενδεεῖς
διαρκῶς· ἀσφαλῶς. δι' ὅλου. ἀρκούντως. δαψιλῶς. ἱκανῶς
δίαρμα· κούφισμα
δι' Ἅρματος· τόπος ἐν Πάρνηθι τῆς Ἀττικῆς
διάρογχας (Hippocr. III p. 178 K)· τὰ μεταξὺ τῶν ἐπιδέσεων διαστήματα
διαροθεῦντα· διασοβοῦντα [79]
διαρραισθέντος· διαφθαρέντος [81—83]
διαρρεῖν· διαχεῖσθαι
διαρρέοντες· χαῦνοι, καὶ διαλελυμένοι
διαρρέουσα· τρυφηλή [87]
διαρρήδην (Demosth. 118, 1 al.)· φανερῶς, σαφῶς
διαρρήκτας· ἐπιβούλους [90—92]
διαρτᾷ· κρεμνᾷ· διαιρεῖ
διαρταμῆσαι (Aesch. Prom. 1023)· διελεῖν, κατακόψαι
(διαρτᾶν· [ ] ἀπατᾶν Menand. fr. CCCLVI)
διάρτασον (Aesch. fr. 311)· διάστειλον ⟨διάγγειλον?⟩
διαρτίζων· ἀρτία καὶ συνετὰ φθεγγόμενος [98]
διαρτυομένων· καταρτιζομένων
διαρύτειν· ἀντλεῖν
(διαρύτους· διηντλημένους)
δίαρχοι· οἱ Ἑλληνοδίκαι [1303]
διαρωχμίας (Hippocr. III p. 178 K?)· διαστάσεις ⟨1277⟩
διασαικώνισον (Ar. Vespp. 1169))· ἀντὶ τοῦ διασαλακώνευσον, οἷον τρυφερῶς βάδισον· τοὺς γὰρ θρυπτομένους σαλάκωνας ἔλεγον, ἴσως ἀπὸ τοῦ σαυλοῦσθαι, ὅπερ ἐστὶν θρύπτεσθαι· σαλάκωνα δέ

COD. ⟨44 διαγγρίζεται· μαίνεται? διαπυρίζεται? cf. 1260⟩ 53 διασπάσαι 55 διαπτύσαι legebatur ante διαπτερῶσαι 59 διαπυλῶν (cf. Aesch. Ag 407) Post 63 διαρθροῦν· ὁμολογεῖν 67 ὅταν 86 σύνάπυ ⟨νᾶπυ?⟩ 70 διαρκεῖς ⟨v. 71⟩ 71 διαρκῆσαι, β. διαρκές (corr. marg.) ⟨77 Cf. 1304; διαροχάς Erotian.⟩ 84 διασχίσθαι 93 διαργεῖ 95 legebatur post 1301 99 διαρτωμένων 1300 διαρυπτεῖν, ἀνατλεῖν 1301 legebatur post 1292: διαρρύτους 5 διασακώνισον ⟨cf. 1062, σαικωνίσαι, σαλακωνίσαι⟩

HES. 41 διαπρέψας (Esth. XIII 3)· λαμπρὸς φανείς 42 διαπρήσσουσα (A 483)· διατέμνουσα, διασχίζουσα 43 διαπρίζει ⟨—ήσσει⟩· διαπερᾷ 45 διαπρήσσει· τάσσει. ἀπατᾷ, ψεύδεται. διαπερᾷ 46 διαπρήσσοντες (Ψ 120)· διατέμνοντες. καὶ διαπερόντες 47 διαπροόλου, διαμπάξ, διηνεκῶς (vide tamen Eubul. III p. 255 fr. I 24) 48 διαπροδάμναξ, δι' ἐναντίας 49 διαπροδέ (Δ 138)· διαμπάξ, διόλου 50 διαπροδεήσατο, καὶ τῆς (Δ 138) διῆλθε δὲ καὶ δι' αὐτῆς 52 διαπτάντος (Sapient. V 11)· πετασθέντος 54 διαπτεῖν· ὁρμᾶν ⟨ΔΙΑΙΤΤΕΙΝ⟩ 79 διαρραίσει (I 78)· διαφθερεῖ 81 διαρραῖσαι (B 473)· διαφθεῖραι 82 διαρραῖσθαι (Ω 355?)· διεφθάρθαι ⟨διερρ—⟩ 83 διαρρέειν ⟨—αίειν⟩· διαπορθεῖν 87 διαρρέουσαι (μ 290)· διαφθείρουσαι 90 διαρρήξας (Marc. XIV 63)· συντρίψας. σχίσας 91 διαρρήξωμεν (Ps. II 29)· ἀπορρίψωμεν 92 διαρρυῆναι (II Macc. X 20)· διαφθαρῆναι Ad 95: διασείειν ⟨h. e. διαττᾶν· διασήθειν⟩. καὶ 98 διαρτίσαι (Iob. XXXIII 6?)· ἀναπλάσαι 1303 διὰ ῥωπήϊα πυκνά (Ψ 122)· διὰ χωρίων, ἐν οἷς ῥῶπες φύονται πολλοί. οἱ δὲ ῥῶπες εἶδος φυτοῦ ἱμαντῶδες διὰ τῶν συμφύτων τόπων

φασι τὸν οὐ μὴ δεῖ δαπανῶντα ⟨1062⟩. (διασείσθητι ἐν τῇ πορείᾳ. ἔνιοι δαπάνησον)

† διασάτηρ· διαπαίζειν. Λάκωνες

διασαλακώνισον· διάνυσον (Ar. Vespp. 1169). ἀπὸ τοῦ ἐγκεῖσθαι τὸν σαλάκωνα

διασαρκώνισμα· ἀσελγές τι σχῆμα

διασαρωνίσαι· τὸ προσποιητῶς γελάσαι. τὸ δ' αὐτὸ καὶ σαρ[κ]ωνίσαι ⟨v. διεσαρ—⟩

διασαυλούμενον (Arist. fr. inc. LXVII)· διακινούμενον, καὶ ἐναβρυνόμενον, ἢ διασειόμενον [11]

διάσημος· λαμπρότατος

Διάσια (Thuc. I 126)· ἑορτὴ Ἀθήνησι. καὶ σκυθρωποὺς ἀπὸ τῆς ἑορτῆς ἣν ἐπετέλουν μετά τινος στυγνότητος θύοντες

διασιλλοῦν· διασύρειν

διασιλλοῦσι· διαμωκῶνται [16]

διασκανδικίσῃς (Ar. Eqq. 19 Teleclid. fr. VII p. 374)· διευριπιδίσῃς· ἡ γὰρ τοῦ Εὐριπίδου μήτηρ σκάνδικας ἐπίπρασκε· σκάνδικες δέ εἰσιν εἶδος ἀγρίου λαχάνου

διασκαριφῆσαι· ἐπὶ ὀρνέων τῶν τοῖς ὄνυξι σκαλευόντων τὴν γῆν κυρίως λέγεται [19. 20]

διασκέπτεται· διαλογίζεται

διασκευάζει· κατασκευάζει

διάσκεψις· λογισμός

διασκηνίψαι (v. Nic. Ther. 193)· διαφορῆσαι. διασπεῖραι· διεσκηνίφθη δὲ διεσωματίσθη ⟨v. 1692⟩

διασκίδναται (Xenoph. ap. Poll. VI 194)· διασκορπίζεται

διασμιλεύων· διαξέων ⟨1671⟩

διασπαθᾶν· ἀσελγῶς ἀναλίσκειν

διασπαράττει (Aesch. Pers. 195)· διασπᾷ. διαιρεῖ, διαμερίζει

διασπάσαι (Xen. Cyr. VI 1, 23)· διασπαράξαι. διασχίσαι

διασπᾶσθαι· ὁμοίως [31]

διασταδόν· κεχωρισμένον

διασταθμῆσαι· διελεῖν [34—36]

διαστείχειν· διαπορεύεσθαι, διελθεῖν

διαστείχοντι (Dorice)· διαπορεύονται [39]

διαστείχων (Eur. Androm. 1090 ?)· διαπορευόμενος

διαστείχουσα· διαπορευομένη, διερχομένη

διαστείχουσι· διαπορεύονται

διαστέλλεται· διαμερίζεται. ἀφορίζεται [post 43] [44. 45]

διάστημα· πόρρω, μακράν

διαστῆσαι· δίχα καὶ χωρὶς στῆσαι. καὶ χωρίσαι

διαστησαμένω· διαχωρίσαντες. δυϊκῶς [49]

διαστοιχισάμενος· διαταξάμενος. ἀκολούθως διαθέμενος [51. 52]

διαστρεφομένη· διαπορευομένη

διάστροφον· στραβόν

διαστύρακοι· οἱ τὴν μὲν κόρην καὶ τὴν ἅλω μέλαιναν ἔχοντες, τὴν δὲ ἶριν ἔνωχρον

διασυκάξαι· διασκεδάσαι. Ταραντῖνοι

διασύρει (Dem. 1482, 27)· διαπαίζει, χλευάζει

διασύροντες (Dem. 332, 14)· χλευάζοντες, παίζοντες

διασφάγες (Herod. II 158)· αἱ διεστῶσαι πέτραι τῶν ὀρῶν

διασφυδῶσαι· αὐξῆσαι

(διασφύξιες)· ἀπὸ τοῦ σφύζειν παρὰ Ἱπποκράτει (vol. II p. 24 K)

διὰ σφῶν· δι' † ἑαυτοῦ

διάσχεσις· οὕτω λέγεταί τις ἐν μουσικῇ (....,) ὡς τὸ διάστημα· Σέλευκος δὲ κροῦσμα μουσικόν (EM. 310, 5) [64]

διασχών· διαστήσας

COD. 7 ἐγκεκλεῖσθαι 13 διασία — εἶναι pro ἣν 15 |σιμοῦσι, |κωμωδῶνται 17 |ίκησις |ησις 26. 27 = 27. 26 26 διασμύχων, διαζαίων 32 διαστατόν Cyr. 171 37—42] post 1349, scriptae διαστι— 38 διαστίχονται 40 |στιχῶν 41 |στιχοῦσα 42 στιχοῦσι 47 χωρισθῆσαι 54 legebatur post 1359 διασφόρον 55 ἄλωσιν — ἔνοχρον 56 διασυκάζαι

HES. 11 διασαφεῖ (II Macc. X 26)· διασαφηνίζει. ἀγγέλλει 16 διὰ Σκαιῶν (Γ 263)· διὰ τῶν ἀριστερῶν, ἢ τῶν πυλῶν τῶν οὕτω καλουμένων 19 διασκεδάσει (Iesai. XLIV 25)· διασκορπίσει 20 διασκελίδα· σπυρίδα, ἣν ἔνιοι διασκάλων (fiscella) 31 διασπιδέος πεδίοιο (Λ 754)· ἤτοι τοῦ μεγάλου πεδίου· ἢ τοῦ περιφεροῦς παραπλησίως ἀσπίδι· ἢ ἐν ᾧ πολλαὶ μαχομένων ἀσπίδες κατέπεσον. λέγειν γάρ· ,κτείνοντες .... διατενῆντε ἄκαλα λέγοντες (755)ʻ 34 διασταλήσονται (Genes. XXV 23)· ἀφορισθήσονται 35 διαστάντες (Μ 86) 36 διέστησαν (Ω 718)· ἐχωρίσθησαν 39 διαστήκόντι· διαστήσαντι ⟨διασχόντι· δ. Cyr. 171⟩ Post 43: διαστελλόμενον 44 διαστελλόμενον 45 διαστέλλουσα (LXX bis)· ὁμοίως 49 διαστήτην (Α 6)· διέστησαν. δυϊκῶς 51 διαστολή (gl. Rom. III 22)· διάκρισις, διαίρεσις 52 διαστρεπτοῖο (Ε 113)· ἀλυσιδότου. ἐκ συνεστραμμένων τινῶν γεγονότος ὑφαντοῦ 64 διασχῶ

(διατάκτορσι· ἡγεμόσι. βασιλεῦσιν)

διαταξαμένω· διαθέμενοι. δυϊκῶς

διατάξεων· διοικήσεων

διατάττει· διακοσμεῖ. καθηγεῖται

διὰ τάχους (Thuc. II 18, 4)· συντόμως

διατέθεικεν· εἰς συνήθειαν ἤγαγε

διατεθώκηται· διακεχώρισται

διατείνειν· διαρρήδην λέγειν, (ἀπο)λογεῖσθαι

διατείνεσθαι· διαβεβαιοῦσθαι. φιλονεικεῖσθαι

διατείνεται· ἀπολογεῖται. ὁμοίως

διατείνομαι· ὁμοίως

διατεκμαίρει· διαστοχάζει [post 77]

διατεκμαίρονται· σημειοῦνται [79]

διὰ τέλους (—εος Hippocr.)· διαπαντός

διατέμνεται· διασπᾶται. διακόπτεται

διατερσαίνοντες· διαξηραίνοντες [83—89]

διατειχίζειν· ὅταν πολέμου ὄντος συγκλεισθῶσι, τὰς ῥύμας διατειχίζουσιν, ἵνα μὴ εὐκατάληπτοι ὦσιν

διατινθάλεος (Ar. Vesp. 329)· διάπυρος ⟨1384⟩

διατλάς· ὑπομείνας. καρτερήσας. κακοπαθήσας

διατμήξας· λεπτύνας. ἀφανίσας. διελών. διασπάσας. διακόψας (Φ 3)

διάτοιχοι· οἱ ἀπὸ τοίχου ἐπὶ τοῖχον [95]

διάτορον· ἐξάκουστον

διάτορον· ὀξύτονον. καὶ στύραξ

διάτραμις (Stratt. com. p. 791)· διερρωγὼς τὴν τράμιν, τὸν ἀπὸ ὀσχέου ἐπὶ τὰ ἰσχία τόπον· τράμις γὰρ τὰ ἰσχία· καὶ φωνὴ δέ τις οὕτω καλεῖται ὑπὸ τῶν φωνασκῶν

διατρανοῦν· σαφηνίζειν [1400]

διατρήσεις (Hippocr. II p. 115)

διατριβῆναι (Herod. VII 120)· ἀπολέσθαι

διατρίβοιτε· παίζοιτε. παρ' Ὁμήρῳ δὲ διατρίβειν (Δ 42) ἐμποδίζειν. παρέλκειν. παρακρούεσθαι [4]

διατροχάδες· εἶδος ποιήματος, ὡς ἱστορεῖ Πραξιφάνης [ad 5]

διατρύγιος (ω 341)· τρυγήσιμος, ἔγκαρπος, διὰ τὸ τὴν τρύγην ἔχειν. τινὲς δὲ ὁ διὰ μέσων ἀμπέλων κατεσπαρμένος τόπος. οἱ δὲ τόκον ἀγροῦ ἤδη πεπείρων σταφυλῶν· οἱ δὲ ἀνθοῦντα [7]

διαττᾶν (Plat. Soph. p. 226 B)· διασήθειν

διάττειν· ὁρμᾶν ⟨1031⟩

διάττειν †σθένος· ὁρμᾶν διὰ δυνάμεως

†διατελείαν· τὸ ἄπρακτον παρὰ Σώφρονι· τινὲς δὲ γράφουσι διαγγελίαν [12]

δίαττος· ἡ ἀλευρότησις. τὸ κόσκινον

διάττοιεν· βαδίζοιεν. ˌδιάττοιεν τρίβον'· ὁρμήσουσιν ὁδόν

διάττουσιν· διατρέχουσι ⟨v. 1031⟩

διατυποῦται· διατίθεται. διαπλάττεται

†διατύψαι· διασθενοῦ διελθεῖν ⟨διατρυπῆσαι?⟩

διαυγάσαι· φωτίσαι

διαυγεῖσθαι· διορᾶσθαι

διαυγές· λαμπρόν, φωτεινόν

διαυλία· ὅταν δύο ᾄδωσι [ad 21]

διαύλιον· ὁπόταν ἐν τοῖς μέλεσι μεταξὺ παραβάλλῃ μέλος τι ὁ ποιητὴς παρασιωπήσαντος τοῦ χοροῦ· παρὰ δὲ τοῖς μουσικοῖς τὰ τοιαῦτα μεσαύλια (schol. Ar. Ran. 1282)

δίαυλος· μέτρον πηχῶν (σ')

διαύλους· στενοὺς (Eur. Tro. 435) τόπους. ὁδούς [25]

†διαύχην· εὐεξίαν

διαφαίνει· (Xen. Απ. III 10, 5)· διαδείκνυσι [28]

διαφανές· λαμπρόν. διάπυρον (Hippocr. III p. 151)

†διαφαίκωσι·

διαφάσσειν· διαφαίνειν

........· διασιλλαίνειν ⟨ad διαφαυλίζειν⟩

COD. 66 Cf. 1095 et schol. Aesch. Pers. 456 Ddf. 70 διατάχως 96 διάτονον 96 διατράμις — φωνακῶν 1406 δι' αὐτοῦ — ἔχων 8 διασίθειν 14 διαττυίειν, βαδίζειν. διαττοῖαν, τρίβον et post 15 iterum διαττοιᾶν τρίβον· ὁρ. ὁδ. 22 μέλσεσι 30—32 διαφαίκωσι, διαφαίνειν. διαφάσσειν, διασιλλαίνειν

HES. Post 77: σημειοῦται 79 διατέκμηρμαι· στοχάζομαι 83 διατεύονται (Σ 264)· μερίζονται 84 διατεύοντο (Ψ 121)· ἐμερίζοντο 85 διατινθάλεος· διὰ πυρός ⟨1393⟩ 86 διατιδόκησις· ὑπόνοια ⟨l. διὰ τί· (ἵνα τί). δόκησις· ὑ.⟩ 87 διατιμᾶται ⟨τειμᾶται ordo⟩ 88 διατειχίζεται 89 διατείχισμα (Thuc. III 34, 2. VII 60, 2) 95 διατόνι(α) (Exod. XXXV 11)· κρίκρους 1400 διατρίβει ⟨cf. 959⟩· διάγει, παρέλκει ἐπὶ πολὺν χρόνον ⟨EM. 267, 55⟩ 4 διατροφάς (I Tim. VI 8)· βρώματα Ad 1405: ὄνομα κύριον 7 διατρυφέν (Γ 363)· κλασθέν, ἀντριφθέν 12 διαττερίσαι· διαδρᾶναι ⟨1211 et ἐκπερδικίσαι⟩ Ad 21: γράφεται αἴδωσι 25 δίαυρος δαλός· διάπυρος (Eur. Cycl. 631) 28 διαφανής· ἐπιφανής. ἐπίσημος ⟨ex onomastico; cf. ἐπίσημος⟩

διαφερόντως (Thuc. I 38, 4)· ἐξαιρέτως [37. 38]
διάφλοισβοι· τεταραγμένοι [40. 41]
† διαφοιγοιμόρ· ὑπὸ Λακώνων, ἐπὶ πάσῃ ἡμέρᾳ τῆς τῶν φιλιτίων σιτήσεως [43—47]
διαφλύξιες (Hippocr.)· ὑπερφλοισμοὶ ὑγροί
διαφ(ο)υλλαί (Lacedaem.)· διακοπαί. διαλογαί
διαφρυκτῶσαι· κληρῶσαι. κυαμεῦσαι· ὁ γὰρ κύαμος παρὰ Ἀθηναίοις φρυκτός· ἐλάμβανον δὲ οὐ δικάζοντες τοῦτον ἀντὶ ψήφου
διαφυγ[ετ]εῖν· παρ' ἐλπίδα σωθῆναι
† διάφυσον· φασκίς
† διαφύσαι· διελεῖν
διαφύσσειν· διαντλεῖν. καὶ χωρίζειν
διαφωνεῖν· μὴ συμφωνεῖν
διαχαράττω· ξέω
διαχέαι· διαμελίσαι [58]
διαφέρει· ἀνήκει. πρύχει, ὑπερέχει, βέλτιόν ἐστι
διαφέρονται (Thuc. V 41, 2)· μάχονται
διαφέρεσθαι· βαστάζειν. ἀμφιβάλλειν
διαχειρίζει (Dem. 818, 8?)· διοικεῖ [60]
διὰ χειρὸς ἔχειν· τὸ φυλάττειν
διαχειροτονία· ἡ τῆς χειροτονίας διάκρισις ἐν πλήθει γινομένης
διαχεῖται· διαχέεται. χαίρει
? διαχειρίζεται· φονεύει
διαχεῦαι· διακόψαι
διαχοῦ (Herod. VIII 97)· διαχώννυε
? δ' ἰαχρόν· χλιαρόν (v. ἰαχρόν)
διὰ χρόνου (Ar. Pac. 710)· διὰ παντός
διαχρῆσθαι· καταχρῆσθαι
διαχρώμενοι· ἀναιροῦντες [71]
διάχυσις· ἔκστασις ὕδατος. χαρά. σύγχυσις
διαχύτλαζε· διακίνει. πλάτυνε. ἢ διάχει. ἢ διακάθαιρε. ἢ διάκρινε. οἱ δὲ πολλοὶ διύγραινε
διαχωρήσαντε· διαχωρήσαντες. δυϊκῶς
διαψαθάλλειν· διαστέλλεσθαι πρὸς ἔρευναν
διαψαίρειν (cf. Eur. fr. 919)· διακαθαίρειν
διαψαίρουσι (Ar. Avv. 1717)· διαπνέουσι. καὶ ψαίρειν λέγομεν τὸ ἱστίον, ὅταν ἐλαφρῶς διαπνέηται
διαψαλάττεσθαι· τὸ εἰς ἔρευναν διαστέλλεσθαι
διαψηφίζεσθαι (Demosth. 1301, 28)· τὸ ψηφοφορεῖν ἐν δικαστηρίοις
διαψήφισις· ἡ ἐξέτασις τῶν πολιτῶν ἡ κατὰ δήμους γινομένη
διαψοφεῖν· τὸ παραψοφεῖν [82]
† διάβαλον· μέλι καὶ μελίκρατον
δίβαν· ὄφιν. Κρῆτες (v. δίφατον)
δίβολον· φᾶρος διπλοῦν (v. 950)
διβόλους χλαίνας· οἱ μὲν διμίτους, οἱ δὲ διπλᾶς
δίγαμμα· στοιχεῖόν τι [88. 89]
δίγονος· περιστερά
δίγονος μάσθλης (Soph. fr. 125)· ὁ διπλοῦς. ἢ δυσὶ χρώμασι κεχριμένος [92]
διδασκαλία· παραίνεσις, νουθεσία
διδάσκαλος· πᾶς ὁ ἐνεργῶν τι περὶ τὴν δραματοποιίαν καὶ τῶν κυκλίων χορῶν παρασκευήν
† διδασκέτωσαν· διδαξάτωσαν
διδασκῆσαι (Hesiod. Opp. 64)· διδάξαι
διδέασιν (Xen. Anab. V 8, 24)· δεσμεύουσι
δίδει (Aeoles)· δεσμεύει [99]
δίδημι (Aeoles)· δεσμεύω
δίδην (Aeoles)· δῆσαι [2. 3]
διδίσσηται (Hippocr. II p. 646)· φοβῆται [5]

COD. 48 διαφρυξίαι 49 Cf. διέφυλλε φουλλόμενοι et φυλλεῖν 50 διαφρυκτος, κλῆρος, κύαμος 63 διαδέχεται 66 διαχώνευε 72 σύγχησις 73 διαχύτλαξε 75 προσερεύνα 78 διαψαλλ| 80 |φοσις 86 διμήτους 91 κεχρημένος 94 |ποιὸν 97 διδείασιν 98 διδεῖ 1501 διδεῖναι 4 διδίσσεται, φοβῆ

HES. 37 διαφθέρσει (N 625)· διαφθερεῖ 38 διαφορᾶς· ἔχθρας. βδελυρίας 40 διαφόρημα (Ierem. XXXVII 16)· παίγνιον 41 διάφορον· ἀμφίλεκτον. καὶ ἀνάλωμα διάφορον (Thucyd. ap. Suid.) 43 διαφορώτερον (Hebr. I 4)· κρεῖττον. ὑψηλότερον 44 διαφοροῦντές σε (Ierem. XXXVII 16)· παίζοντές σε 45 διαφράγιον (Aesch. Prom. 555)· ἀλλοῖον, καὶ διάφορον (διαμφάδιον) 46 διάψαλμα (LXX)· μουσικοῦ μέλους ἢ ῥυθμοῦ τροπῆς γινομένης, ἢ διανοίας καὶ δυνάμεως λόγου ἐναλλαγῆς 47 διαφρονέων (—φορέων)· διανοούμενος. [1448] καὶ ὁ ἐν διαφορᾷ τινι γεγονώς 58 διαχεθῇ (recens; Levit. XIII 28)· διαχεσθῇ (—υθῇ) 60 διαχέομαι· ἥδομαι. χαίρω 71 διαχύσει (Levit. XIII. XIV)· ἁπλώσει 82 διαβάλανα· κάρυνα Ποντικά (Διὸς βάλανοι) 88 δίγηρες· στρουθοί (δρῖγες) 89 δίγλωσσον (Sirac. XXVIII 13)· διχόθυμον 92 δίδραγμον (Exod. XXX 13)· τὸ τέταρτον τῆς οὐγκίας 99 διδεῖε· ἔδεισαν (δίδη (Δ 105)· ἔδησεν) 1502 διδίσκετο (σ 121)· ἠσπάζετο 3 διδόντων (μ 54)· δεσμευόντων 5 διδήμονες (Γ 56)· δημοί. ἄθλιοι

διδυμάονε (Ε 548 Ζ 26)· οἱ δίδυμοι. Ἀδελφοὶ δὲ οἱ κεχωρισμένοι τοῖς σώμασιν ἐν μιᾷ γαστρὶ γεγενημένοι· οἱ δὲ συμφυεῖς δίδυμοι λέγονται [7]

διδυμίου ῥίζα (Hippocr. Galeni)· βοτάνης εἶδος. καὶ ὁ ὄρχις δὲ οὕτως λέγεται

δίδυμοι (Ψ 641)· παρὰ τῷ ποιητῇ διδύμους ἀκούουσι τοὺς διφυεῖς, διδυμάονας δὲ οὓς ἡμεῖς διδύμους. δηλοῖ δὲ καὶ δύο [10. 11]

διεβάλλοντο· ἐξηπάτησαν

διέβη· παρῆλθεν. ἐπέρασε

διεβλήθη (Hippocr. ap. Erotian.)· ἐξηπατήθη [15. 16]

διεγείρω· ἐξυπνίζω

διεγγύησις (Dem. 724, 6)· ἡ γινομένη ἐγγύησις τῶν εἰς τὸ δεσμωτήριον ἀπαγομένων

διέγνωκα· κέκρικα [20. 21]

διέγραφεν· διέξυε

διέδην· διὰ τέλους

διεδοίδυκισε (Com. fr. inc. CXIX)· διέτριψε, τὴν χεῖρα στρογγύλην ......

† διέδορκα· πόπανον παρὰ Συρακουσίοις τετρημένον, δι' οὗ ἔστι διαβλέψαι

διέδρα· ἀπέδρα. καθέδρα (?)

δίεδρος· διαφανής (Hippocr. p. 546, 43). ἡ λαμπρὰ καθέδρα (Callixenus Ath. V 197 B)

διέζευκται· κεχώρισται

διέθεε (Xen. Hell. VI 5, 26) διέτρεχε

διέθηκεν· ἐτιμωρήσατο [31]

διειδής· λαμπρόν, διαυγές. εὔδηλον [33—37]

διειληφότες· ἀντὶ τοῦ νομίσαντες

δίειμι· διέρχομαι [40—43]

διεῖπε (Β 207?)· περιεῖπε. μετήρχετο [45]

διείργων· κωλύων [47]

διείρηται Plat. Legg. 809 E)· διήγγελται

διείς· ἀνείς. καὶ διηθήσας (Hippocr. Sotades Ath. 293 D). διαπέμψας. ἀφεὶς [post 49]

δίεισι· προέρχεται. διέρχεται

† διειλοκομπάσας (Hermipp. fr. inc. X)· σχιᾷ καὶ κόμπῳ ἐξαπατήσας [52. 53]

διειρύσαι· διαστῆσαι. διελκύσαι (Herod. VII 24)

διεισόμεθα· διαπορευσόμεθα. διαγνωσόμεθα

διεκάναξε (Eur. Cycl. 157)· διέσεισε. διεσάλευσε ⟨v. ἐκάμαξε⟩ [57]

διεκδικεῖ· διεξέρχεται. τιμωρεῖται

διέκδυσιν· ἀπόδρασιν ⟨1535⟩ [60]

δι' ἐκ θυρῶν· τοὺς νεκροὺς οὕτω φασὶν ἑδράζεσθαι, ἔξω τοὺς πόδας ἔχοντας πρὸς τὰς αὐλίους θύρας ⟨cf. ἀνὰ πρόθυρον⟩

διεκναίσθη· ἀπώλετο

διεκνημώσατο· διέφθειρε

διεκομισάτην· δυϊκῶς. διεκόμισαν

διεκόρησε· διέφθειρε κόρην, διεπαρθένευσε

διεκπαίσαντες· διεκτρήσαντες [67]

διεκρίθησαν· ἀπελύθησαν. ἐπαύσαντο [69]

διεκρινάμην· διέστησα, διεχώρισα. ἐδοκίμασα

διεκρινά(την)· διέκριναν. δυϊκῶς

διεκρουσάμεθα· ἐξεβάλομεν

διεκτελέστερον· ἀκριβέστερον ⟨1560⟩

διελάφυξας· διεφόρησας, ἀνήλωσας. λαφυγμὸς γὰρ ἡ διαφόρησις ⟨διαρρόφησις?⟩ ἡ διακένωσις

διελέγχοντος· αἰσχύνοντος. μεμφομένου [76—80]

COD. 6 |νες, οἱ 24 διεδοίκισε, διέστρεφε 25 τετριμμένον — διβλέψαι ⟨27 Cf. δίαιτρος et διερός⟩ Post 35] διειχνείσθω· κτλ.; cf. 1792 43. 44 διέπει διεῖπε περιέρχεται. π. μ. 54 |ρῦσαι 56 διεκάνεξε 58 διεκδικᾷ 62 διεκλήσθη ⟨διεσκλήθη?⟩ 63 διασκνημήσατο 64 |ησάτην |ησα 66 διεκπέσαντες, διατρω| 71. 70 = 70. 71 71 διέκρινα 74 legebatur post 1589 80 διῆλαν

HES. 7 διδάσκων· φεύγων 10. 11 δίδυξ· τὸ τριβήδιν τοῦ ὀλβίου ⟨gr. barb.⟩ 11 δίε (Ε 566)· ἐφοβεῖτο. ἐδεδοίκει 15 διέβην· διὰ τέλους. δι' ἑαυτοῦ ⟨ad διέδην et δι' ἔθεν⟩ 16 διεβοήθη (Genes. XLV 16)· ἀνεφανήθη ⟨l. ἐνεφανίσθη⟩ 20 διέγνων 21 διεγχρινισάμενοι· διακρίνοντες ⟨διευκρ—⟩ 31 διεθρύβη (Habac. III 6)· ἐκλάσθη. διετρίβη 33 διείεται· διυλίζεται ⟨v. διίεται et διηθεῖται⟩ 34 διειέντα· διαπέμποντα ⟨v. διϊέντα⟩ 35 διεκδύσαι· ἀποδράσαι ⟨v. διέκδυσιν⟩ 36 διειχνούμενος (Hebr. IV 12)· διερχόμενος. διαδυόμενος ⟨cf. διηκ— διικ—⟩ 37 διεῖλεν (Genes. XXXII 7)· ἐμέρισε 40 διείρεο (Λ 550)· ἐρώτα 41 διειπετέος (Ρ 263)· χειμάρρου πληροῦντος διὰ τοῦ Διὸς ὄμβρον 42 δίειπε (Κ 425) 43 διέπει· περιέρχεται (cf. 1650) 45 διείραιε (ω 478)· διερωτᾶν 47 διείρεο (Λ 550)· ἐρώτα Post 49: ἀπλώσας (Deuteron. XXXII 11) 52 δίειξις· διάστασις 53 διειπεῖν (non Soph. OT. 394)· διηγήσασθαι. διαλεχθῆναι ⟨v. διαειπέμεν⟩ 57 διεκβάδην (Ierem. XII 12)· δίοδον 60 διεκθέστερον· ἀκριβέστερον ⟨διεκτελέστερον⟩ 67 διέκριναν (Ρ 531) 69 διεκρίθη (Rom. IV 20)· ἐμερίσθη. ἐδίσταζεν. εὐλαβήθη 76 διελέγχωμεν (Iesai. I 18)· εἰς ἔλεγξιν ἀλλήλων ἔλθωμεν ⟨διελεγχθῶμεν⟩ 77 διελεῖ (Daniel. XI 39)· μερίζει. ἐπικρίνει 78 διέλειπεν (LXX)· ἐπαύσατο 79 διελέξατο (Λ 407 al.)· διελέγετο 80 διελέσθαι σκῦλα (Psalm. LXVII 13)· διαμερίζεσθαι πραῖδαν

διελέτην· διεῖλον. δυϊκῶς ⟨v. ἑλέτην⟩
διελευσόμεθα· παρερχόμεθα [83. 84]
† διέλθατε ⟨—σατε?⟩· κυκλεύσατε [86. 87]
† διέλθυρις· διάμφοδος
διελκυστίνδα· παιδιά τις οὕτω καλεῖται ὑπὸ τῶν παίδων ἐν τῇ παλαίστρᾳ (Poll. IX 112)
διελινήσατο (Com. IV p. 634)· ἐξέφυγε [91]
διελομένου· ἐπικρίνοντος. διαχωρισαμένου [93]
διελών· διαμερίσας. διανείμας
διεμοιρήσαντο· διεμερίσαντο
διεμύλλαινε (Ar. Vespp. 1315)· τὰ χείλη διεκίνει καὶ διέστρεφε μυσαττόμενος
διέμπληντο· ἐνε(πε)φόρηντο
δίενος· διέτης
† διεναντίας· ἔχθρας
? διένειμε· διεμέρισε
? διενειμάτην· διενείμαντο. δυϊκῶς
δι' ἔνδειαν φρενῶν· διὰ μωρίαν
διενεγκόντα· κρείττονα φανέντα, ἢ διαφέροντα
διενεγυάσαμεν· ἐνεχυρισάμεθα ⟨διηγγυήσαμεν⟩
διενήνοχε· διαφέρει. παραλλάττει
διενηνοχότων· διαφερόντων
διενηνοχώς· ὑπερέχων
δίενται (Ψ 475)· διώκονται [1609]
διεξαγάγῃ· διεξενέγκῃ
διεξάγω· ὁδηγῶ [12. 13]
διέξεισι· διεξέρχεται
διεξιφίσω (Ar. Eqq. 781)· διεμαχέσω
διεξιών· λέγων, διηγούμενος [17]
διεξοδικῶς· πλατέως

διεπάλυνεν (Eur. Phoen. 1159)· διη..χασε. διεραπίσθη
† διεπαχήσατο· διεπράξατο [21]
διέπει· διοικεῖ. ἐπιστατεῖ, διατάσσει
διέπερσας (Antimach. fr. XXIV)· ἐπόρθησας ⟨—ατε?⟩
διεπεραίνετο· ἠνύετο [25]
διεπέφραδεν (Σ 9 al.)· ἐνετείλατο. διεσήμηνε
διεπέφρακτο· διέφθαρτο (sc. τὴν ἀκοήν)
διεπληκτίζετο· διεμάχετο, ἐφιλονείκει
† διέποντα· πληροῖ
διεπόρθμευε· διὰ σκαφιδίου ἔπλεε
διέπουσιν (A 166)· ἐνεργοῦσι. κατορθοῦσι. διαπονοῦσι [32—34]
διέπρησ(σ)ε· διεπέρασε
διερά· ὑγρά. ἢ σεσηπότα [37]
διεργάθοι· διαλύσειεν
διερείξας· διασχίσας
διερέσσοντας· διασείοντας (Eur. Tro. 1258) [ad 40] διαπερῶντας
διερέττοντα· διαπαντὸς κωπηλατοῦντα [42. 43]
διερευνᾷ (Attici)· ἀναζητεῖ
διερόν· ὑγρόν. χλωρόν (Aesch. Eum. 263). ζωόν. ἔναιμον· ὑγρὸς γὰρ ὁ ζῶν, ὁ δὲ νεκρὸς ἀλίβας
διερός (ζ 201)· ζῶν: λαμπρός. περιφανής ⟨v. δίεδρος⟩
διερούς· διύγρους
διέρπει (Nic. Ther. 297)· διέρχεται ⟨1513⟩
διερ(ρ)ικνοῦντο (cf. Cratin. fr. IV p. 142)· ἐκάμπτοντο· ἡ γὰρ ῥικνότης καμπυλότης ἐστίν, διὸ καὶ τὸ γῆρας ῥικνὸν λέγεται. οἱ δὲ· ἐκίνουν τὰς ὀσφῦς ἀσχημόνως ὀρχούμενοι

COD. ⟨88 ἔρθυρις EM.⟩ 89 |στί (v supra ί), δαπαιδία Post 89] 1574 90 legebatur post 1605 scripta διεΝνήσατο 94 διαμοιρήσαντος 97 δίεννος ⟨δίενα· διετῆ!⟩ 4. 5. 6 = 6 (διενενηχώς). 4. 5 Post 5] 1590 15 |φήσω 19 διέπλυνεν ⟨διεχλεύασε, διερράπισεν Meinck.⟩ 26 ἐνελήλατο 27] post 22 διεπέμφρακτο scripta ⟨διεμπέφρακτο?⟩ 28 |νίκει 39 διερείσας Post 42] 48—51 46 λαμπρὸς ζῶν 49 ὀφρῦς 49—51 Cf. post 42

HES. 83 διελειήσαν· τὴν δείλην διεξαγαγών. δειπνήσας 84 διέλιτην ⟨v. διηλίτης, διλίτης⟩· δόλιον, κακοῦργον: καὶ πανταχοῦ διερχόμενον ⟨διηλύτης⟩ 86 διέλθῃ (LXX)· διαπεράσῃ 87 διέλθωμεν (Luc. VIII 22)· διαπεράσωμεν 91 διελόησας (ρ 599)· τὴν δειλὴν διαίταν 93 δίελος· δείλη ὀψία 1609 δι' ἐντεύξεως (I Tim. VI 5)· διὰ παρακλήσεως 12 διεξειμέναι (Z 393)· διεξελθεῖν. διαφθεῖραι ⟨v. ἐξιμέναι⟩ 13 διεξερέεσθαι (K 432)· (δι)ερωτᾶσθαι 17 διεξόδοις (Psalm. I 3)· ὅθεν ἐκπορεύονται 21 δίεπε· διεῖπε. διέτασσε (B 207). διεξῆλθεν ⟨δίεσχε⟩. εἶπε (K 425). Cf. 1542 25 διέπεσεν (Deuter. II 14)· ἀπέθανε 32 διέπρησσον (B 785 al.)· διεπορεύοντο. διήνυον (Γ 14). διεπέρων 33 διεπράθομεν (A 367)· ἐπορθήσαμεν 34 διεπρίοντο (Act. Ap. VII 54)· ἐθυμοῦντο. ἔτριζον τοὺς ὀδόντας 37 διεργάσει (Eur. Hipp. 613)· φόνευσον (Eur. Hec. 369) Ad 40: διασχίζοντας ⟨h. e. διαρρήσσοντας⟩ 42 διερειδόμενα (Eur. Hec. 66)· στηριζόμενα ⟨—ένη⟩ [τοὺς ὀδόντας 43 διερμηνεύων· σαφηνίζων

διερρίπισε· διεσκέδασεν· ὡς ἐκ τῆς ῥιπῆς, ἥτις τὸν ἄνεμον δηλοῖ [51]

διερυμβονήσατε· διεφυρήσατε

διέρχεσθον· διέρχεσθε. δυϊκῶς

διέρχεται· ἀναγινώσκει [55. 56]

διερῷ ποδί (ι 43)· ὑγρῷ ἔτι ἀπὸ τῆς βάσεως ποδί. οἱ δὲ ζῶντως, ἐνεργῶς

διεσαρώνισε· διέσυρε. κατεγέλασεν. οἱ δὲ διέχανε ⟨1309⟩ [59—61]

διεσίλληνε· διεχλεύασε

δίεσιν· διαχωρισμόν

δίεσις· παρὰ τοῖς μουσικοῖς καλεῖται μέρος τι τόνου

διεσκεδάννυ· διεσκόρπιζε [66—68]

διεσκευασμένον· διατετυπωμένον

(διεσκλήθη cf. διεκναίσθη)

διεσμιλευμένων· λεπτολογηθέντων

διεσμιλευμένως· ἠκριβωμένως (1326)

διεσοῦτο (Dorice?)· διήρχετο [73—75]

διεσπλεκωμένη (Ar. Plut. 1082)· διεφθαρμένη

διεσποδημένη· διακεκρουσμένη

διεσποδήσατο· διέσεισε, διετίναξε [79]

διεστείλατο· διεσαφήσατο [81]

διεστήκασιν· διεχωρίσθησαν. ἐμάκρυναν πόρρω

διέστηκε· διακεχώρισται [84—86]

διεστοιχίζετο (Aesch. Prom. 230)· διετίθετο ἐν στοίχῳ καὶ τάξει [διῄρει]. ἀπὸ τῶν εἰς τοὺς σηκοὺς εἰσαγόντων τὰ ποίμνια, καὶ διακρινόντων ἐκ τῆς νομῆς ἑκάστῳ τὰ ἴδια

διεστο†μαλίζετο ⟨—βάζετο?⟩· ἐλοιδόρησε, κακῶς εἶπεν

διεσφηκωμένον (Ar. Vespp. 1072)· διαδεδεμένον τῷ κέντρῳ, ἀπὸ τοῦ σφηκώματος, ἢ κατὰ τὸ μέσον ὄντα σφῆκα. τὸ γὰρ κέντρον ἐκεῖ ἔχουσι

διέσχε (Ε 100)· διῆλθε

διέσχε· [ ] διέλιπε (Hippocr. epid. V 1148 H). διεξῆλθε ⟨1621⟩

†διεσχηνισμένοι· διεσκορπισμένοι ⟨1324⟩ [93]

διετάθη· διέτριβε, διῆγεν ⟨cf. ἐτάθη⟩

διε(τα)ξάσθην· διετάξαντο. δυϊκῶς

δι†εταρίστριαι (Plat. Sympos. p. 191 E)· γυναῖκες αἱ τετραμμέναι πρὸς τὰς ἑταίρας ἐπὶ συνουσίᾳ, ὡς οἱ ἄνδρες. οἷον τριβάδες ⟨v. ἑταιρίστριαι⟩

διετεινάτην· διέτειναν. δυϊκῶς

†διετελέσω· διέμεινας

διετεκτήνατο· ἐμηχανήσατο

διετεμόμην· διέκοψα. διεῖλον [1701]

διετήσιος (Thuc. II 38 Ar. fr. inc. CLVII)· δι' ὅλου τοῦ ἔτους [3]

διέτριψεν· κατέσχεν

διευθύνεται· κυβερνᾶται εὐθέως, καλῶς

διευκρινεῖ· σαφηνίζει

(διευκρινέστερον)· λευκότερον ἢ τρανώτερον

(διευκρίνησε)· διετράνωσε

διευκρινησάμενοι (cf. Plat. Parmen. p. 135 B)· διακρίναν...

διευκρινήσας· σαφηνίσας [11]

δι' εὐφρόνης· διὰ τῆς νυκτός

διέφερε· διῆγεν

διεφέροντο· διεμάχοντο

†διέφθειρε· διῆγεν. Εὐριπίδης Αὔγῃ (fr. 282) [16]

διεφορή(θη)σαν· διεσκορπίσθησαν

διεφύγγανον (Thuc. VII 44, 8)· διέφυγον

διεφύλαξας· διετήρησας. ἐσκέπασας

COD. 52] post 1657 58 |ησε 62 διεσήμηνε 63 διέσινος, —ός 65 |άνυ ⟨71 ἐξεσμένως Cyr. 39 171⟩ 72 ΔΙΕCCYΤΟ? 76 διεπλεκώνη 77 διεπ| —ουμένη 78 διεσπουδ| —είναξε ⟨cf. EM. 273, 56⟩ 87 καὶ ποιμνία 91 |λειπε ⟨92 Leg. διεσκηνωμένοι⟩ 94 |τάη 96 ὄναρες 1702 διέτης 5 κυβερνεῖται 15 αὔγει ⟨διέφρει⟩

HES. 51 διέρχεο· ὅρα ⟨δέρκεο⟩ 55 διερχόμενος (Ζ 392)· περιερχόμενος, περιάγων 56 διερρωγότα (I Samuel. IV 12)· διεσχισμένα 59 διεσάφησας (Matth. XVIII 31)· ἑρμήνευσα[illegible] 60 διέσεισε (Iob. IV 14)· διήγειρε. διεσάλευσε 61 δίεσθαι (Μ 276 al.)· διώκειν. [illegible]χειν: πορεύεσθαι. τρέπεσθαι ⟨διῖεσθαι⟩: ζητεῖν, ἐρευνᾶν ⟨δίζεσθαι⟩ 66 διεσκέδασαν (Ps. CXVIII 126)· ἀπέρριψαν 67 διεσκεδασμένως· διατετυπωμένως ⟨διεσκευ—⟩ 68 διεσκευασμένοι (Iosu. IV 12)· ἡτοιμασμένοι. ἔνοπλοι. ξιφήρεις εἰς πόλεμον (gl. mss. Octat.) 73 διεσπάρησαν (e. c. Genes. IX 19)· διεσκορπίσθησαν 74 διεσπάσθησαν (Ierem. IV 20)· διεσχίσθησαν 75 διεσσεύετο (Β 450)· διήρχετο ⟨1672⟩ 79 διεσταλμένα (Ierem. XXII 14)· κατεσκευασμένα 81 διέστη (Exod. XV 8)· διεχωρίσθη 84 διεστήσατο (II Macc. VIII 10)· διεχώρισεν 85 διέσσυτο (Β 450)· διεπορεύετο (non Nic. Ther. 300) 86 διεστῶτα· κεχωρισμένα, πόρρω ὄντα [Ad 91: διέσχισε (ι 71)] 93 δίεται· διώκει 1701 διέτμαγεν (Δ 531 Π 302)· ἐχωρίσθησαν. δυϊκῶς. καὶ τὸ διέτμαγον (η 276 ν 439) 3 διέτρεσαν (Δ 481. 6)· διέφυγον. ηὐλαβήθησαν 11 διευλαβοῦντο (Iob. VI 16)· ἐφοβοῦντο 16 διέφθορε (Moeris)· διέφθαρκεν

διέφυλλε· διέτιλλε. διέτεμεν
διέχειν· διεστάναι. διεληλυθέναι
διέχευαν (Η 316 γ 456)· διέκοψαν. διεῖλον, διεμέρισαν [23]
διέχει· παρατείνει. διέλκει
διεχής· διμερής
διεχώλευον· διώδευον
διεψάθαλλε· διέφθειρε
διέψευσται· † διεφθάρη. διεσφάλη
διεψήσατο· διεκάθαρε
(διέψισε·) διεψώμισε
† δίζα· αἴξ. Λάκωνες
δίζειν· φροντίζειν. ἐρευνᾶν, ζητεῖν
δίζετο (Callim. Iov. 16?)· ἐπεζήτει [33. 34]
διηγανές· λαμπρόν [36]
διηγκυλίσθαι· τὸ ἐνεῖραι τοὺς δακτύλους τῇ ἀγκύλῃ τοῦ ἀκοντίου· τίθεται δὲ καὶ ἐπὶ τοῦ ἕτοιμον εἶναι [38]
διήθει· διύλιζεν
διηθεῖτο· διυλίζετο
διηθήσεως· † σειρώσεως. ἐκτήξεως
διηθῶ· ἐκθλίβω
διήκει· διέρχεται
διήκειν· φθάνειν [45. 46]
διῆκον· διῆλθον
διήκουσα· διερχομένη, διελθοῦσα [49]
διηλάσω· διηγήσω. διῆλθες [51. 52]
διηλίτης· κακοῦργος. ἀπατεών
διηλκύσασθον· διετρίψασθε. δυϊκῶς
διηλυσίην· δίοδον
διήλυσις· δίοδος. χωρισμός. ἐκδρομή
διημερεύοντες (Xen. Cyr. VII 5, 26)· πᾶσαν ποιοῦντες τὴν ἡμέραν
διήνεγκας· διήνυσας. διέστρεψας
διηνεκές· δι' ὅλου. σκληρόν [60]
διηνεκῶς· ἀεί, διαπαντός, πάντοτε. διόλου. διὰ βίου [62]

διήντετο· διάζετο ἱστόν (α 5384) [64]
διῆρες (Eur. Phoen. 90)· κλῖμαξ [ad 65]
διήρεσαν· διενήξαντο [67]
διήρη· διπλᾶ τὰ ἐπαμπεχόμενα ζωστά ἐστιν, οἷον τὰ δι' ὅλου τοῦ σώματος ἡρμοσμένα, ἀναλόγως τῷ ποδήρει
διήρης ναῦς· ἣν καὶ δίκροτον καλοῦσιν
διηρθρωμένον (Aristot. gen. an. I 17)· ἀνατεταγμένον ⟨—πεπτα—⟩
διήριχον· διηροῦντο. ἐρήγνυντο
διήρκεσε· ἀντέσχεν
διήρτησαι· δέδεσαι
διήρχθην· ἐκωλύθην
διῆσαν (Hippocr.)· διέρεισαν
δίηται (Π 197)· διώξῃ. ἢ πορεύεται ⟨v. δίοντο⟩
διητανές· λιτόν. διατεταμένον [78]
διηυλίσθη· διεφθάρη ⟨1751⟩
διηύληται· ἠχρείωται· λέγεται δὲ καὶ ἐξηύληται, ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς
διήφυσεν (τ 450)· ἐξήντλησε
† διηχήτας· ἄρτου εἶδος
διθυμία· διχοστασία
διθύροις· διπτύχοις
δίθυρον· γραμματίδιον δίπτυχον
διΐεται (Empedocles)· διέρχεται (διυλίζεται) [87. 88]
διϊθυνόμενοι· διοικούμενοι, κυβερνώμενοι
διϊθυντής· διοικητής. ἰθυντής
† διϊκαδία· ἐπὶ ὁμοίων καὶ ἀπαραλλάκτων ἐτίθετο τοῦτο ⟨διεικάδεια?⟩
(διϊκνείσθω· φθανέτω. καὶ χαλάσθω. ἐγγιζέτω) [93]
διϊπετέος (Ρ 263)· ὑπὸ τοῦ Διὸς πληρουμένου [95]

COD. ⟨20 Cf. διαφουλλαί et φουλλόμενοι⟩ 24 παραγίνει 30 διεψώμησε ⟨31 אצייר an ἴξαλος?⟩ 37 |λίσται ⟨41 διυλισθέν· σηρωθέν Cyr. 244 et διητήσεως· ἐκτήξεως Cyr. 171⟩ Post 50] 55 ⟨53 Cf. δειελίτην διλίτης et schol. Ven. Τ 90⟩ 55 |ασίην; cf. 50 56 δίοχος 72 διήρκησε ⟨75 L. διέρασαν vel διέσησαν⟩ 77 λειτόν 92 legebatur post 1535. φθανάτω κεχαλάσθω C. 171

HES. 23 διεχεῖτο (LXX)· διεχέετο 33 διζημένη (Δ 88)· ζητοῦσα 34 διζησόμεθα (π 239)· ζητήσομεν 36 διήγημα (Ezech. VII 2)· ἱστορία 38 διη[illegible]ρευμένοις (III Esdr. V 49)· παραγγελθεῖσι 45 διηκνεῖται· „διήκει χωρεῖ διὰ πάντων διὰ καθαρότητος" (Sapient. VII 24) 46 διηκνούμενος (Hebr. IV 12)· διαδυόμενος. εἰσερχόμενος 49 διήλασεν (Μ 120)· διῆλθε, διεπέρασεν 51 διηλίσθη· διεφθάρη ⟨1779⟩ 52 διῆλθε (Ψ 876)· διέβη, διεπέρασε 60 διηνεκέσιν (Μ 297)· ἐκτεταμένοις. μεγάλοις 62 διηνέχθη (II Macc. III 4)· ἐμαχήσατο 64 διήνυσαν (II Macc. XII 7)· διῆλθον (non Xen. Cyr. IV 2, 8) Ad 65: ὑπερῷον. ἢ ⟨Moer.⟩ 67 διήρεσα χερσί (μ 444 ξ 351)· ταῖς χερσὶν ὡς κ' ἐπχρησάμην ⟨κώπαις ἐ—⟩. διενηξάμην 78 διητία· ἡμιμέδιμνον ⟨δίπτυον⟩ 87 διΐεις· διέπεμψας ⟨v. διείς⟩ 88 διϊέντα· διαπέμποντα ⟨v. διειέντα⟩ 93 διϊκνούμενος (Hebr. IV 12)· διερχόμενος (διαδυόμενος, cf. 1536) 95 διΐπετος· ἐπὶ μὲν τῶν ἄλλων ποταμῶν, ἀπὸ τοῦ Διὸς πληρουμένων, χειμάρρων· ἐπὶ δὲ τοῦ Νείλου (δ 477), διαυγοῦς, διαφανοῦς, ἢ διαπεπετασμένου

Διϊπόλεια (Ar. Pac. 420, Antipho)· *ἑορτὴ Ἀθήνησιν, ἀπὸ τοῦ Πολιεῖ Διῒ θύειν Ἀθηναίους εἰς μνήμην τοῦ πελάνου καὶ τοῦ βοός*

διΐστανται· διαχωρίζονται

διϊστάς· χωρίζων

διΐσταται· διαχωρίζεται

Διῒ Συκασίῳ (Com. fr. CXX)· *παραπεποίηται παρὰ τὸ συκοφαντεῖν* [1801. 2]

δίκαια· ἔννομα

δικαιαρχία· ἀρχὴ δικαία

δίκαιον· εὔλογον. ἴσον, ὅμοιον, παρὰ Ἱπποκράτει (Foes. Oecon. p. 101)

δικαιοπραγεῖν· δίκαια πράττειν [7—11]

δικαιοσύνη· ἡ χοῖνιξ μυστικῶς

δικαιότητα· δικαιοσύνην

δικαιῶσαι· κολάσαι

δικαιωτήρια (Plat. Phaedr. 219 A)· *κολαστήρια*

δίκανα· ποικίλα ἱμάτια

δικαν(ικ)ούς· τοὺς περὶ τὰς δίκας διατρίβοντας [18]

δικάσιμοι μῆνες (Plat. Legg. XII 958 B Philelaer. vol. III p. 297) *οὕτως ἐλέγοντο, ἐν οἷς ἐδίκαζον*

δικασπόλους· δικαστάς, ἢ περὶ τὸ δίκαιον πολουμένους

δικαστάρ· τοὺς κριτάς. Ἠλεῖοι

†*δικαμπίας· οἶνος ὁ δύο τροπὰς ὑπομείνας ⟨ἐντροπίας, τροπίας⟩*

δικαστήρια· Ἀθήνησιν Ἄρειος πάγος κρίνει τὰ φονικά εἶτα ἡ βουλὴ τῶν φʹ· ἐπὶ Παλλαδίῳ βʹ δὲ τῶν ἀκουσίων ἐδικάζοντο, εἶθ' ἐπὶ Δελφινίῳ ἐδικάζετο τοῖς ὁμολογοῦσιν ἀνῃρηκέναι μέν, λέγουσι δὲ ἐννόμως· καὶ τῷ ἐν Πρυτανείῳ ....

δικαστικόν· Ἀριστοφάνης ἐν Ὥραις (fr. X p. 1174) *τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο* (Aristot. Pol. VI 5) [25]

δικεῖν· (ἀφεῖναι). βαλεῖν. ῥῖψαι. ὅθεν καὶ δίκον καὶ δίσκον

†*δίκελλον δικράδεστος ξένος δύο κλάδους ἔχων*

δικέντρων· βόλος τις ἀστραγάλων οὕτως ἐκαλεῖτο [29]

δίκηλον· ἐκτύπωμα, ὁμοίωμα ⟨249⟩, εἴδωλον. ἀνδριάς. ζῴδιον. παρὰ Λάκωσιν

δίκηλον· φάσμα ⟨249⟩. ὄψις. εἴδωλον. μίμημα. ὅθεν καὶ ὁ μιμολόγος παρὰ Λάκωσι δικηλίκτας ⟨453⟩

δίκην· καθάπερ, ὥσπερ, ὁμοίως

δίκην τροχοῦ [34. 35]

δίκη πρόδικος· ἡ πρὸ τοῦ ἀχθῆναι εἰς δίκην ὁμολογουμένη

δικητροπεῖ· φυγαδεύει [38]

δικλίδες (ρ 268)· *αἱ θύραι*

δικλίδος (Theocr. XIV 42)· *διθύρου*

δίκορσος· δικέφαλος

δικράνους· τὰς τριόδους· δεῖ δὲ νοεῖν δικράνους τὰς ἀπὸ μιᾶς ἀρχῆς ἐπὶ δύο ἐκνευούσας, οἷον δύο τέλη ἐχούσας

δίκρα ὀσφῦς· ἡ διπλῆ. Αἰσχύλος Τροφοῖς (fr. 51)

δίκρατον νόμισμα

(*δίκροον* Galen. lex. p. 458)· *δισχιδῆ ἢ δίκρανον*

δικρόα ξύλα· ὁμοίως

Δικταίῃσι (Callim. epigr. XXIII 3)· *Κρητικαῖς*

δικταμνοειδές· γλήχων τινές ⟨v. γληχωνοειδές⟩. οὐκ (εὖ). ἔστι γὰρ βοτάνη δίκταμνος [48]

δίκτυον· τοῦ κοσκίνου τὸ μέσον, ἐν ᾧ τὰ λεπτὰ τρήματα. καὶ τὸ ἁλιευτικὸν λίνον, ἢ σαγήνη [50]

COD. 96 *διιπολίεια — πολύειδι ἰθύνειν* 1800 *διΐσκασίῳ* 12 *σχοίνιξ* 13 |*στάτην —νη* 16 *ἰκάτια* 19 |*σειμοι* 19. 20 = 20. 19 21 *δίκαρ* 26 *δίκειν· βάλλειν, ῥίψειν* (cf. *δεικεῖν, ἄνδικε, πόδικε*) ⟨27 Com. IV p. 641⟩ 31 *δίκην, λίκτας* 32 *δίκη* 37 *δικοτροπεῖ* 39 *δίκλιδος· δίθυρος* 40 *δίκουρος* 42 *ὄψις ἡ* 43. 44. 45 *νόμισμα* [*ἢ δίκρανον*] — *ὁμοίως* [*δισχιδῆ*] 47 *δικτάμενος*

HES. 1801 *Διῒ φίλε* (*Α* 74)· *προσφιλέστατε* 2 *δικαζέμεν* (*Α* 542)· *δικαιοῦν. δικάζειν* 7 *δικαιότατος Κενταύρων* (*Λ* 831)· *ἀντὶ τοῦ ὁ ἐν τοῖς Κενταύροις δίκαιος* 8 *δικαιωτήριον· κριτήριον* 9 *δικάσπολος* (*Α* 238 λ 185)· *δικαστής, βασιλεύς* 10 *δικαιοῦν· μαστιγοῦν. νουθετεῖν. δικαάζειν, δικάζειν* ⟨v. 1802⟩ 11 *δικαιούμενον* (Plat. Legg. XI p. 934 B)· *κολαζόμενον* 18 *δικανόωνται* (*Ο* 86)· *ἐνδείκνυνται, λέγουσιν* 25 *δικάτωρ· ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων* ⟨1847⟩ 29 *δίκη* (σ 274)· *ὁ τρόπος μνηστήρων* (schol. Pind. Pyth. I 3)· *δικαίως* (*Υ* 542). *ἡ πρόνοια* (Cyr. 171) 34 *δικηλόγον·* (*ῥήτορα* Cyr. 244 35 *δίκηλον·*) *ἄγαλμα, ἀνδριάντος* (*εἰκών* Cyr. 63) 38 *δίκης· τρόπου. ὁμοίωσις. ἡ κρίσις* 48 *δικτάτωρ· ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων* ⟨1825⟩ 50 *δικτυωτή* (Iudic. V 28)· *καγκελλωτή*

δίκτυς· ὁ ἰκτῖνος ὑπὸ Λακώνων ⟨v. ἰκτός⟩ [52]

δικών (Eur. Or. 991)· βαλών

δίλαξ· ἡ δρία τὸ φυτόν. Λάκωνες [55—58]

δίλογχον· τὴν Βενδῖν οὕτω Κρατῖνος ἐν Θράτταις (fr. XII) ἐκάλεσεν, ἤτοι ὅτι δύο τιμὰς ἐκληρώσατο, οὐρανίαν τε καὶ χθονίαν (λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους) ἢ ὅτι δύο λόγχας φέρει, κυνηγετικὴ οὖσα. οἱ δὲ ὅτι δύο φῶτα ἔχει, τὸ ἴδιον καὶ τοῦ ἡλίου. τὴν γὰρ σελήνην Βενδῖν καὶ Ἄρτεμιν νομίζουσιν

διμάχαι· οἱ λεγόμενοι ἅμιπποι, οἵτινες ὁτὲ μὲν πεζῇ, ὁτὲ δὲ ἐφ' ἵππων μάχονται [61]

διμέδιμνον· μέτρον χωροῦν δύο μοδίους

διμοιρίτης· †διμοιραῖος [64—69]

Δινδυμήνη (Herod. I 80 Callim. epigr. XLII 4)· μήτηρ θεῶν. ἀπὸ Δινδύμων ὀρῶν τῆς Φρυγίας

διξός· δισσός [72—74]

Διογενίδαι· γένος Ἀθήνησιν ἰθαγενῶν [76]

δι' οἶκτον· δι' ἔλεον. οἰκτιρμόν [78]

διοιγνύντες· ἀνοίγοντες

διοίκησις· ἡ ἀνάλωσις τῶν χρημάτων (Xen. Mem. IV 6, 14)

διοίξας· ἀνοίξας

διοίσει· παραλλάξει. ἢ κάλλιον ἔσται, ἢ συμφέρον. ἢ διαφέρει

διοίσεται (schol. Soph. Ai. 511)· διακριθήσεται. ἢ διάξει, καὶ βιώσεται. ἢ διαλέξεται

διοίσουσι· διαφέρουσι

διοκωχή (Thuc.)· διάστασις χρόνου τινός ⟨v. διακόχλω⟩

δι' ὀλίγου· ἀντὶ τοῦ μετ' ὀλίγον

Δίολκος· ὁ ἀπὸ Λεχαίου ἕως Κεγχρεῶν τόπος

διολλύει· ἀφανίζει, φθείρει, διαπολλύει

διολούφειν· διατίλλειν. ἢ διασιλλαίνειν. οἱ δὲ κακοσχόλως

(διολούφων· διατίλλων, οἱ γὰρ Ἀττικοὶ τὸ τίλλειν ὀλούφειν. οἱ δὲ τὸ ἐκλέγειν τῶν σπορίμων τὴν πόαν) [91]

διομανές· ὑπὸ Διὸς μαινόμενε· ἢ τῷ Διῒ βουλόμενε μάχεσθαι διὰ μανίαν

Διομεῖς· δῆμος Ἀθήνησιν, ἀπὸ τοῦ Διόμου τοῦ Κολύττου παιδός

Διομήδειος ἀνάγκη (Ar. Eccl. 1029)· παροιμία. Κλέαρχος μέν φησι, Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινάς, καὶ εὐθὺς αὐτοὺς φονεύειν· ὁ δὲ τὴν μικρὰν Ἰλιάδα φησί, ἐπὶ τῆς τοῦ Παλλαδίου κλοπῆς γενέσθαι (Plat. Rep. VI 493 D)

διόμνυσθαι· τὸ ἀπόμνυσθαι ⟨v. 2061⟩

δῖον (Χ 251)· ἐδιώχθην. μέγα ἢ πολύ. θεῖον ἢ τὸν ἐκ Διὸς γενόμενον, ἀγαθόν

διονῦς (Comici)· ὁ γυναικίας, καὶ παράθηλυς [98]

(?) δίοντο· ἀνεπορεύοντο ⟨v. δίηται⟩

Διονύσια· ἑορτὴ Ἀθήνησιν Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος· τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος· τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος

Διονυσιάδες· ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι ⟨Meinek. Theocr. p. 323⟩

Διονύσου γάμος· τῆς τοῦ βασιλέως γυναικὸς καὶ θεοῦ γίνεται γάμος

Διονυσοκουροπυρώνων· Κρατῖνος ἐν Σεριφίοις (p. 134)·

αἰσχρῶν Ἀνδροκλέων Διονυσοκουρώνων

COD. 53 δίκων, βάλλων 59 βένδην — θράπταις — λόγχαν — δευολόγχας φέρει γυνηγετική — βένδιν 60 οἱ μὲν — ὅτε 63 διμυριστής, διμυραῖος 70 δινδυμη 77 οἰκτιρμῶν 87 διοληὸς — κεγχρεῶνος 89 διολουφεῖν — διασυλλ| 90 Cf. διαλουφῶν ὀλούφων. οἱ γ. Α. τ. τ. οἱ δὲ 92 |μεναι bis 94 ἠλιάδα 96 διὸν — τῶν — ἀγαθῶν 97 διονννῦς 1900 λήνδια — ἐλαφιβωλίωνος 3 Διονυσοκρου| — ἐπεὶ οἱ — πεντεκομ| — αἰσχρὸν — κύρον κωμῳδεῖν — πάππον

HES. 52 δικτυωτὸν ὑπερῷον (IV Regg. 1 2)· τὸ πολλὰς θυρίδας ἔχον 55 δίλην ὀψείαν· ἀπὸ μεσημβρίας μέχρι δύσεως ⟨δειλ—⟩ 56 δηλητήριον· βλαβερόν ⟨δη—⟩ 57 διλίτης· κακοῦργος. απατεών. δόλιος ⟨διελίτην, διηλίτην⟩ 58 δολιχοδείρων (Β 460)· μακροτραχήλων ⟨2160⟩ 61 δίνη· συστροφὴ ὑδάτων 64 δίνεον (ι 384)· ἔστρεφον. ἀνεστρέφοντο 65 δινεύοιτο (Δ 541)· ἀναστρέφοιτο 66 δινηεντὸς (Β 877)· τὸ συστροφὰς τῶν ῥευμάτων ἔχον 67 δινωτήν (τ 56)· στρογγύλην, καὶ περιφερῆ ⟨v. δωτὴν et δεινωτήν⟩ 68 δινήσας (Ψ 840· συ)στρέψας. κινήσας 69 δινωτοῖσι λέχεσι (Γ 391)· στρογγύλοις. ἀπὸ τῆς τῶν κλινοπόδων περιφερείας ⟨v. δειν—⟩ 72 διό (Ies. XVI 7 v. l.)· διὰ τοῦτο 73 διογενές (Hom.)· εὐγενέστατε 74 διογενής (Hom.)· ἀγαθός. εὐγενέστατος 76 διόδευσον (Genes. XIII 17)· πέρασον 78 δυοῖν θάτερον· ἓν ἐκ τῶν δύο 91 διολύγιον· ἐξηχοῦν ⟨διῆχον⟩ ἐπὶ πολύ 98 δίονται (Ψ 475)· διώκονται

Ἔνιοί φασιν, ἐν τῷ αὐτῷ πέντε κωμῳδεῖσθαι, Αἶσχρον, Ἀνδροκλέα, Διονύσιον, Κῦρον, † Πυρῶν, ἁμαρτάνοντες· οὐδεὶς γὰρ Ἀθηναίων ἀναγράφεται Κῦρος. Δεῖ οὖν γράφειν Διονυσοκουροπυρώνων· τὸν γὰρ †Διόνυσον κουρέα ὄντα κωμῳδεῖ· κουρεὺς δὲ ἦν πρὸς πάππου, ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς

Διονυσοφόροι· ἀρχή τις ἐν Συρακούσαις

δι' ὀξείας (Ar. Thesm. fr. VI)· παρὰ τοῖς Πυθαγορικοῖς λέγεται. ἔστι δὲ ἐπὶ τῶν συστημάτων

διόπαι· εἶδος ἐνωτίων· τινὲς δὲ ὑποδημάτων

διοπετές (Eur. I. T. 799)· ἐξ οὐρανοῦ ἐρχόμενον

διοπετής· ὑπὸ τοῦ Διὸς πληρούμενος

διοπεύειν (Dem. 929, 20)· ἐπιμελεῖσθαι νεώς

διοπλήκτα(ν)· ἰσχυροπλήκτην (Aesch. Ag. 367?)

δίοποι (Aesch. Pers. 44)· ἐπιμεληταί

δίοπος· ἐπίσκοπος. ἄρχων. ναύαρχος (Hippocr. III p. 575). ἐπιστάτης. διόπτης ⟨v. ὁ διόπος⟩ [13]

διοπτεύειν· κατασκοπεῖν (v. Soph. Ai. 307) [15. 16]

διόπτης· ὁ κατόπτης τὸ μηχανικὸν ὄργανον

διόπτρα· γεωμετρικὸν ὄργανον. καὶ σημεῖον ἐν θυτικῇ

διοργανώσεως· κατασκευῆς

διορίαν· προθεσμίαν· ἐὰν δὲ διὰ τοῦ (ω) μεγάλου, καιρὸν σημαίνει

διορίζει· διακρίνει

διορίσαι, ὃ καὶ ἐξορίσαι λέγουσι (Plat. Protag. 319)· τὸ φυγαδεῦσαι

διορισμόν· χωρισμόν. μερισμόν

διοριστέον (Plat. Legg. IX 874 D)· διαχωριστέον

δίορον· διαστάτην (Poll. IX 119) [26]

διορύττει· σκάπτει

δῖος· ὡς ἀπὸ Διὸς τὸ γένος ἕλκων·

‚δῖος Ἀχιλλεύς (Α 7)'

καταχρηστικῶς δὲ ὁ ἀγαθός [29]

(Διοσαμία)· Διὸς σημεῖον. τεράστιον σημεῖον

Διὸς ἄνθος· τοῦτο οὐ λάχανον, ἀλλὰ φυτὸν ἀκανθῶδές φασιν εἶναι οἱ περὶ Θεόφραστον (HPl. VI 6 p. 667 Bod.) [32. 33]

Διὸς βάλανοι· Ἕρμιππος Φορμοφόροις (fr. I)

‚τὰς ◡ Διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα'

τὰ καστάνια· τινὲς δὲ (Hermonax et Timachidas) Ποντικὰ λέγουσιν, (ἢ) Ἡρακλεωτικά

Διὸς βοῦς· ὁ τῷ Διὶ ἄνετος βοῦς, ὁ ἱερός. ἔστιν δὲ ἑορτὴ Μιλησίων

διοσδότους· ὑπὸ Διὸς δεδομένους (Aesch. Eum. 626?)

Διὸς θᾶκοι καὶ πεσσοί (Cratin. fr. IV p. 18. 19)· τινὲς γράφουσι ψῆφοι. Φασὶ δὲ ἐν τῇ τῶν Ἀθηναίων διαψηφίσει, ὅτε ἠμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς δεηθῆναι ὑπὲρ αὐτῆς τὴν ψῆφον ἐνεγκεῖν καὶ ὑποσχέσθαι ἀντὶ τούτου τὸ τοῦ Πολιέως ἱερεῖον πρῶτον θύεσθαι ἐπὶ βωμοῦ

διοσκεῖν (Anacr. fr. 3)· διαβλέπειν συνεχῶς τὴν ὅρασιν μεταβάλλοντα. [τίθεται δὲ καὶ ἐπὶ τοῦ διαφορεῖσθαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ τὸ διαπολέσαι, καὶ τὸ διαφθεῖραι ⟨δοιάσαι — δῃῶσαι⟩ [39]

Διὸς Κόρινθος (Ar. Rann. 442) [ad 40] [41]

Διόσκουροι· οἱ Ἑλένης ἀδελφοί. (καὶ) Ζῆθος καὶ καὶ Ἀμφίων, λευκόπωλοι καλούμενοι (Eur. Herc. fur. 29. 30)· καὶ ἀστέρες, οἱ τοῖς ναυτιλομένοις φαινόμενοι. καὶ σημεῖον ἐν θυτικῇ

COD. 4 |ίφοροι 5 διοξείας 7 |ενος 10 |πλήητα 11 Ar. Byz. p. 186 Dionys. Eustath. 203, 14 Post 21 legebatur διορίζετο (v. διω—) 22 |ρῆσαι bis Legebatur post 19 30 διοσημεῖον ⟨v. ἐχεσαμία⟩ 37 πεσοὶ — διαψήφισιν — ἱερὸν 38 διόσκειν ⟨v. δακόσαι⟩ 42 Ἕλληνες — ναυτιλο|

HES. 13 διοπομπεῖσθαι· καθαίρειν. ἰδίως δὲ τὸ καθαίροντας τὸν προστρόπαιον Δία ⟨v. ἀποδ—⟩ 15 διοπτεύων (Κ 451)· κατασκεψάμενος 16 διοπτῆρα (Κ 562)· κατάσκοπον ⟨v. 1945⟩ 26 διόροφα (Genes. VI 16)· δίστεγα 29 Διὸς ἀμφί(ς Θ 444)· ἑκατέρωθεν τοῦ Διός 32 Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν (Α 334)· ἄγγελοι, ὧν τὸ γένος καὶ ἴδιον καὶ ἀνδράσι 33 Διὸς αὐγάς (Ν 837)· τῆς ἡμέρας τὸ φῶς. τὸν αἰθέρα 39 Διὸς ἐγκέφαλος (Archestratus)· παροιμία, ἥν Κλέαρχος φησὶν εἰρῆσθαι, οἷον ἐπὶ τῶν ἄγαν θείων Ad 40: παροιμία ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ πραττόντων, ὡς ὁ Πίνδαρος (Nem. VII 155) φησίν 41 (..........)· ..... Ἀλήτην γάρ φησι φεύγοντα κατελθεῖν βουλόμενον εἰς Κόρινθον καὶ βουκόλου τινὸς ἀπαντήσαντος αἰτεῖν τροφήν· τὸν δὲ εἰπεῖν, τροφὴν μὲν οὐκ ἔχειν, ἄραντα δὲ βῶλον δοῦναι αὐτῷ ὡς τοῦ Διὸς ὄντα· τὸν δὲ εἰπεῖν ‚δέχεται καὶ βῶλον Ἀλήτης'

Διὸς κώδιον· οὕτως ἔλεγον, οὗ τὸ ἱερεῖον Διὶ τέθυται, ἐφ' οὗ οἱ καθαιρόμενοι ἑστήκεσαν τῷ ἀριστερῷ ποδί. τινὲς δὲ τὸ μέγα καὶ τέλειον. ὁ δὲ Πολέμων τὸ ἐκ τοῦ Διὶ τεθυμένου ἱερείου [44. 45]

διοτρεφεῖς· οἱ ἐν βασιλείᾳ τεθραμμένοι

διοτρεφέων (Δ 176)· ἐκ τοῦ Διὸς ἑλκόντων τὸ γένος

διοχλεῖ· ἐκταράττει

διοχλίζει· ἀνακινεῖ ⟨v. ὀχλίζειν⟩ [50]

δίοψιν· κατασκοπήν. ἢ δι' ὅλου ὄψιν γινομένην, καὶ διαύγειαν

† *διπάνας*· τοὺς διδύμους γεγεννημένους [53. 54]

διπλάσαι (Alexid. fr. III p. 436)· διπλᾶ ποιῆσαι

διπλασιασμός· ἡ ἐν τακτικοῖς οὕτως ἐνόπλιος κίνησις

† *διπλασμός*· ἡ διπλῆ εἰς πόνον

διπλῆ (Ar. Thesm. 982)· ὀρχήσεως εἶδος, ἢ κρούματος

διπλῆν (Κ 134)· διπλασίονα. καὶ μεγάλην

διπλοῖδα· διπλουμένην χλανίδα ἐν τῷ φορεῖσθαι

διπλοΐζειν· διπλασιάζειν (cf. Aesch. Ag. 835)

διπλοῦς ἄνδρας· τὰ δισύλλαβα † ἀνδρῶν ὀνόματα. οἱ δὲ παλιμβόλους

† *διπλόϊδα*· διπλοίδα

δίπνοια τρώματα (Hippocr. Galeni)· εἰς κενὰ τραύματα

διποδία (Cratin. fr. V p. 109)· ὀρχήσεως εἶδος (ἢ ἀλμοῦ). οἱ δὲ *διποδισμός*. (καὶ εἶδος Λακωνικῆς ὀρχήσεως) ⟨v. 1229⟩

Διπόλεια· ἑορτὴ Ἀθήνησιν. οἱ δὲ Διϊπόλ(ε)ια, ὡς προδεδήλωται

δίπολοι· διπλαῖ. Αἰσχύλος Προπομποῖς (fr. 205)

δίπτυον· Κύπριοι μέτρον. οἱ δὲ τὸ ἡμιμέδιμνον ⟨v. 1778⟩

δίπτυχα (Α 461)· δύο † ἐπιβολὰς ἔχοντα, ὥστε τὸ μὲν ὑπεστρῶσθαι, τὸ δὲ ἐπιβεβλῆσθαι

διπτύχιξον· δίπλωσον

δίπυλον (Soph. Phil. 952)· ὑπερῷον

δίπυροι ἄρτοι· οἱ ἐκ δευτέρου ὀπτώμενοι [73. 74]

Δίρκης· πηγῆς (Aesch. Sept. 273) [76]

δισαλέος· ῥυπαρός ⟨2682⟩

δίσδημαι (Theocr. XVI 68)· ζητῶ [79. 80]

δίσκελλα· σπυρίς ⟨v. διασκελίδα⟩

δισκεύει· δισκοβολεῖ

δισκεῦσαι· δίσκον ῥῖψαι. ἤτοι λιθάσαι

δίσκην (Aeoles?)· δίκειν. ὑπερβάλλειν [85]

δίσκουρα (Ψ 523)· [ad 86] ὅσον ἄν τις βάλλοι δισκεύων

δισσά (Cratin. p. 102)· διττά

δισσός· δύο τρόπους ἔχων, διπλοῦς

διστάζει· διχονοεῖ, ἀπορεῖ, ἀμφιβάλλει

διστάσιον (Plat. Hipparch. 231 D)· τὸ πρὸς διπλῆν ἱσταμένου τὴν τιμὴν χρυσίου ἢ ἀργυρίου, ὡς *ἰσοστάσιον* τὸ πρὸς τὴν ἴσην

δὶς τόσῃ· τῇ ἡλικίᾳ. Ἀρχίλοχος (fr. 162)

δίστομος· οὕτως ἡ Ἐπίδαυρος ἐκαλεῖτο, ἐπεὶ ἀμφιστόμῳ λιμένι ἐκέχρητο. (ἡ) συγγραφή

διττάμενον· ἀρνούμενον. Κρῆτες

διτταχῶς· διχῶς [95. 96]

διφᾶιν (Π 747)· ζητεῖν. ψηλαφᾶν. ἐρευνᾶν (Callim. ep. XXXIII 2)

δίφακος· εἶδος βοτάνης

δίφα†τον· ὄφιν. Κρῆτες ⟨v. δίβαν⟩

διφασία· διλογία. ἐκ τοῦ μὴ συμφωνεῖν τὰ λεγόμενα

δίφατον· διφάσιον, δισσῶς λεγόμενον [2002. 3]

διφθέρα· δέρμα, βύρσα. δέλτος, γραμμάτιον

COD. 43 |*κώλιον* — τῷ — ἱερείῳ — οὗτοι ἱερεῖον ἐτίθετο 51 *διοψεῖν* |πεῖν ἢ δι' ὅλην — διαυγίαν 55 *διπλαπάσαι* 58] post 61 scripta *διπλεῖ* 59 |σίωνα 60. 61 —οῖ— 62 πάλιν βόλα ⟨63 *διπλωίδα* an *διπλοῖδα*?⟩ 64 καινὰ τρώματα 66 *διπόλια* Post 66 καὶ — ὀρχήσεως 67 αἰσχύλος διπλαὶ προπόμποις ⟨68 δίπτυον κύπρον Alcae. fr. 142?⟩ 69 ἔχοντα [ἢ διπλοῦν] — [τὸν ἐπίπλουν] τὸ δὲ 70 |*δίξον* 72 ὀπτόμενοι 75 διρκῆς 76 *δίσαλα* (schol. Clem. Alex. p. 116) 88 *δισσῶς* — διπλῶς 90 *διστάδιον* — ἐστ| 91 *διστόσῃ* 92 *δίστημος* — ἀμφιστόμοις λιμέσιν ⟨95 Philol. XII 607⟩

HES. 44 *Διὸς μάστιγι* (Μ 37)· τῷ κεραυνῷ 45 *διοτήρ*· κατάσκοπος ⟨διοπτήρ⟩ 50 *δίοψ*· οἰκονόμος ⟨ficticium⟩ 53 *δίπλακα* (Γ 126)· διπλῆν, μεγάλην διπλοΐδα, ὥστε διπλῇ χρῆσθαι 54 *δίπλακα δημόν* (Ψ 253)· διπλοῦν λεῖπος 73 *δειράδαι*· αἱ τῶν ὀρέων ἐξοχαί ⟨δειράδες⟩ 74 *δίρηγες*· στρουθοί ⟨v. δίγηρες⟩ 76 *δισαλία* (Theodot. Iesai. XXVIII 8)· ἀκαθαρσία 79 *δισίθεος*· δισιδαίμων 80 *δισκάζεται*· διαφέρεται ⟨διστ—⟩ 85 *δίσκοισι* (Β 774)· τοῖς δίσκοις, λίθοις στρογγύλοις Ad 86: ὅσον ἂν λάβοι δίσκῳ δισκούρια 95 *δίτοιχος*· ἀναίσθητος ⟨v. Diogen. IV 31⟩ 96 *διυλίζοντες* (Matth. XXIII 24)· διηθμεύοντες, διηθοῦντες 2002 *διφαδεύει*· ἐξελεῖται 3 *διφένσωρ*· βασανιστής. κριτής

διφθεράλοιφος· γραμματοδιδάσκαλος παρὰ Κυπρίοις

δίφορος· Ἔφορος Κυμαῖος, ὅτι δὶς ἐτέλεσε τῷ διδασκάλῳ Ἰσοκράτει τοὺς τῆς παιδεύσεως μισθούς

διφοῦρα· γέφυρα. Λάκωνες

διφράγες· τινῶν στρατιωτῶν τῶν παρὰ Πάρθοις ταγαί

δίφραξ (Theocr. XIV 41)· κλιντήρ. θρόνος γυναικεῖος

διφρεῦσαι· διακαθίσαι

διφρίας (cf. Xen. Cyr. VI 1, 16)· ἁρματηλασίας

δίφρις· ὁ ἑδραῖος, καὶ καθήμενος ἀεί, οἷον ἀργός

δίφρον (Apoll. lex. 59, 15)· ἅρμα. καθιστήριον. κράββατον. ὄχημα

διφροφόροι (Strattis com. p. 766)· αἱ ταῖς κανηφόροις εἵποντο, δίφρους ἐπιφερόμεναι

διφροφορουμένους (Herod. III 146)· τοὺς φορ(ε)ίοις φερομένους

διφυᾶ (Soph. Tr. 1097)· διφυῆ, δύο φύσεις ἔχοντα

δίφυιον νυκτός· τὰ δύο μέρη, τὸ δίμοιρον

διφώνους· διγλώσσους (Philist. Poll. II 111)

διφῶσα (Hesiod. op. 374)· ζητοῦσα. ψηλαφῶσα

δίχα· χωρίς, ἐκτός (Xen. Cyr. VIII 7, 3), ἄνευ

δίχα λαλῆσαι· ἀκατάλληλα λαλῆσαι

δίχαλον ζυγόν· τὸν ἑκατέρωθεν κεκοιλασμένον. Χηλαὶ γὰρ καὶ τὰ κοιλώματα. ἔνθεν καὶ (χηλός) ἡ κιβωτὸς παρὰ τῷ ποιητῇ (φ 51)

†**δίχανον**· κεχωρισμένον

δίχα νυκτός· τὸ μεσονύκτιον

διχῇ· διχῶς, δισσῶς [26. 27]

διχόθεν (Aesch. Pers. 76)· ἐκ δύο μερῶν

διχόθυμος· διάβολος

δίχολοι· διάφοροι. Ἀχαιὸς (fr. 37)· ‚δίχολοι γνῶμαι κατὰ πεῖραν'· παρὰ τὸ δίχα· ἢ δίτροποι κατὰ μετάληψιν. Χόλος γὰρ ἡ ὀργὴ καὶ (ὀργὴ ὁ) τρόπος. Βακχυλίδης (fr. 44)· ‚ὀργαὶ μὲν ἀνθρώπων διακεκριμ(μ)έναι μυρίαι' [31]

†**διχόνδις**· ἀπύγων

διχόν(ο)ια· ἑτερογνωμοσύνη, διχοστασία

διχονοεῖν· διστάζειν

διχοριάζειν· ἐν δύο χοροῖς ᾄδειν

διχοστατεῖ· μάχεται, πολεμεῖ

διχοτομία· ἀναίρεσις [38]

διψακερόν· ταλαίπωρον [40]

διψάρα· δέλτος. οἱ δὲ διφθέρα

διψάς· ἔχις. ὕδρα. καὶ σημεῖον ἐν θυτικῇ ἐπὶ τοῦ ἥπατος

διψία κόνις (Aeschyl. Ag. 495)· ξηρά

δίψιον (Soph. fr. 274)· βλαπτικόν

δίψιον Ἄργος (Δ 171)· Ἡσίοδος (Ἡλιόδωρος?) μὲν τὸ ἄνυδρον, Ἀρίσταρχος δὲ τὸ πολυπόθητον (διψᾶν γὰρ τὸ ἐπιποθεῖν) ἢ ὑπὸ Διὸς βεβλα(μ)μένον· ἶψαι γὰρ τὸ βλάψαι

διψῆν (Ar. Nubb. 441)· διψᾶν

διψυχία· ἀπορία [48]

δίωγμα· θυσία τις Ἀθήνησιν ἐν ἀπορρήτῳ τελουμένη ὑπὸ τῶν γυναικῶν ἐν τοῖς Θεσμοφορ(ί)οις. τὸ αὐτὸ καὶ ἀποδίωγμα ὕστερον ἐκλήθη

διῴδει· ἐφλέγμαινε

διωθεῖται· ἀνατρέπεται. ἀνατρέπει

διωθεῖτο (Herod. VI 86, 2?)· ἀπεκρούετο. ἀπερ(ρ)ίπτετο. ἀπέρ(ρ)ιπτε [53. 54]

διώκειν· καταλαμβάνειν φεύγοντα. ἢ κατατρέχειν ἐν κλίμακι. καὶ φεύγειν μεθ' ὁρμῆς [56]

διωκισμένοι· κεχωρισμένοι

διωκόμενον· κατηγορούμενον

διωλισθηκόσι· πεσοῦσι

διωλύγιον (Plato et Callim. fr. CXI 1)· ἠχοῦν ἐπὶ πολύ. μέγα, καὶ σφοδρόν, διατεταμένον ⟨v. διολ—⟩

διώμνυτο· ὤμνυε

διωμοσία (Dem. 643, 3)· ὁ ἀντωμοσία. ἑκάτεροι γὰρ ὤμνυον· ὁ μὲν ἐγκαλεῖν δικαίως, ὁ δὲ ἐγκαλεῖσθαι ἀδίκως [63]

COD. 20/21 ἁρματε| 12 δίφρις 16 φύσας 22 δίκαλον — κύματα 30 καταπεῖραι διχολογνῶναι — βαχχυλίδος 31 πληροσέληνος — διχομηνίεια ⟨HSauppe index lect. Gotting. 18⁶¹/₆₂⟩ 42 εὐθυτικῇ — ὕπατος 46 δίψην· δίψαν 50 διωδεῖ· ἐφλέγμενεν 66 |ται, ὀμνύει

HES. 26 διχηλοῦν (Levit. XI 3)· δύο ὁπλὰς ἔχον 27 διχθαδίας (I 411)· δισσάς, διπλᾶς 31 διχομηνία (Sirac. XXXIX 15)· τὸ ἥμισυ τοῦ μηνὸς .... τῆς σελήνης, ὅτε πληροσέληνός ἐστι. διχομηνίαια, ὅτε πεντεκαιδεκαταία 38 διχοτομήματα (Exod. XXIX 17)· τμήματα 40 δῖψαι· βλάψαι (fictum) 48 δίῳ (B 57)· τῷ ἐντίμῳ. τῷ ἀγαθῷ. τῷ εὐγενεστάτῳ 53 διωκα[ν]θεῖν (Eur. fr. 364, 25 al.)· διώκειν (Moeris) 54 δίωκε (I Timoth. VI 11)· ζήλου. ἐπιτήδευε 56 διωκέτην (K 364)· ἐδίωκον. δυϊκῶς. ἢ διώκουσι 63 διῶνται (P 110)· διώξουσι

διώνυμος· περιβόητος, ὀνομαστός
† διωριεῖ· νεῖκος πολέμου
διωρίζετο (Dem. 263, 25)· διεβεβαιοῦτο, διισχυρίζετο
διωρίσαμεν· διεζεύξαμεν, διεστήσαμεν [68]
δίωρον· ἀσύμφωνον. οἱ δὲ ἀνόμοιον, διάφωνον
διῶρυξ· τάφρος
διῶσε· κατέβαλε
διωσάμενοι (Herod. IX 102)· ἀπωθησάμενοι, ἐκβαλόντες [73]
διώττας (Cretes)· ἐργοδιώκτας
† διωφέλλειν· διορύσσειν
διωχή (Pherecr. fr. IV p. 254)· δίφρος ὁ δυνάμενος δύο χωρεῖν
δματέα· δαμαστέα [78—80]
Δμήτειρα· [ ] † γῆ γεννήτρια (Ξ 259). Δημήτηρ. δαμάστρια (EM. 281, 9)
δμηθῆναι· κρατηθῆναι. διαπολέσθαι. ὑποταγῆναι
δμῆσαι· δαμάσαι. κρατῆσαι
δμητόν· [ ] ἀναγκαστόν. οἰκοδομητόν
† Δμῖα· Ὠκεανοῦ θυγάτηρ καὶ Δήμητρος ⟨Δλία — Ἀμαία?⟩
δμῶες (δ 644)· δοῦλοι [87]
δμωΐς (Aesch. Suppl. 334)· θεράπαινα, δούλη· ἀπὸ τοῦ δεδμῆσθαι [89]
† δμών· γυνὴ μεγάλη [91]
δνοπάλιζεν (Δ 472)· διὰ τῶν χειρῶν ἐδόνει καὶ ἐκίνει ἀναιρῶν. Δὶς κέχρηται τῇ λέξει ὁ ποιητής ⟨v. ἐδνο—⟩
δνοπαλίξεις (ξ 512)· οἷον δονήσεις ταῖς χερσί, καὶ ἐκτινάξεις. οἱ γὰρ πτωχοὶ † ἐπικρύπτουσι τὰ ῥάκ[κ]η. ἢ διὰ χειρῶν ἕξεις † δνός, κακοπλασσῶν [94]

δνοφέη· σκοτεινῇ (ν 269?)
δνοφερόν (I 15 Π 4)· σκοτεινόν. μέλαν, ἀπὸ τοῦ δνόφου· λέγεται γὰρ τοῖς Αἰολεῦσι δνόφος ἀπὸ τοῦ δονεῖσθαι τὰ νέφη (Hippocr. I p. 608)
δνύψ· χιτῶνος εἶδος. βάθος
δοάζει· ἀμφιδοξεῖ. διστάζει [ad 98a]
(δοάν [Alcman]· ἀντὶ τοῦ δήν)
δοάσσατο· διενοήθη. ἐβουλεύσατο [ad 99] [2100]
δοάσσετο· ἔδοξεν [2. 3]
δοιαὶ δίκαι· βουλαὶ δύο ⟨v. δωαί⟩
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων (τ 562)· τὴν ἔκβασιν τῶν ὀνείρων Ὅμηρος μεταφορικῶς εἶπεν [6—8]
δοιάσαι· διστάσαι. βουλεύσασθαι [10. 11]
δοίδυξ (Ar. Eqq. 987)· ἀλετρίβανος
δ' οἱ δέατο· ἐβουλεύσατο [14—17]
δοῖτρον· πύελον. σκάφην ⟨δροίτη⟩
δοκάζει· μένει. ἐπιτηρεῖ. δοκεῖ. προσδοκᾷ ⟨v. ἐδόκαζεν⟩ [20]
δόκαι· ἐνέδραι, παρατηρήσεις ⟨v. ἐν δόκῃ⟩
δοκάν· θήκην. δοκεῖν (Dorice). ἐοικέναι
δοκάναι· αἱ στάλικες, αἷς ἵσταται τὰ λίνα [ad 23] [24]
δοκεύειν· τηρεῖν, φυλάσσειν, ἐπιτηρεῖν (Apoll. lex. 60, 14), προσδοκᾶν
δοκεύων· ἐκδεχόμενος
δοκήσει· ὑπονοήσει. νομίσει. προσδοκήσει. δοκιμάσει. στοχάσεται
δόκην· δόκησιν: δοχήν ⟨ad δοκήν⟩
δόκησις· τὸ μὴ ὂν νομιζόμενον, οἷον φαντασία
δοκησίσοφος (Ar. Pac. 44)· ὁ οἰηματίας ἐπὶ σοφίᾳ
δόκησις· σκοπή. ἀπάντησις. ὑπόληψις

COD. 65 νίκος ⟨διώρη Cyr. 39. 171⟩ 66 legebatur post 1921 76 διωχῶς, δ. οὐ 81 δμήτρα, δαμά.στρα 90 δμώη vel δμωή Cyr. 98 δοξάζει 98b Legebatur δόλαν — δήλου post 2147 2105 ἀμείνων 12 ἀλατρίβανος 13 δοιδέατο 23 σταλικαὶ — δεινά 25 δοκάειν 29 ὀνυμαζόμενον

HES. 68 διωρίαν (Ioseph. Bl. V 9)· διαζυγίαν, διαχωρισμόν 73 διωστῆρσιν (Exod. XXXVIII 11)· ἀναφόροις ⟨—εῦσι⟩ 78 δμηθέντι (Δ 99)· δαμασθέντι ⟨—τα Cyr.⟩ 79 δμηκῶτες· πεπληρωμένοι ἢ δεινῶς διακείμενοι ⟨ἀδδηκότες⟩ 80 δμῆσις· δαμάσῃς (P 476) Ad 81: δαμαστική (Greg. Naz. Carm. XVIII 35) Ad 83: βοητόν ⟨ad ΛΑΛΗΤΟΝ⟩ 87 δμωκίσι (Z 323)· δούλαις 89 δμῶες ἀναγκαῖοι (ω 209)· οἱ κατὰ ἀνάγκην δουλεύοντες, καὶ οὐ κατὰ προαίρεσιν 91 δμώς (ω 257)· δοῦλος, θεράπων 94 δνόσουσι· διακόψουσι (M 227). κακοπαθήσουσι Ad 98a: † δικάζει ⟨ad δοξάζει⟩ Ad 99: ἔδοξε (N 458) 2100 δοάσσεται (Ψ 339)· δοξάζει. ἀρέσκει. συμφέρον καταφαίνει 2 δοιά (M 464)· δύο 3 δοιαί (E 728)· δύο, δισσαί 6 δόγματα (gl. sacr. Cyr. Dr.)· ζητήματα. προστάγματα 7 δοειδές· διαφανές ⟨ὑαλΟειδές⟩ 8 δοῖεν (Α 18)· παράσχοιεν 10 δοῖδος· σπάδων ⟨δοιδός⟩ 11 δοιοιδυσσεῖν ⟨δοιδυκιεῖν?⟩ 14 δοίημεν· δῴημεν (Moeris) 15 δοίοις· δώσεις (δ 600) 16 δοίμασιν· ἀποφάσεσι, γνώμαις 17 δοιάς· δύο 20 δοκάλια ⟨δόκιμα⟩· καλά, ἄριστα, ἀγαθά Ad 23: ἢ κάλαμοι ⟨ad δόνακας⟩ 24 δοκεῖ· οἴεται, νομίζει

δοκίδες· οἱ ἰσάκις ἴσοι ἀριθμοὶ πλεονάκις ⟨v. πλινθίδες⟩

δοκίδων· δοκῶν [ad 33]

δοκικῶ· ἀντὶ τοῦ δοκῶ. ἔπαιξε δὲ Ἕρμιππος ἐν Ἀρτοπώλισι (fr. IV p. 384)

δοκιμαίνονται· δοκιμάζουσι

δοκιμάσας· κρίνας, ἐξετάσας

δοκιμασία (Plat. Legg. VI 753 E)· ἡ ἐξέτασις τῶν ἀρχόντων [38]

δοκιμοῦν (Iones?)· δοκιμάζειν

δοκίμωμι (Sappho)· δοκῶ καὶ οἴομαι

δόκον (Arist. fr. XXIX p. 1156)· τὴν ἀγχονήν

δοκος· σκοπή. προσδοκία. καὶ τὸ ἐν οἰκοδομῇ ξύλον (Eur. fr. 475, 5)

δοκουμένοις· δοκιμαζομένοις

δοκοῦντες (Eur. Hec. 295)· οἱ ἔνδοξοι

δοκοί· εἶδος ἀστέρων ἐπισημασίαν τινὰ παρεχόντων θεωρεῖσθαι

δοκῶμεν (Ar. Pac. 1051)· νομιζοίμεθα [47]

† δολάνα· μαστροπός ⟨v. 2170⟩

δολερῶς· ὑπούλως, δολίως

δολέων· ὁ δοθιήν

δολίχαυλος· μακρὸν τὸν αὐλὸν ἔχων· αὐλὸς δὲ λέγεται τοῦ σιδηρίου τὸ κοῖλον, … ὃ ἐμβαίνει τὸ ὀξὺ τοῦ δόρατος [52. 53]

δόλιχοι (Anaxandr. fr. I 43 p. 184)· ὀσπρίου εἶδος [55. 56]

δολιχεύωσι· περιοδεύωσι

δολιχήρετμοι (ϑ 191)· μακρόκωποι. δηλοῖ δὲ τοὺς ναυτικούς

δολιχόν (N 162)· μακρόν [60]

δολιχός· μακρός. ἢ μέτρον γῆς

δολιχόσκιον (Γ 346)· μακρὰν ἔχον σκιάν, μακρόσκιον, ἐξ οὗ τὸ μέγα δηλοῦται· ἢ μακρὰν ἰέναι δυνάμενον [63. 64]

δολιχόφρονα· πολύφρονα (cf. Empedocl. 45 Stn.)

δολιχωπά· μακρά [67]

δολίφονον (Com. inc. CXXI)· πέπαικται δὲ τοῦ δολοφονίου (Aesch. Ag. 1129)

(δολογχίζειν vid. ἀλογχεῖν)

δολομάν· μαστροπόν. Λάκωνες [71]

δολομήτεω· δόλια βουλευομένου

δόλοπα· κατάσκοπον. μαστροπόν

Δόλοπες· ἔθνος. οἱ τὰ ἔσχατα μέρη τῆς Θεσσαλίας οἰκοῦντες

δολοπεύει· ἐπιβουλεύει, ἐνεδρεύει

† δόλος· πάσσαλος ⟨[κύν]δαλος?⟩

δόλου τράπεζα· ἐπὶ τοῦ ἥπατος σημεῖον ἐν θυτικῇ [78—82]

† δολβαί· θύματα. οἱ δὲ μικτὰ πλακούντια ⟨v. ὄμπαι⟩

δόλπαι· πλακούντια μικρά. Κῷοι ⟨τολύπαι⟩

δολφός· ἡ μήτρα

δόλωνες· οἱ μικροὶ ἱστοὶ ἐν τοῖς πλοίοις (Poll. I 91). ἢ ξιφίδια ἐν ξύλοις ἀποκεκρυ(μ)μένα

δολώσῃ (Ar. Eqq. 1067)· ἀπατήσῃ

δόμα· τειχίον [88—90]

δομαίους· οἰκόπεδα. θεμελίους

δομή· τεῖχος. εἶδος, μορφή, πρόσοψις. σῶμα. οἰκοδομή. † τρόπων κατασκευή

δόμορ†τις· γυνή [94—96]

δόνακα· κάλαμον. Κρῆτες [post 97]

δόνακα ὑπολύριον (Ar. Rann. 233)· πάλαι γὰρ ταῖς λύραις κάλαμος ἀντὶ κέρατος ὑπετίθετο

δόνακες (K 467?)· κάλαμοι

(.....·) ἐλώδεσιν ἢ πτελέαις [post 2200]

COD. 32 ἴσα καὶ ἴσοι 34 δοκηκῶ — ἀρτοπώλησι 40 δοκιμῶμαι (Hort. Adon. 207 a) 41 δοκόν, τὴν ἀγχώνην (An. Oxx. I 223, 19) Post 47] 2098b 50 ὀδοθιήν 51 δολίκαυλος 54 δολιχοί 58 μακροήποι 59 δολιχόν, κύκλον μακρόν 65 δολιχόφρων, ἀπολύφρων 70 Cf. 2147. 2173 72—74 = 74. 2. 3 72 |ένω 73 δόλοφ Cyr. 79 δίοποι? 86 |σει bis 91 δομέους

HES. Ad 33: ὑπολαμβάνων 38 δόκιμον· χρήσιμον. τέλειον (Rom. XVI 10) 47 δόκωσις (Eccles. X 18)· στέγη ⟨v. ἡ δόκωσις⟩ 52 δόλιος (Psalm. V 6)· πανοῦργος 53 δολιομῆτα (A 540)· δολιόγνωμε 55 δολιχά (Δ 533)· μακρά 56 δολιχήν (δ 393)· μακράν 60 δολιχοδείρων (κύκνων B 470)· μακροτραχήλων ⟨1858⟩ 63 δόλοι· οἱ παραλογισμοί. καὶ στρατηγήματα 64 δολοῖ (v. l. I Cor. V 6)· φθείρει. κακουργεῖ 67 δολίσκος· δόλω. παρεξιφίς ⟨δόλων· παραξιφίς⟩ 71 δολομῆτα (A 540)· δολιόβουλε, κακότεχνε· μῆτις γὰρ ἡ βουλή 78 δολοπληκυίας· τὰς τῶν † λόγων πλοκάς 79 δόλοι· κατάσκοποι ⟨2173⟩ 80 δόλαντρον· κέρας γλοιὸν ἔχον, ᾧ ἁμαξεῖς χρῶνται εἰς τὸν ἄξονα ⟨v. δορ—⟩ 81 Δολοπέσσουσιν (I 484)· ἔστι δὲ ὄνομα ἔθνους Θεσσαλίας 82 δολοφρονέουσα (Γ 405)· δόλια φρονοῦσα, ἀπατοῦσα ⟨sic⟩ 88 δόμεναι (A 116 al.)· δοῦναι, παρασχεῖν 89 δομέοντι ⟨recens⟩· οἰκοδομοῦντι 90 δόμοισιν (Ξ 202 al.)· οἴκοις 94 δόμος· οἰκία. ἀπὸ τοῦ δεδομῆσθαι 95 δομος ἡμιτελής (B 701)· ὁ ἀτελὴς οἶκος. Ἡμιτελής· ἡμίγαμος. Τέλος γάρ ἐστι ὁ γάμος, καὶ Ἥρα τελεία καὶ Ζεὺς τέλειος, ὅτι γαμήλιοί εἰσιν 96 δανώροφον· ὑπὸ τῷ δόμῳ ἱδρυνθέντα Post 97: παρὰ τὸ δονεῖσθαι. καὶ ῥάδαλον Post 2200: (δονακῆα (B 576)· τὸν διάσειστον καλαμῶνα)

†δοναχήματα· ἀναλήμματα. καὶ ἀνμματα

Δονάκταν· τὴν Ἀπόλλωνα. Θεόπομπος

δονάκων (Pind. Pyth. XII 44)· καλάμων. ἢ αὐλῶν

δόναξ· κάλαμος ὁ ἁλιευτικός

δονεῖ (Ar. Eccl. 954)· κινεῖ, ταράσσει, σαλεύει

ῑ
δονεῖται, δονοῦντι, δονούμενοι· ὁμοίως [7]

(δοξάζει· δικάζει)

δόξαν λαβεῖν (Eur. Hel. 841)· δόξαν ἑλεῖν

δοξαρίοις· εὐτελέσι δόγμασιν, ὑπονοίαις, ὑποκοριστικῶς

δόξας· δοκήσεις

δοξασταί· δικασταί (Antipho p. 140, 38)

δόξει(ε)· ὑπολάβοι

δόξῃ· φανῇ. ἢ δοκήσει

δόξης (K 324)· δοκήσεως

δοξοῦσθαι· κατοπτρίζεσθαι. φαντάζεσθαι ⟨v. ἐδοξώθη⟩ [17. 18]

δοράζει· λογχάζει

δορατιζόμενοι· δόρασι μαχόμενοι

δόρα†υτον ⟨v. 2180⟩· κέρας, ἐν ᾧ τὸν γλοιὸν φέρουσιν οἱ ζευγηλάται ὑπὸ τῇ ἁμάξῃ [22]

δοριάλωτος (Eur. Tro. 518)· αἰχμάλωτος, ὑπὸ δόρατος ληφθείς [24]

δορίδες (Anaxipp. fr. I p. 465)· μάχαιραι μαγειρικαί, εἰς τὸ ἐκδεῖραι τὰ θύματα ἐπιτήδειοι

δορίκτητος (Eur. Andr. 155)· αἰχμάλωτος, πολέμῳ κτηθείς

δορίληπτον· †κατηγορούμενον

δορίς· σκεῦος μαγειρικόν [29]

δορκάζων· περιβλέπων ⟨2473. 2479⟩

δόρκαι (Cyprii)· κόνιδες

δόρκανα· ἀκριβῶς. Κρῆτες

δοροί (β 354)· θύλακες δερμάτινοι, κώρυκοι, δέρματα ⟨v. ἄδοροι⟩ [34. 35]

δορπηστός (Ar. Vespp. 103)· ὥρα τοῦ δείπνου

δορπία (Phillyl. fr. II p. 859)· ἡ τῶν ἀπατουρίων πρώτη ἡμέρα οὕτω καλεῖται (Poll. VI 102)

δορπιάζειν· δειπνεῖν

δόρπον (Apoll. lex.)· δεῖπνον [40]

δόρπος· βορά. δεῖπνος [42]

δόρυ· ὅπλον. λόγχη. ἀκόντιον. καὶ πᾶν ξύλον: ἢ δοκόν (Cretes)

δορύαλλος· τὸ τῶν γυναικῶν μόριον, ἀπὸ τοῦ δέρειν, ἐφ' ὕβρει τοῦ τραγῳδοποιοῦ Δορύλλου, οὗ μέμνηται (Ἀριστοφάνης) ἐν Λημνίαις (p. 1001)

†δορύκαι· δουροδόκαι

δόρυ καὶ κηρύκιον [ad 46]

δορύκνιον (Nic. Al. 376)· εἶδος βοτάνης

δορυμήστορας· τοὺς ἐμπείρους τῶν πολεμικῶν

δορυμόλπης· ἡ ⟨ἦν? ὁ?⟩ προηγούμενος τοῦ θυομένου βοὸς τῷ Διί

δορυξε(ῖ)ον· ὅπου τὰ δόρατα ξύεται

δορυξένους· οὓς ἐμπεδοῦν(τας) τὰς ὁμολογίας φίλους ἐποιοῦντο καὶ προσηγόρευον δορυξένους, διὰ τὴν οἰκειότητα τῆς γενομένης πράξεως. Δηλοῖ καὶ τὸν ἀγνίζοντα φόνον, καὶ πρόξενον

Δόρυσσα· οὕτως ἐκαλεῖτο ἡ Σάμος

δορυσσόον (Aesch. Suppl. 182)· ἀνδρεῖον [ad 53] ἢ δόρατι φοβοῦντα καὶ σοβοῦντα [54]

δορυφόνον· [ad 55] Ἀριστοφάνης Δαιδάλῳ (fr. XII). ὅτι δὲ Φιλοκλῆς τῇ λέξει ἐχρήσατο πρῶτος, δηλοῖ Τηλεκλείδης ἐν Πρυτάνεσι (fr. VI). δηλοῖ δὲ τὸν δολοφονοῦντα

COD. 2201 δοναστάν 8 Cf. 2098. 2212 9 δόξαν ἑλεῖν, δόξαν λαβεῖν 10 ὑπ' ἐνίων 12 vid. 2098. 2208 14 δοξηφανῇ ⟨19 χαλάζει EM. 284, 15⟩ 23 δορυ| ⟨25 τράπεζαι Ael. Dionys. 31 δίρκαι Cyr. 39. 171, δίρκοι Cyr. 244 Pausan. Eustath. 368, 10⟩ 44 δορυαλλός — ἐφ' — δοξύλλου — λιμνίαις ⟨alii Δορίαλλος δορύαλος δορίαλος δόριλλος⟩ 47 δορύμνιον 48 δορυμίστορας — πολέμων ⟨50 δορυξόος EM. 283, 31⟩ 52 Δρύουσα infra 55 δεδάλῳ — φιλόκτητος — πρυτανεῦσι

HES. 7 δόξα (Psalm.)· φήμη. τιμή 17 δορά (Genes. XXV 25)· δέρμα ⟨cf. EM. 284, 13 et δόρυ⟩ 18 δόρατα· λόγχαι 22 δορυάληπτον (II Macc. V 11)· δορύληπτον 24 δόρη (Eur. Rhes. 274) καὶ δορῶν ⟨q. v.⟩· ἀντὶ τοῦ δόρατα καὶ δοράτων (Theopomp. com. p. 802) 29 δώροα δῶρα (Diogen. IV 82 e Soph. Ai. 653) 34 δόρπα (I 66 Ω 444)· δεῖπνα 35 δορπῆσαι (η 215)· δειπνῆσαι 40 δόρπον ἑλόμεθα (Λ 729 Arist.)· ἐδειπνοποιούμεθα 42 δόρποισι· δόρποισι. δείπνοις Ad 46: παροιμίαν, ἣν ἔνιοι πιθαναγῆ (l. πειθανάγκην) λέγουσιν· εἴρηται δὲ ἐπὶ τοῦ ⟨τῶν⟩ ἅμα παρακαλούντων καὶ ἀπειλούντων, ἀπὸ τοῦ δόρυ κατέχειν καὶ κηρύκιον (Zenob. III 26 Pausan. Att.) Ad 53: δόρυ ὁρμᾶν 54 δορυφία· καρποφορία ἀγαθή ⟨δωροφορία Cyr. 171⟩ Ad 55: τὸν δολοφονοῦντα

δορυφόρος· ὁπλοφόρος. ὑπασπιστής. ἢ φύλαξ τῶν τυράννων. καὶ πρόσωπον (κωφὸν)

δορυφοροῦντες (Dem. 661, 8)· προβαδίζοντες ἔνοπλοι

δορυφόρους· ἄνω βαστάζοντας τὰ ὅπλα [59]

δορχελοί (Creles)· ἀστράγαλοι [61]

† Δορσάνης· ὁ Ἡρακλῆς παρ' Ἰνδοῖς [63—65]

(Δοτάδης v. Δωτάδης)

δοτῆρα (Aesch. Prom. 612)· δότην ⟨2776⟩

δοτήρ· ὁ διδούς [68. 69]

δοῦλος (Hipponact. fr. 74)· ἡ οἰκία, ἢ τὴν ἐπὶ τὸ αὐτὸ συνέλευσιν τῶν γυναικῶν

Δούλωνα (Com. inc. CXXII)· τὸν μουσικὸν Φιλόξενον, ἐπειδὴ δοῦλος ἐγεγόνει ὁ Φιλόξενος. ἦν δὲ τὸ γένος Κυθήριος [72]

Δούλων πόλις· Εὔπολις Μαρικᾷ (fr. XIX). κώμην γὰρ λέγει Δούλων πόλιν. ἔστι δὲ ἐν Κρήτῃ καὶ Λιβύῃ [74]

δουπῆσαι (N 426)· ψοφῆσαι. ἐν παρατάξει ἀποθανεῖν [76. 77]

δοῦπον· ψόφον. θάνατον. φόβον

δοῦρα· δῶρα (Cyprii). κώπας. καὶ ξύλα [80]

δουρηνεκές (K 357)· ὅσον δόρυ ἐκτείνεται, ἢ ἐφ' ὅσον ἂν ἐνεχθείη βληθέν, διηνεκῶς [82—84]

δουριαλής· αἰχμάλωτος

δουρικλυτός (B 645)· ὁ κατὰ μάχην ἔνδοξος. ἀπὸ μέρους [post 86]

δουρίκτητον (I 343)· αἰχμάλωτον [88]

δούριος ἵππος (Plat. com. fr. XXIV p. 688 Eur. Tro. 14)· Ἀθήνησιν ἐν ἀκροπόλει χαλκοῦς ἐστιν, καὶ ἐξ αὐτοῦ ἐκκύπτουσι δ' [90. 91]

Δουσάρην· τὸν Διόνυσον Ναβαταῖοι, ὥς φησιν Ἰσίδωρος

† δούς· δεσμευθείς (Poll. η 72) [94]

δοχέων·

δοχή (—αὶ Eur. El. 828)· σημεῖον ἐν θυτικῇ [97]

† δοχμαλόν· χαμαίζηλον. ταπεινόν ⟨ΧΘΑΜΑΛΟΝ?⟩

δοχμή· [ ] παλαιστή (Cratin. fr. LXXXVII)

† δοχμῆσι τὸ ἐπικάρσιον. τὸ δόχμιον τὸ πρόσαντες

δόχμια (Ψ 116)· πλάγια, λοξά, κεκαμμένα

δοχμόκορσοι· οἱ πλαγιοχαῖται

ἐκ πάτου· ἐκποδών [1602]

ἔκπαυμα· ἀνάπαυμα

ἐκπεκτουμένη· κτενιζομένη. καὶ τίλλουσα

ἐκ πεδίου· ἐκ τοῦ ἡπλωμένου χωρίου καταστρέψαντος

ἐκπέλει (Soph. Ant. 478)· ἔξεστιν [7]

ἐκπεπαταγμένος (σ 326)· ἐκπεπληγμένος. ἔκφρων ⟨v. 1631⟩

ἐκπεπολέμωται· ἐχθραίνει (cf. Herod. V 73)

ἐκπεπότημαι (Eur. El. 177?)· ἐκπέπληγμαι

ἐκπερδικίσαι (Ar. Av. 768)· τὸ διολισθῆναι καὶ διαδρᾶναι, ἀπὸ τῶν περδίκων μεταφορικῶς· πανοῦργον γὰρ τὸ ζῶον, καὶ διαδιδράσκον τοὺς θηρῶντας [12]

ἐκ περινοίας· ἐξ ἐπινοίας

ἐκ περιουσίας (Dem. Ctes. 3)· ἐκ πλήθους. ἐκ τοῦ ὑπερέχοντος

ἐκ περιτροπῆς· ἐξ ἀποστροφῆς. ἐκ νίκης (v. Herod. II 168)

ἐκπέρσαι· [ad 16] ἑλεῖν, λαβεῖν [17—19]

ἐκπετριδδην· παχύνειν ἱμάτιον. Λάκωνες

ἐκπεφανωμένος· ἀπόπληκτος

†ἐκπεφάν.ωται· ἀπο

ἐκπεφύκασι· βεβλαστήκασι, γεγένηνται [24]

ἐκπηνιοῦνται (Ar. Ran. 578)· ἐκμηρύσεται [26]

ἐκπιμπλάναι· ἀποπληροῦν

ἐκπίνειν· προπίνειν ⟨v. ἐξέπινεν⟩ [29]

ἐκπλαγείς· θαυμάσας [31—34]

†ἐκπλήωρον· ἐκπεπληρωκυῖαν ἑαυτήν

ἐκπλήγνυσθαι (schol. Thuc. IV 125)· ἐκπλήττεσθαι φόβῳ ⟨cf. Moer.⟩

ἔκπληξις· ἐκφόβησις

ἐκπλήξειν· ἐκπλαγῆναι ποιήσειν, ἐκφοβήσειν

ἐκπλήσσει· ἐκφοβεῖ, ἐκπλήττει

ἐκπλίσσοιτο (Hippocr. III p. 120 K)· διάγοιτο

ἔκπλυτον· τὸ παρά τισιν ἐξίτηλον καὶ ἀμαυρὸν βάμμα

ἐκποδών ....· ἐκ μέσου .... ἐξαλείφεσθαι

ἐκποίητος (Isae. 65, 41)· ὁ ἐκδοθεὶς ἑτέρῳ εἰς υἱοποίησιν

ἐκποκιῶ (Ar. Thesm. 567)· ἐκτιλῶ

ἐκπολιορκεῖ· ἐκπορθεῖ, ..πολεμεῖ πόλιν [46. 47]

ἐκπομπή· ἀποστολή (Dem. Herod.) [49]

ἐκπορθεῖ (Eur. Tro. 95)· αἰχμαλωτεύει [51]

ἐκπορίσαι· ἐκβαλεῖν ⟨ad ἐξορίσαι⟩. ἐξανύσαι [53]

ἐκπρεπές· ὡραῖον. παρὰ τὸ λίαν πρέπον

ἐκπρεπῶς (Thuc. I 38)· ἐκδήλως

ἔκπρησιν· ἐκπύρωσιν [57]

ἔκπροθεν ⟨—σθεν?⟩· ἐκ παλαιοῦ

ἐκπροθορών· ὁρμήσας [60]

ἐκπ[τ]ύστων· φανερῶν. ἢ πολλοῖς ἀκουστῶν

ἐκπωλ†εῖσθαι· προγυμνάζεσθαι

COD. 90 ἐκπαλλακίδιοι 91 ἐκπάλιον, ἀκλήροτον 1611 ἐκπερδικῆσαι 20 ἐκπετριαδεῖν ⟨22 ἐκπεφάλωται· ἀπόπληκτος γέγονεν?⟩ 25 ἐκμυρίσεται 36 ἐκπληγύεσθαι 40 ἐκπλήσσοιτο 41 ἔκπλοιτον — ἁλμυρόν 43 εἰς υἱοποιήσαντα

HES. 93 ἐκπλαγότητα· ἐξαισιότητα 94 ἐκπάλτιον· ἔξαλλον, οὐχ ὅμοιον ⟨v. ἐκπάτριον⟩ 97 ἐκ παράλιος (gl. ms. Iobi)· ἐκπαραθαλάσσης 98 ἐκ παράλλου· ἐξ ὁμοίου 99 ἐκ πασέων (I 330)· ἐκ πασῶν 1602 ἐκπάτριον· ἀνόμοιον ⟨v. 1594. 1600⟩ 7 ἐκπελεύει· ἐξωθεῖ 12 ἔκπερι· ἔξεστιν ⟨ἐκπέλει⟩ Ad 16: ἐκπορθῆσαι (A 19) 17 ἐκπέρσαντα (Σ 327)· ἐκπορθήσαντα 18 ἐκπέρσωσιν (A 164)· ἐκπορθήσωσιν ⟨—ουσιν⟩ 19 ἐ(κ)πεσον (A 179)· ἐξέπεσον 24 ἐκπέμψας· ἐκγυμνώσας. ἢ περιβαλ[λ]όμενος ⟨ἐκστέψας — μή?⟩ 26 ἐκπίαρ (A 550)· λιπαρόν 29 ἐκπεφάσσειν· ἐνθουσιᾶν (E 803). ἐξορμᾶν 31 ἐκπιπαταγμένος (σ 326)· ἐκπεπληγμένος 32 ἐκπλαγούμεναι (Eur. Hec. 1157)· ἐκπληττόμεναι. μαινόμεναι 33 ἐκπλαγῶς· ἐξόχως (B 357). θαυμαστῶς 34 ἐκπλαστο (Y 483)· ἐξεπήδησεν 46 ἐκ πολίων (B 131)· ἐκ τῶν πόλεων 47 ἔκπομα (Plat. Symp. 213 E)· φιάλη, ποτήριον 49 ἐκπομῶσαι· πολεμοποιῆσαι 51 ἐκπορποῦσθαι· φιβλοῦσθαι 53 ἐκπρεπῆα· ἐκπρεπῆ (B 483), ὡραῖον, περικαλλῆ 57 ἐκπρίου (gl. ms. Prov. XXIV 11)· ἀγόρασον. ἐλευθέρωσον 60 ἐκπτήσονται (Hos. XI 11)· ἐκπετασθήσονται

ἐκπώματα (Soph. fr. 347)· ἀγγεῖά τινα, ἢ ποτήρια [64. 65]
?ἐκρατύναντο (Δ 215?)· ἐκραταίωσαν
?ἐκρατυνάσθην· ἐκράτυναν. δυϊκῶς
†εκραίνων· ἐτίμων
ἐκρραστωνῆσαι· εὐχερῆ ἀποφῆναι
..εκρατηρίχημες (Sophro fr. 71)· ἐμεθύσθημεν [71. 72]
ἐκρήξω· ἀνοίξω [74—77]
ἐκρόαινον· ἐπεθύμουν ⟨v. κροαίνων⟩
(ἐκροάς, στόμα· ἤγουν πόρους)
ἐκροίην· ἔκρυσιν
ἔκρουεν· ἤσθιεν
ἐκρούσω· ἐπεκρούσω
ἐκρυῆναι· παύσασθαι. παρὰ τὸ ὕδωρ τὸ ἐκρέον [83. 84]
ἐκσκευα· τὰ παρεπόμενα πρόσωπα ἐπὶ σκηνῆς [86. 87]
ἐκστέψας· λόγον γυμνώσας, ἐκκενώσας [89]
ἐκ σῶν· ἐκ τῶν σῶν
ἐκταθῆναι· ἁπλωθῆναι
ἐκταδίην (Κ 134)· μεγάλην, ὥστε διπλῇ χρῆσθαι
ἐκταῖον· αἱ δύο κοτύλαι
ἐκταίους· τοὺς ἐκ χοινίκων ἕξ [95]
ἐκτανθαρύ(ζ)ω· τρέμω [97]
†ἔκταλος· ἀκάνθης εἶδος [99. 1700]
ἐκτεθηλυσμένον (Hippocr. III p. 216)· ἐκτετηκός
ἐκτεθηλυσμένοι· μαλακισθέντες. κεκοπιακότες. ἢ ὡς θήλειαι γενόμενοι
ἐκτεθυμμένα· ἐκτετυφωμένα
ἐκτεθύμμεθα· ἐκτετυφώμεθα
ἐκτείνας· ἁπλώσας, τανύσας [6]
ἐκτείνεται· ἁπλοῦται
ἐκτείνου· ἁπλώθητι

ἔκ τε κονίης· ἐκ τῆς κόνεως
ἐκτενεῖ· ἐπιμελεῖ
ἐκτενές· διατεταμένον
ἐκτέν(.)ια· ἅπλωσις [13]
ἐκτενῶς· προθύμως. ἢ διατεταμένως
ἐκτέον· ληπτέον [16]
ἐκτεταμένως· ἁπλωμένως
(ἐκτεταρβημένον· ἐπτοημένον (cf. 1699)
ἐκτετάφρευτο· ἐξώρυκτο
ἐκτετικότας· ἀποπληρώσαντας. καταβαλόντας
ἐκτετραμ(μ)ένος· ἀπεστραμμένος
ἐκ(τε)τρυχωμένους· καταπεπονημένους. ἐκνενευρισμένους
ἐκ τεφρωδέων (Hippocr. I p. 182 K)· ἐκ τεφροειδῶν ⟨1772⟩
ἑκτήμοροι· οἱ ἕκτῳ μέρει τὴν γῆν γεωργοῦντες [24]
ἕκτη, τρίτη, τετάρτη· νομίσματα ἀργυρίου καὶ χρυσίου καὶ χαλκοῦ.
ἑκτικῶς· σχετικῶς. ἢ κατὰ ἕξιν· ἕξις δέ ἐστι δυσμετακίνητος τρόπος, ἤτοι διάθεσις [27]
ἐκτιλωμένοι· συνηθισμένοι, συνήθεις [post 28]
ἔκτιμα· τὰ ἐπιτεταμένα τῇ τιμῇ
ἐκ τιμημάτων· τίμημα· διανέμησις τῆς πολιτείας. Διῄρητο γὰρ ἡ πολιτεία κατὰ Σόλωνα εἰς τέσσαρα· Πεντακοσιομεδίμνων ⟨Ἱππέων, Ζευγιτῶν, Θητῶν⟩ [31]
ἐκτινύς· ἀποδιδοὺς τιμωρίας [33. 34]
ἐκτίσων· ἀποδώσων [post 35]
ἐκτιστής· ἀποδότης [37. 38]
ἐκ τόκων· ἐκ τοκετῶν
ἐκτολυπεύσας (Hesiod. Scut. 44)· τελειώσας

COD. 70 ἐκρατηρίχθημεν cf. ἐκεκρ— 78b cf. ἐγροάς 88 Paus. Eustath. 1402, 61 93 δέκα 1701 |ισμένον 2 |ισμένο — θηλία 5 ἐκτείνειν (18 ἐτετάφρευτο?) 19 ἐκτετηκότας 22 ἐκτεφ| bis 30 |μέδιμνον

HES. 64 ἐκράενεν· ἐπλήρει, ἐτελείου (Ε 508) 65 ἐκραταίωσεν (Ps. CII 11)· ἐδυνάμωσεν 71 ἐκ ῥεθέων (Π 856)· ἐκ τῶν μελῶν 72 ἐκρήμνησαν (II Macc. VI 10)· κατεκόντησαν 74 ἐκρησσῶν· ἐγρηγορῶν. φυσῶν ⟨ad ἐγρήσσων et ἐκπρήσων⟩ 75 ἐκρίθη (Actt. Ap. XXVII 1)· ὡρίσθη 76 ἐκρίνατο (δ 778)· ἐπελέξατο. ἠρίθμησεν 77 ἔκρινεν (Α 309)· ἐξελέξατο. ἐδίκασεν 83 ἐκσεσοβημένοι (Sapient. XVII 9)· ἐκτεταραγμένοι 84 ἐκσιφωνισθείη (Iob. V 5)· διασκορπισθείη 86 ἐκ σπείρης (Act. Ap. X 1)· ἐκ τάγματος. ἐκ νουμέρου 87 ἔκστασιν (Genes. II 21)· ὕπνον. φόβον 89 ἐκστύψης· ἐκκαύσῃς 95 ἐκταμῆσιν (Γ 62)· ἐκτεμεῖν 97 ἔκταν (Κ 526)· ἔκτειναν 99 ἐκταρβημένον· ἐπτοημένον 1700 ἐκτάσσοντα (IV Regg. XXV 19)· χαράσσοντα, γράφοντα 6 ἐκτελέουσιν (Β 286)· ἐπιτελοῦσιν 13 ἐκτενίαν (Actt. Ap. XXVI 7)· συνεχῶς ποιεῖν τὸ αὐτό 16 ἔκτεμπροι· προσμένοντες 24 ἐκ τῆς ὀσφύος (Genes. XXXV 11)· ἐκ τοῦ σπέρματος 27 ἐκτῖλαι (Ps. LI 7)· ἐκτινάξαι Post 28] (ἐκτιλωμένος·) ὁμοίως 31 ἐκτινάξαι (Iob. XXXVIII 13)· ἀποκινῆσαι 33 ἔκτισαν (λ 262)· ᾤκισαν. κατεσκεύασαν 34 ἐκτίσει (Iob. II 4)· ἀποδώσει Post 35] ἀποδώσας 37 ἐκ τοῖο (Δ 493)· ἐκ τούτου 38 ἔκτοθι· ἐκτός, ἔξωθεν (Ο 391)

ἐκτομάδα· εἶδος δόρατος

ἐκτομάς· περικεφαλαία, ἧς οἱ ὀφθαλμοὶ διαλάμπουσιν

ἐκτομεύς· τομεύς, τμητής

ἐκτομίας· εὐνοῦχος, σπάδων

ἔκτομον (Hippocr. II p. 730 K. Theophr. IX 10, 4)· ἐλλέβορος. καὶ ἄτμητος λιβανωτός [46]

ἔκτοπα· ξένα

ἔκτοπον· ἔξοδον

ἔκτοπον· χαλεπόν. ξένον

ἐκτοπώτατον· ἐξεστραμμένον

ἐκτόπως· ὑπερβολικῶς, μεγάλως, ἀπρεπῶς

Ἑκτόρειοι κόμαι (Timaeus Poll. II 29)· ὡς Δαύνιοι καὶ Πευκέτιοι, ἔχοντες τὴν ἀπ' Ἰλίου τοῖς ὤμοις περικεχυμένην τρίχα [53]

ἐκτορμῶν· ἀπὸ τοῦ καμπτῆρος, ἢ τοῦ σύμπαντος δρόμου ..... [55. 56]

† ἔκτορες· [ad 57] Σαπφὼ δὲ τὸν Δία. Λεωνίδης τὸν κροκύφαντον

ἐκτός· δίχα, πάρεξ, ἢ ἔξω (Ψ 451) [59. 60]

ἐκ τοὔμπαλιν (Thuc. III 22)· ἐκ τοῦ ἐναντίου

ἐκ τοῦ παραχρῆμα (Xen. Hell. VI 4, 11 Plat. Conv. 394, 4 Bkk.)· ἐκ τοῦ αὐτομάτου

ἐκτραγῳδεῖ· ἀποιμώζει, ἀποθρηνεῖ

† ἔκτρας· ἐν ῥυμῷ πάσσαλος

ἐκτραχηλισθῆναι (Demosth. 124, 7)· ἐκπεσεῖν

ἐκτρέπειν (Thuc. V 65, 5)· ἀποστρέφειν ὕδωρ

ἐκτριβῆναι (Herod. VII 120)· ἀπολιφθῆναι. φθαρῆναι [68]

ἐκ τρίτης λόγος· ......

ἐκ τριτημόρου· ἐκ τεσσάρων ἡμιεκτέων

ἐκτροπαί· τρίβοι (Eur. Rhes. 881). προφάσεις. χωρισμοί (Aesch. Prom. 913). καὶ ὀφθαλμῶν τι πάθος

ἐκ τροφωλέων (Hippocr. I p. 182 K)· σποδοειδῶν (1722)

ἐκτρόχαλον· ἔκτροχον ⟨v. ἐπιτρ—⟩

ἐκτρυπῆσαι (cf. Ar. Eccl. 337)· ἐξελθεῖν λεληθότως· (εἰσ)τρυπῆσαι δὲ τὸ παρ(εισ)ελθεῖν

ἐκτρύχωσον· ἔκτριψον

† ἐκτρυωθείς· φθαρείς [77]

ἐκτυφῆναι· ἐκτυφωθῆναι

ἐκ τύμβοιο θορών· ἐκπηδήσας μεγάλως ἐκ τοῦ τάφου, καὶ τῆς γαστρός [80. 81]

ἐκτυπώτερον· κυριώτερον. φανερώτερον

ἐκυΐσκετο· ἐν γαστρὶ ἐλάμβανεν

ἐκυκᾶτο· ἐταράσσετο

ἐκύκων· ἐτάραττον

ἐκύπταζον· † ἐκπλήρωτον

ἔκυπτον· † ἠλογήθην [87]

ἑκυρός (Ω 770)· ἀνδρὸς πατήρ. [πενθερός]

ἑκυρά (Ω 770?)· ἡ μήτηρ τοῦ ἀνδρός. [πενθερά]

ἐκύρησα· εὗρον. ἔτυχον, ἐπέτυχον

ἔκυρσεν (N 145)· τὸ αὐτό

ἐκύρωσαν· ἐβεβαίωσαν

ἔκυσεν (Θ 371)· ἐφίλησεν

ἔκυψεν (Archilochi?)· ἀπήγξατο ⟨v. κύψαι⟩ [95—97]

ἐκφάνδην· φανερῶς. ἢ ἐξειπεῖν

ἔκφαντον· φανερόν

ἐκφανίζεται· μηνύεται

ἔκφατα· πολλά

ἐκφατνίσματα· τὰ ἐκβαλλόμενα, ὅτε καθαίρωσι τὰς φάτνας [1803—5]

† ἐκφοινίξαι· ἀναγνῶσαι

ἐκφοράν· ἔξοδον. ταφήν. ἐκ τοῦ ἐπὶ μνῆμα ἐκφέρεσθαι

ἔκφρηται· ἐκφέρεται

ἐκφροντίζων (Thuc. III 45)· βουλ(ευ)όμενος [10—12]

ἐκ φρυαγμοῦ· ἐξ ἐπαρμοῦ

ἔκφρων· ἐκτὸς φρενῶν. μωρός

ἐκφυλάσαι (Soph. O. C. 285?)· ἐκσπάσαι

ἔκφυλον· τὸ μὴ συγγενές. ἀλλόφυλον

COD. 41 |δια cf. ἀποτομάδα 42 ἐκτομᾶς· περικεφαλαίας 45 ἐκτομόν 52 κώμως, Δ| 57 σαμφώ 91 ἔκυρσαν 1801 ἔκφαντα 2 ἐκφανττίσματα 7 μνήματος διέρχεσθαι 8 ἀφέρεται 13 φρυασμοῦ

HES. 46 ἔκ τ' ὀνόμαζε (Hom.)· καὶ ἔλεγεν. ἐπείθετο 53 Ἑκτόρεον δέ (B 416)· τὸν δὲ τοῦ Ἕκτορος 55 ἐκτορμεῖν· ἐκτετράφθαι τοῦ δρόμου (Pausan. Eustath. 598, 26) 56 ἐκ τόρνης· ἐκ μύθου. ἐκ τοῦ καθήκοντος Ad 57: πάσσαλοι ἐν ῥυμῷ (Ω 272) 59 ἔκτοσθεν· ἔξωθεν (Π 341) 60 ἐκ τοῦ δή (O 69)· ἐξ ἐκείνου τοῦ χρόνου 68 ἐκτριβαί· τριβαί. χωρισμοί. προφάσεις 77 ἔκτρωμα (I Cor. XV 8)· παιδίον νεκρὸν ἄωρον. ἐκβολὴ γυναικός 80 ἐκτύπε (Θ 75)· ἐβρόντα 81 ἐκτύπωμα· ἀλλοίωμα. ὁμοίωμα ⟨v. ἐκμαγεῖον⟩ 87 ἑκυραί (Γ 172)· πενθεραί 95 ἐκφάδην· φανερῶς 96 ἐκφά⟨ᾱ⟩ναι (Sirac. XIX 25)· φανερῶσαι 97 ἐκφαίνει (Sirac. XXIII 19)· δηλοῖ, φανεροποιεῖ 1803 ἔκφανσις· ἀπόδειξις 4 ἔκφερεν (ο 470)· ἐξέφερεν 5 ἐκφάντωρ ...... 10 ἐκφορίαν (Levit. XXV 19)· καρπούς 11 ἐκφορεῖ· ἐπανίζει ⟨σπα—⟩ ὑπάρχοντα 12 ἔκφρασις· ἐπιθυμία ⟨ad ἔφεσις?⟩. λόγος ἐναργής

ἐκφῦναι (Eur. Phoen. 419)· ἐκβλαστῆσαι. γεννηθῆναι [18]

ἔκφυσις· βλάστησις. ἔντερον (δ) ἔνιοι πυλωρόν (Poll. II 207)

ἐκφυσήματα· πέτραι ὑπερέχουσαι τῆς γῆς [21]

ἐκχαρέων· μαγειρείων (Λάκωνες)

ἐκχαυνῶν (Eur. Suppl. 412)· μεταίρων [24]

ἔκχεον· ἔκχυσον (Γ 296?)

ἐκχέων· περιχέων [27—29]

ἐκχυμωθῆναι (Hippocr. III p. 268 K)· ἐκπυῆσαι [31]

ἐκχυμώματα (Hippocr. III p. 61 K)· αἱ πυώδεις συλλογαί

ἔκχωνεν· ἔκκλινεν. Λάκωνες [34]

ἐκψύχουσι (Hippocr. II p. 170 K)· λιποθυμοῦσιν

ἐκωδωνίζοντο· περιβόητοι ἐγένοντο

ἐκωδώνισεν· ἐδοκίμασεν [38]

ἐκωμῴδησεν· διέπαιξεν. διεθρόλλησεν [40]

ἐκώνη (Laced.)· ἔστρεφεν [42]

ἕλα· [43] ἥλιος, αὐγή ⟨1976⟩, καῦμα. Λάκωνες: βάδιζε. λέγε (Pind. Isthm. V [IV] 38. 39) [44. 45]

ἐλάεως· ἀμπέλου εἶδος

ἐλάζετο (non E 371)· ἐκυλινδεῖτο ⟨v. λύζει⟩

ἐλαθερές· ἡλιοθαλπές

ἐλαθρά (Cretice)· ἐλαφρά. [ἡ ἐν ἐλαίῳ ἑφθά

†Ἐλαθύσ.· Διὸς ἱερὸν ἐν Κύπρῳ ⟨v. 1844. 1858⟩

ἐλαία· δίφρου Κυρηναϊκοῦ μέρος [52]

Ἐλαιάεσσα νηδύς· Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι (fr. 419)· ἤτοι λαιάεσσα ἀντὶ τοῦ σκαιά, ἀγρία, ἢ ἀπὸ τοῦ ληΐζεσθαι πάντα ληϊζομένη καὶ κατεσθίουσα, ἢ ἀπὸ τοῦ ἐλαίου λιπαρά ⟨v. νηδὺς ἐλ—⟩

ἐλαΐζων· ἐλαιόχρους

ἐλαιοῦται θρίξ· Σοφοκλῆς Τρωΐλῳ (fr. 567). Ἀρίσταρχος ῥυπαίνεται, βέλτιον δὲ λαμπρύνεται

†ἐλαιοτῷ· ἐλαιοβαθεῖ ⟨—ωτῷ —βαφεῖ?⟩

ἐλαιότρυγον· ἀμόργη

†Ἐλαίους· ἐν Κύπρῳ ὁ Ζεύς ⟨1850⟩

ἐλαιοχύτας· †ἐπεραινόμενος ἐλαιός φαρμακεύς, παρὰ Ῥοδίοις

ἐλαΐς· αἰγίλωψ ⟨v. ἕλιξ⟩

ἔλακεν (Soph. Tr. 824)· ἐφθέγξατο

ἔλακεν· ἐψόφησεν [63—65]

ἔλανος· ἴκτινος

ἐλᾶν· †αφεῖν. ἐλαύνειν

ἐλαπάχθη· συνεστάλη

ἐλάπεδον (Dorice?)· τέμενος [70]

ἔλαρ· βοήθεια ⟨ἔλλαρ?⟩

ἐλάραι· τὰ ἐν τῷ αὐλῷ τῶν δοράτων ἁρμοζόμενα ⟨v. ἄλαρα⟩

ἕλ᾽ Ἄρει· ἔλαβεν, ἐπόρθησεν. καθεῖλεν

ἐλάσαι· φθάσαι. πατάξαι. διῶξαι. ὀρύξαι. ποιῆσαι. ἀγαγεῖν [75. 76]

ἐλασθαίνομεν· ἠκολασταίνομεν ⟨1975⟩

ἐλασία· δίωξις ⟨v. ἀπελ—⟩

ἐλασίκροντα (Ar. Eqq. 623)· ἐλαυνόμενα ὡς αἱ βρονταί· ἐπεὶ δοκεῖ ὄχημα τοῦ Διὸς ἡ βροντὴ εἶναι

ἔλασκεν (Eur. El. 1214)· [80] ἐκάλεσεν [81. 82]

ἐλασμίη· κυρία

†ἐλαπόδω· ἔνρυθμον ⟨πόδα εὔρυθμον?⟩ [85—88]

COD. 19 ἕτερον ἔνιοι πυλωρόψ 23 ἐκχαύων 25 ἔκχρον Post 27. 28 Λάκωνες; cf. 1822 30 ἐκχυμιωθῆναι, ἐκποιῆσαι 32 ἐκχυρώματα· αἱ ποιώδεις 41 ἐκώνη 43 cf. βέλα 44 ἐλατὸ — ἐλοὶ ⟨ἐν Δ.?⟩ 45 ἐλαέος 48 ἡλιοθαλές ⟨ἐλαιθερές?⟩ 53 ἐλαιάδεσσαν. ἡδὺς — σκαιάγρια 56 ⟨ἐλαιόδευτος Cyr. 171⟩ 57 ἐλαιότρωγον ⟨58 Forbiger Geogr. II p. 1044⟩ 67 ἐλαναφεῖν (forte ἐλάναν ἀφεῖν Dorice, coll. ἑλένη) ⟨69 ἐλαόπεδον?⟩ ⟨71 cf. εἴλαρ ἴλαρ⟩ 73 ἐλάργει — ἐπόρησεν ⟨77 cf. λασθ—⟩ ⟨83 Bergk. tit. Arcad. p. XI⟩

HES. 18 ἐκ φυράματος (Rom. IX 21)· ἐκ σπέρματος 21 ἐκφοιτᾷ (Eur. El. 720)· ἐξέρχεται 24 ἐκχείρημα· τόλμη ⟨ἐγχ—⟩ 27 ἐκχοίρηξες· ⟨ἐγχύτριζε⟩ 28 ἐκχοιρηλωμένοι· ⟨ἐγκεχοιριλωμένη⟩ 29 ἐκχυθήσεται (Hos. XII 14)· ἀπλωθήσεται 31 ἐκχύτριζεν· ἔκβαλλε ⟨v. 1827⟩ 34 ἐκ χώρης· ἐκ τῆς χώρας, ἐκ τοῦ τόπου (Z 516) 38 ἐκωθωνίζοντο (Esther III 15)· εἰς τὰ μεγάλα ἔπινον, ἐμεθύσκοντο, ἐχόρευον 40 ἑκών· θέλων (K 372), βουλόμενος (Ψ 434) 42 ἐκώπασεν (Psalm. CV 30)· ἐπαύσατο ⟨1569⟩ Ad 43 [ἐκρίναμεν. καὶ] 44 Ἕλα· τὸ τοῦ Διὸς ἱερόν, ἡ Δωδώνη ⟨2150⟩. καὶ οἱ ἱερεῖς Ἑλλοί 45 ἐλάαν (E 366)· ἐλαύνειν 52 ἐλαίανεν· ἐλέπτυνεν ⟨ἐλέαινεν⟩ 63 ἔλαμαν (Ezech. XL 25)· ὑπέρθυρον 64 Ἐλαμῖται (Act. Ap. II 9)· Πάρθοι 65 ἐλάμος (Ezech. l. c.)· ο(ὐ)δός 70 εἰλαπίνησιν (K 217)· ἑορταῖς 75 ἐλάσασκεν (B 199)· ἐνέπληττεν 76 ἐλᾶσαι· ἐκ χειρὸς ἔτρωσεν (Π 821). ἔσκαψεν (I 349). ἔπληξεν (E 41) Ad 80: [ἤλασεν] 81 ἔλασμα (Ezech. XL 25)· ὑπέρπυρον 82 Ἐλαμῖται (Act. Ap. II 9)· Πάρθοι 85 ἔλασεν· διέτεμεν 86 ἔλασεν· ἤλασεν (Z 158). ἐπέρασεν (P 519) 87 ἐλάσσω (Ev. Ioann. II 10)· μικρόν, ἥττον(α) 88 ἐλάσσωσιν (μ 55. Π 388)· διώξωσι. δι(αγ)άγωσιν

ἐλάστρει· ἐκακοπάθει. † ἐδίωκεν. ἐκυνήγει. ἤλαυνεν
ἐλαστριῶν· διαγινώσκων [91]
ἐλαστρεῖται· ἐλαύνεται. διώκεται
ἐλᾶται· ἡλιοῦται ⟨cf. βελασῆται⟩
ἐλάτη· λαχάνου εἶδος (Epicharm. Ath. 71 A). καὶ κώπη
. . ξέστῃς ἐλάτῃσιν (Η 5)
καὶ αὐτὸ τὸ δένδρον, ἀφ' οὗ ἡ κώπη. καὶ πόλις τῆς Φωκίδος μεγίστη (Herod. VIII 33 Dem. 69, 18). καὶ τοῦ φοίνικος ἡ πρώτη ἔκφυσις (Theophr. fr. 4 de odor. 28, Diosc. I 150)
ἐλατήρ· τὸ πλατὺ πόπανον (Ar. Eqq. 1182), ἀπὸ τοῦ ἐλήλασθαι εἰς μέγεθος, ἢ πέμμα. καὶ ἡνίοχος (Aesch. Pers. 32)
ἐλατήριον (Hippocr. III p. 563 K)· φάρμακον καθαρτικόν
Ἐλάτης· ὁ Ποσειδῶν ἐν Ἀθήναις
ἐλάτῃσι (Η 5)· κώπαις, ὅτι ἐξ ἐλατίνων ξύλων [99]
ἐλατικαὶ κύνες· θηρατικαί [1901]
ἔλατρα· πέμματα πρὸς θυσίαν [καὶ] πλασσόμενα
ἐλατράβιζον· τὸ βωμολοχεύειν καὶ πανουργεῖν λατραβίζειν ἔλεγον [4]
ἐλατρεύς· ὁ τρίτην πύρωσιν ἔχων τοῦ σιδήρου παρὰ τοῖς μεταλλεῦσιν
† ἔλατρον· Εὐκράτης ἐν Ῥοδιακοῖς ἔνδυμα, κατάζωσμα ⟨ἔλυτρον?⟩
ἔλαττον· μικρόν, ἧσσον, ἧττον [8]
ἐλάττωσις· σμικρότης
ἐλαύνει· ποιεῖ. παραβάλλει [11]
ἐλαύνοντες· διώκοντες [ad 12] [13. 14]
ἐλαύνωσιν· θερίζωσιν
ὄγμον ἐλαύνωσιν (Λ 68)
...... ἐλάσαι γὰρ τὸ ἐκ χειρὸς πλῆξαι
ἐλαφίαι· οἱ τῶν ἐλάφων ἀστράγαλοι

ἐλαφίνης· νεβρός
ἐλάφιον· κώνειον (Diosc. Noth. IV 28)
ἐλαφηβόλος (Σ 319)· κυνηγός. ἀπὸ εἴδους ἑνὸς τῶν κυνηγουμένων
ἐλαφοβοσκός· εἶδος βοτάνης (Diosc. III 80)
ἐλαφογενές· τῆς ἐλάφου ὁ μυελός [21]
ἔλαφος· νεβρός
ἐλάφου πηρίς (Nic. Ther. 585)· οὗτος δοκεῖ βρωθεὶς πρὸς συνουσίαν ἁρμόζειν
ἐλαφρά· τὰ μὴ βαρέα. ἢ κοῦφα
ἐλαφρία· μωρία [26]
ἐλαφρίζων (Archil. fr. 86b)· παρασκευαζόμενος ῥᾳδίως
Ἐλαφρός· εὐβάστακτος. κοῦφος. ἢ Ζεὺς ἐν Κρήτῃ
ἐλάχαινεν (ω 242)· ἔσκαπτεν. ὡμάλιζεν· ἀφ' οὗ καὶ τὸ λάχανον [ad 30] [31]
ἐλαχία· ἑδάρη. Κρῆτες ⟨v. λαυξία⟩
ἐλαχίζει· πλανᾶται
ἐλάχιστος· μικρὸς πάνυ, ὕστερος, ἔσχατος [35]
ἐλαχύν· εὐτελῆ. ἢ μικρόν
ἔλαψα· διέφθειρα. Κύπριοι [38—40]
ἔλδωρ· ἐπιθυμία [42]
ἐλεά· κάνεα, πλέγματα [ad 43]
ἐλέαγνος (Theophr. HPl. IV 10, 1)· φυτὸν θαμνῶδες
ἐλεαίρει (Β 27)· οἰκτείρει, ἐλεεῖ
ἐλεαίρεις· ἐλεεῖς (Ζ 407), οἰκτείρεις (Ar. Eqq. 803)
ἐλεᾶς (Ar. Avv. 302)· ὀρνέου εἶδος
ἐλέατ(ρ)οι (Artemidorus)· οἱ δειπνοκλήτορες [49]
Ἐλεατ.'ς· κατὰ μὲν Ἀπολλώνιον Ἐλεατικός, ἀπὸ πόλεως Ἐλέας, διὰ τὸ Φωκαέων εἶναι τοὺς Ἐλεάτας ἀποίκους
ἐλέβορον· δηλητήριον φάρμακον. ἤτοι βρῶμα [52]

COD. 92 ἐλαστροῦται 94 ξεστῆς ἐλάτη., καὶ ⟨96 Schol. Aesch. Cho. 968⟩ 1909 σμ.ικρότισις 16 ἐλάφιαι 18 κώνιον ⟨20 —όβοσκον?⟩ 24 πέρις 25 βαθέα ⟨33 cf. ἐλιχάζει, ἐλλυχᾶται⟩ 47 ἐλέας 48 ἐλεατοί 51 δηλιτ|

HES. 91 ἔλαστρον (Σ 543)· ἤλαυνον ⟨1904⟩ 99 ἐλάτη (ε 239)· εἶδος δένδρου 1901 ἐλατόν· ἔλασιν. ἢ ἠλισμένον ⟨ἀλετόν· ἄλεσιν. ἢ ἀληλεσμένον⟩ 4 ἐλάτρευον καὶ ἐλάστρευον· ἐδίωκον ⟨1890⟩ 8 ἐλαττούμενον (Sirac. XXV 2)· λειπόμενον 11 ἐλαύνετον (Λ 575)· μακρὸν ποιεῖτε. [ἐλαύνητον]. ἐνποιεῖτε. κινεῖτε Ad 12: τύπτοντες (Η 6) 13 εἰρεσίαν· κωπηλα[τη]σίαν 14 † ἐλαύτατον· δεινότατον ⟨cf. ἐλλύτατον; forte ἐλεώτατον· ἐλεινότατον⟩ 21 ἔλαφον κεραόν (Γ 24)· ἄρρενα. ὁ γὰρ ἄρρην ἔχει κέρατα 26 ἐλαφρία (II Cor. I 17)· κουφότης ⟨—τι Cyr. 171⟩ Ad 30: ἢ τὸ μεγάλως χαῖνον, ἢ χαῦνον 31 ἐλαχία (ι 116)· μικρά. ἢ βαθύγειος, καὶ εὔγειος ⟨v. λάχεια⟩ 35 ἔλαχον· ἐκληρωσάμην (Ι 367). ἐκληρώσαντο (Κ 430) 38 ἐλγόωνται· ἐλπίζουσιν 39 ἔλδεται (Ε 481)· ἐπιθυμεῖ 40 ἔλδομαι (ε 219)· [ἐλδῶ.] ἐπιθυμῶ. θέλω 42 ἕλε· λάβε (Ξ 272). κάτασχε. ἢ ἔλαβεν (Λ 197) Ad 43: [κατάκλισις. κρύψις ⟨ad ἀλέα⟩] 49 Ἐλεαλή (Num. XXXIII 37)· Θεοῦ ἀνάβασις, ἐν ὑπερηφανείᾳ ...... 52 ἐλεγεινή· χαλεπή (Λ 398)

ἐλεγεῖα· τὰ ἐπιτάφια ποιήματα ⟨1966⟩

ἐλεγεῖαι· εὐμελίαι [55]

ἐλεγκτά· ἐπονείδιστα, ἐλέγχους ἄξια, εὐεξέλεγκτα

ἐλέγξεις (*I* 522)· ὀνείδει περιβαλεῖς ἢ ἐλέγχῳ [58. 59]

(ἐλέγχει· ψηλαφᾷ cf. ἐλέχει)

ἐλεγχέμεν· ἐλέγχειν

†ἐλεγχές· αἰσχρόν [62]

ἐλεγχθεῖσαι· αἰσχυνθεῖσαι

ἐλεγχείη (Ψ 342)· ὄνειδος, μέμψις, αἰσχύνη [65—69]

ἐλεδώνη (Arist. HA. IV 1 p. 525. 17)· ὁ πολύπους, (ὀσμυλίας ἰχθῦς) [71. 72]

Ἐλεήμων· ἐν Κύπρῳ καὶ Χαλκηδόνι Ἀφροδίτη

ἐλέηρεν (Φ 147?)· ἐλέησεν

†ἐλεθαινομένη· ἀκολασταίνουσα ⟨1877⟩

ἐλεία. ἢ ἕλα· ἡ τοῦ ἡλίου αὐγή ⟨1843⟩. ἢ πόμα ⟨πόλις?⟩. ἢ ὕδωρ ἅλας ἔχον. καὶ εἰδός τι μέλους. καὶ Ἥρα ἐν Κύπρῳ. καὶ Ἄρτεμις ἐν Μεσσήνῃ

ἐλείη (Galen. lex. 464)· ἀγρία νόσος [78]

ἐλειθερεῖ· εὐδία

ἐλειθερεῖς· ἐν ἡλίῳ τιθέμενοι, ἢ θερμοί

ἐλειογενές· ὄρυζα

ἐλειόρ(ρ)ιζον· κύπειρος

ἐλειός· εἶδος ἱέρακος

ἐλειούς· Ἀρίσταρχός φησι γίνεσθαι ἐν τοῖς φρυγάνοις ὡς σαύρας. ὁ δὲ Καλλίστρατος σκωληκοειδές τι, ᾧ χρήσασθαι εἰς δέλεαρ τοὺς ἁλιεῖς· εἶναι δὲ ἐν ταῖς δρυσίν. οὐκ (εὖ). ἔστι γὰρ ζῷον τετράπουν ὁ ἐλειὸς καλούμενος μῦς, ὁ σκίουρος ⟨v. εἰλιός⟩ [85]

ἐλελεῦ (Callim. fr. CCCX)· ἐπιφώνημα πολεμικόν. οἱ δὲ προαναφώνησις παιανισμοῦ. τίθησι δὲ αὐτὸ Αἰσχύλος ἐπὶ σχετλιασμοῦ ἐν Προμηθεῖ δεσμώτῃ (877)

ἐλελιζομένη (cf. Arist. fr. XIV p. 1153)· σειομένη [88. 89]

ἐλέλιξεν· διέσεισεν, ἐκίνησεν (*Λ* 530), ἐκράδανεν. συστραφῆναι ἐποίησεν ⟨cf. λέλιξε, ἠλήλιζον⟩

ἐλελίστροφε· εὔστροφε. δλόστροφε (Lactant. f. r. I 7)

ἐλελίσφακος (Theophr. VI, 1, 4 Nic. Ther. 84)· πόα τις ὁμοία δικτάμῳ

ἐλελιχθέντες (*Λ* 587)· συστραφέντες. συναχθέντες

ἐλελίχθημα· σεισμόν

ἐλελιχθῆναι· συστραφῆναι, †μεταβάλλεσθαι [96. 97]

ἔλεν· [98] ἐνίκησεν

ἐλέν(ε)ια· ἑορτὴ ἀγομένη ὑπὸ Λακώνων

ἐλένιον· βοτάνη τις, ἥν φασιν Ἑλένην σπεῖραι πρὸς τοὺς ὄφεις, ὅπως βοσκόμενοι ἀναιρεθῶσιν [2001]

ἑλένη· λαμπάς, δετή ⟨1867⟩

ἐλένιος· ἀγγεῖον. χωροῦν τέταρτον (Poll. X 191) [4]

ἐλενοί· κλήματα τὰ τῶν ἀμπέλων ⟨ἔλινοι?⟩ [6]

ἐλεξάτην· ἐκοίμησαν. δυϊκῶς [8]

ἔλεξεν· εἶπεν (Callim. LM. 91). ἠρίθμησεν. κατέκλινεν. ἐπέλεξεν

ἐλέξω· διελογίσω [11]

ἐλεοῖσι (*I* 215 ξ 432)· μαγειρικοῖς τραπεζίοις. καὶ οἱ μὲν δασύνουσιν, ἵνα ᾖ τοῖς ἐκ λύγων πεπλεγμένοις τῶν ἐξ ἕλους ληφθέντων· οἱ δὲ ψιλοῦσιν, ἐξ ἐλαΐνων εἶναι ξύλων τὰς τραπέζας λέγοντες

COD. 57 ὀνείδη ⟨70 v. δελεδώνη⟩ 73 χαλκηδονία ⟨75 ἐλεγαινομένη?⟩ 76 μεσίνη (in his nonnulla spuria) 79 εὐδία 80 ἐλειτεθερεῖς 81. 82 ἐλειο| 84 σκίουργος 86 ἐλέλευ 97 ἐλεμοσπέρμα ⟨v. 2236. 2100 et EM. 333, 34⟩ (2002 ἐλάνη Amerias al. Ath. 699 D. 701 A; cf. σελαίναι) 5 EM. 330, 39 7 ἐκοιμήθησαν 9 ἔπλεξεν 12 ὅλους

HES. 55 ἐλέγξει (Iob. XIII 10)· βασανίσει. ἐργάσει 58 ἔλεγξις (Iob. XXI 4)· ὀνείδισις, ἀτιμία, ὕβρις 59 ἐλεγχέες (*Δ* 242)· ἐπονείδιστοι 62 ἐλεγχθεεῖς (*Δ* 242)· ἐπονείδιστοι 65 ἐλέγχιστος (*Δ* 171)· ἐπονείδιστος, αἴσχιστος 66 ἔλεγοι· μῦθοι. ᾠδαί, θρῆνοι. ἔνθεν καὶ ἐλεγεῖα τὰ ἐπιτάφια ποιήματα ⟨1953⟩ 67 ἐλεεῖ· οἰκτείρει ⟨1945⟩ 68 ἐλεεινά· οἰκτρά. οἰκτρῶς, ἐλεεινῶς (*B* 314) 69 ἐλεεινοί· ταλαίπωροι 71 ἑλεῖν· λαβεῖν (Θ 319). ἀνελεῖν (*E* 118) 72 ἐλεειστή (*I* 408)· λεπτή 78 ἐλεήσατο (Eur. Tro. 866)· ἐξεχμαλώτευσεν ⟨v. ἕλῃη—⟩ 85 ἐλεινύειν (Ar. Thesm. 598)· στραγγεύεσθαι ⟨2102⟩ 88 ἐλέλικτο (*N* 558)· συνέστραπτο 89 ἐλελιξάμενος· σείσας. ἐπιστραφείς (*B* 316). συστρέψας 96 ἐλελίχθησαν (*E* 497)· μεταβαλλόμενοι συνεστράφησαν 97 ἔλεμος (Aristoph. fr. XI p. 1112)· στέρμα, ὅπερ ἕψοντες Λάκωνες ἐσθίουσιν Ad 98: ἔλαβεν (*E* 136). ἀφεῖλεν (Θ 256) 2001 ἐλέννας· ἐχλεύαζεν, ὕβριζεν ⟨ἐδέννάζεν⟩ 4 ἐλείπαναν (gl. sacr. XII proph.)· πλουσίαν ἐποίησαν 6 ἐλεντύν (ξ 82)· ἔλαιον 8 ἐλέξατο (*I* 662)· ἐκοιμήθη 11 ἐλεόθρεπτον (*B* 776)· τὸ ἐν ἕλει τραφέν, ἢ ἑλοτρεφές (non Nic. Ther. 597)

ἐλεόν (Ar. Eqq. 152)· μαγειρικὴ τράπεζα, ἰκρίον, κανοῦν [14]

ἐλέποκες· ἰχθῦς ὅμοιος φυκίδι ⟨v. λελεπρίς⟩

ἐλεπόδιον· εἶδός τι † βάναυσος

ἐλεπόλεις· μηχανήματα, οἱ κριοί, ἢ οἱαδήποτε, δι' ὧν αἱ πόλεις καθαιροῦνται. παρὰ δὲ Κρησὶ τὰ τῶν πολέμων ὄργανα

ἐλέπουν· οἷον ἐλέπιζον τύπτων καὶ μαστιγῶν

ἐλέσθαι· θέλειν [ad 19] [20]

† ἐλέταιον· ἔπαιον, ἐπάτασσον ⟨ἔλεπον⟩ [22]

ἐλέτην (E 576)· εἷλον, ἔλαβον (Λ 328). ἀπέκτειναν (Π 8). δυϊκῶς [24]

ἐλεύθεραι αἶγες ἀρότρων· τοῦτο παροιμιωδῶς ἐλέγετο ἐπί τινος ἀπολ(ε)λυμένου [26]

Ἐλευθέριος Ζεύς (Thuc. II 71)· .... τῶν Μήδων ἐκφυγόντες ἱδρύσαντο τὸν Ἐλευθέριον Δία. τοῦτον δὲ ἔνιοι καὶ Σωτῆρά φασι. τιμᾶται δὲ καὶ ἐν Συρακούσαις καὶ παρὰ Ταραντίνοις καὶ ἐν Πλαταιαῖς καὶ ἐν Καρίᾳ ὁ Ἐλευθέριος Ζεύς

ἐλεύθερον ὕδωρ (Antiph. fr. I vol. III p. 11)· ἐν Ἄργει ἀπὸ τῆς † συναγείας ⟨Κυναδείας⟩ πίνουσι κρήνης ἐλευθερούμενοι τῶν οἰκετῶν, διὰ τὸ καὶ τὸν Κέρβερον κύνα ταύτῃ διαδρᾶναι καὶ ἐλευθερωθῆναι

Ἐλεύθερος ⟨—υθερεύς ?⟩· Διόνυσος ἐν Ἀθήναις, καὶ ἐν Ἐλευθεραῖς

ἐλευθεροστομῶ (Tragici)· παρρησιάζομαι [31]

Ἐλεύθω (Callim. Del. 276 non Pind. Ol. VI 41)· ἔρχομαι. Εἰλ(ε)ίθυια. (καὶ μία τῶν Εἰλειθυιῶν καὶ ἐπώνυμον Δήμητρος παρὰ Ταραντίνοις καὶ Συρακοσίοις)

Ἐλευσίνια· ἀγὼν θυμελικὸς ἀγόμενος Δήμητρι. Παρὰ Λάκωσιν καὶ ἐν Σικελίᾳ τιμᾶται Ἄρτεμις, καὶ Ζεὺς Ἐλευσίνιος παρ' Ἴωσιν

ἐλευσίω· οἴσω

ἐλεύσομαι (non Hom.)· ἔρχομαι, ἐπανέλθω

ἐλεφαίρειν· ἀπατᾶν

ἐλεφαίροντα (cf. τ 565)· ἐξαπατῶντα. βλάπτοντα. ἀδικοῦντα [38. 39]

ἐλέφαντα (Δ 141)· τὸ ἐλεφάντινον ὀστοῦν· ὡς δ' ὅτε τις (τ') ἐλέφαντα γυνὴ

οἱ δὲ λευκὰ ἔρια. καὶ φυτὸν τρεῖς χόας χωροῦν. ἔνιοι δὲ καὶ τοὺς ὀδόντας. καὶ τὸ σωματικὸν [ἢ] πάθος

ἐλεφάντινα· λευκά (E 583 ?)

ἐλεφῆραι· ἀπατῆσαι

† ἐλεφηρέα· ἢ βάψαν. ἢ βλέφαρα

ἐλεφηράμενος (Ψ 388)· β(λ)άψας. διαψευσάμενος [45—37]

† ἐλευσέαν· τὴν βρυωνίαν

ἔλεψεν (A 236)· ἐλέπισεν

Ἐλεών· πόλις τῆς Βοιωτίας (B 500). καὶ θάμνος ⟨ἐλαιών ?⟩. καὶ ὄφις, ὃν ἔνιοι σκυτάλην ⟨q. v.⟩ καλοῦσιν

ἐλεώτερον· ἐλεεινότερον

ἔλη· σύνδενδροι τόποι

ἐληΐζοντο· διηρπάζοντο

ἐληΐσατο (Eur. Tro. 866)· ᾐχμαλώτευσεν. διήρπασεν, ἀφείλατο, ἐλῄστευσεν

ἐληΐσθη· ἐλῃστεύθη [56]

ἐληλάμενον· ἠλασμένον [58. 59]

ἔληξαν· ἐπαύσαντο [61. 62]

ἐλθετῶς· ἀντὶ τοῦ ἐλθέ. Σαλαμινοί ⟨—ίνιοι⟩ [64. 65]

ἐλιάνθη· ἐχλιάνθη [67]

ἐλιάσθη (O 543)· ἐκλίθη, ἐστράφη, ἔφυγεν. ὤλετο. ἔπεσεν. ἀπεχωρίσθη ⟨v. ἀλιάσθη λιάσθη⟩

ἐλίβοτρυς· ἄμπελός (Eur. Bacch. 651 ?)· τις μέλαινα [70. 71]

COD. 13 ἠκρίον (Poll. IV 123), κανοῦ; cf. ἐλεά 17 ὄντα ⟨18 ἔλεπον?⟩ 20 |σθαι ter cod. 23 cf. διελέτην 27 Καρίαις (schol. Plat. p. 466 Bkk.) 32 cf. ἐπιλυσαμένη 32 θεμελικός 44 ἐλεφηρόμενος· βάψας 54 ἐλχίσατο 63 Curtius Z. f. vgl. Spr. VIII 4 p. 294 Th. Bergk de titul. Arcad. p. IX, 16

HES. 14 ΕΛΕΟC· οἶκτος. ἢ ἕλους (Δ 483), συνδένδρου τόπου, ἢ καθύδρου Ad 19: λαβεῖν (K 501) 20 ἕλεσθε· λάβεσθε (E 529). παρασκευάσασθε (H 370 Σ 298) 22 ἐλετή (I 409)· ληπτή, αἱρετή ⟨v. ἐλεειστή⟩ 24 ἕλετο· ἔλαβεν (Π 58), ἀφείλετο (I 368) 26 ἐλεύθερον ἦμαρ· τὴν ἐλευθερίαν (Z 455). περιφραστικῶς 31 ἐλεύσεως (Actt. Ap. VII 52)· ἀφίξεως 38 ἐλεφαιρεῖται· βλάπτει. ἀδικεῖ 39 ἐλεφαντίασις· εἶδος λέπρας 45 ἐλέχει· ψηλαφᾷ 46 ἐλέ.χθη (Γ 188)· ἠριθμήθη 47 ἐλέγχμην (ι 335)· ἐξηλεγχόμην 56 ἐληλακότες (Ioann. VI 19)· διαπεράσαντες, ὁδεύσαντες 58 ἐλήλατο (K 153)· ἐλήλασεν. ἢ ἥρμοστο. ἢ (ἐ)πεπερόνητο 59 ἐλελᾶται· συνέχεται (Π 518). πεπερώνηται 61 ἔληται (H 71)· πορθήσηται 62 ἐλθέμεν (Δ 247)· ἐλθεῖν 64 ἔλθητον (K 444)· ἔλθητε. δυϊκῶς 65 ἐλθοῦσα (Γ 162)· ἀπελθοῦσα ⟨παρ—⟩ 67 ἐλίασεν (Aristarch. Ψ 879)· ἐτίναξεν 70 ἔλυγεν· ὤλισθεν ⟨v. ἐξέλιπον⟩ 71 ἐλίγαινον (Λ 685)· ὀξὺ ἀνεβόων ⟨v. λιγ—⟩

†Ἐλυγεὺς· Διόνυσος ἐν Σάμῳ

ἐλίγματα· ψέλλια

ἐλιγμόν· γῦρον

Ἐλιεύς· Ζεὺς ἐν Θήβαις

ἕλικα· κύκλον. ἐνώτια. ἢ δακτύλιοι. ἢ τὰ περὶ τοὺς καρποὺς ψέλλια

ἕλικας (Σ 425)· ἑλικοκεράτους, ἐπικαμπῆ τὰ κέρατα ἔχοντας

ἕλικες· τῆς ἀμπέλου τὰ κληματώδη. ἢ ἐνώτια. ἢ ψέλλια. ἢ δακτύλιοι. ἢ ἐλίγματα

Ἑλίκη· πόλις (Β 575) [ ]. καὶ ἡ ἰτέα (Arcades ap. Theophr. III 13). τινὲς καὶ σπέρμα τοῦ ὑοσκυάμου [ad 79]

ἑλικηδόν (Theophr. III 1, 13)· κυκλοειδεῖ στροφῇ [81]

ἑλικοβλέφαρος (Pind. Pyth. IV 305?)· καλλιβλέφαρος

ἑλικοειδῶς· κυκλοειδῶς [84]

ἑλικοί· οἱ ἀσφοδελοί

ἑλικόν· ὀρθόν. καὶ μέλαν. περιφερές [87]

ἑλικτά (Eur. Andr. 448)· στρεβλά, σκαμβά [89—92]

ἑλικτῆρες (Aristoph. fr. VI 14 p. 1079)· ἐνώτια ⟨911⟩

ἑλικτοτέρας· πολυπλόκους

†ἑλίκων· ἀπὸ χειρὸς νῆμα τὸ φερόμενον ἐν τῷ ἀτράκτῳ

Ἑλικωνίδων μουσεῖα. [ὡς ἐπὶ τὴν γῆν

†Ἑλικῶπας πλοκάμους· ἀντὶ τοῦ ἑλικούς

ἑλίκωπες (Γ 190)· μελανόφθαλμοι. ἢ ἑλικοὶ κατὰ πρόσοψιν, ἀνακεκλασμένα ἔχοντες τὰ βλέφαρα. ἢ περιφερεῖς τὰ πρόσωπα

ἑλικωπῷ· εὐοφθάλμῳ [2100]

ἑλίμαρ· κέγχρῳ ὅμοιον

†ἑλίνη· ἡ μελίνη [ὑπὸ Λακώνων

ἐλινύειν (Ar. Thesm. 598)· σχολάζειν, λήγειν, ὀκνεῖν, ἀναπαύεσθαι ⟨2164⟩, στραγγεύεσθαι ⟨1985⟩, ἢ διατρίβειν ⟨ex onomastico?⟩

Ἐλινύμενος· Ζεὺς ἐν Κυρήνῃ [5]

ἕλιξ· νέος κλάδος. μέλας. καὶ ὁ αἰγίλωψ ⟨2167. 1860⟩. καὶ ἡ κατάγραφος καὶ ἡ ἀναγλυφὴ παρὰ τοῖς ἀρχιτέκτοσι (Ath. V 206 B). †καὶ ὁ καρπός. καὶ ψέλιον. καὶ τοῦ ὠτὸς ἡ περιοχή. καὶ δεσμός τις. ἢ τύλιγμα. ἢ †παράκλησις [7]

ἑλίξας· (π)λέξας. [8] (συ)στρέψας (Eur. Phoen. 1622)

ἑλιξόκερως· στρεβλόκερως [10]

ἐλιπάρει· ἠξίου, ἐκολάκευε, παρεκάλει ⟨2428⟩

ἐλιπάρησεν· ὁμοίως

Ἐλιπεύς· ὁ Ἐνιπεὺς ποταμός

ἔλιπτεν (schol. Nic. Th. 126)· ἐπιθυμητικῶς ἤσθιεν [15. 16]

ἑλίσσει· πλέκει [18]

ἑλίσσετο· (ἐλιτάνευε Φ 71) ἢ παρεκάλει (Α 15), ἐδέετο .....

ἑλίσσεσθαι· στρέφεσθαι [21]

ἑλισσομένου· εἱλουμένου

ἑλίσσων· πλέκων. ψευδόμενος, οὐκ ἐπὶ εὐθείας λέγων. ἢ †κοινόν. Εὐριπίδης Σισύφῳ (fr. 675)

ἐλίστρευον· ἐστράτευον ⟨ἐτάφρευον?⟩

ἐλιφαίμησεν· ἔξαιμος ἐγένετο

†ἑλιχάζει· πλανᾶται ⟨v. ἐλαχίζει⟩ [27]

ἑλιχνῶντο· τοῦτο πέπαικται ἐπὶ τοῦ λιχνεύειν παρὰ Ἀριστοφάνει ἐν Εἰρήνῃ (vers 756)

ἑλίχρυσος· τὸ ἀρρενικὸν οἱ μὲν (τὴν βοτάνην) οἱ δὲ τὸ ἄνθος τῆς ἑλιχρύσου βοτάνης [30]

ἕλκανα· τραύματα

COD. 74 ἐλιγρόν· ὑγρόν 78 ὀμματώδη 80 ἐλίκηδον κυκλοειδὴς τροφῇ 69 ἑλικωνιᾶ, μουσεῖα 2103 στρατεύεσθαι 6 καλός ⟨κλάδος Cyr. Dr.⟩ — περιαγωγὴ Poll. II 86 11 |ευσεν 13 ἔλιπεν Post 13 ἕλις· μόνος καὶ ὅλος (cf. ἕνς) 19 εἰπαρεκάλει 22 ἠλουμένου 28 ἑλίχνων — πεποίηται 29 οἱ μὲν τὸ ἀρρενικὸν οἱ δὲ — ἐνχρύσου

HES. Ad 79: [Βοιωτίας] — [ἐν ᾗ Ποσειδῶν τιμᾶται] 81 ἕλικι (XLIX 11)· κλήματι ἀμπέλου 84 ἕλικας βοῦς (Hom.)· ἤτοι ἀπὸ τῶν κεράτων, ἢ ἀπὸ τῶν ποδῶν ἑλικοειδεῖς. ἑλικὸν γὰρ τὸ συνεστραμμένον 87 ἕλικος βοὸς ἀμφὶ φονῇσι (Ο 633)· περὶ (μελαίνης) βοὸς (ἐν) φόνοις κειμένης 89 Ἑλικώνιον ἀμφὶ ἄνακτα (Υ 404)· .... 90 ἑλίκωπας (Γ 234)· εὐοφθάλμους 91 ἑλίκωπες (Α 390)· οὐλότριχες 92 ἑλικώπιδα (Α 98)· εὐόφθαλμον. εὐειδῆ 2100 ἑλελίχθησαν (Ζ 106)· συνεστράφησαν 5 ἐλινύων· ἀναπαυόμενος ⟨Moer.⟩ 7 ἑλιξάμενος· ἐπιστραφείς (Μ 408) Ad 8: κάμψας (Ψ 466) 10 ἐλίπανας (Ps. XXIII 5)· ἤλ(ε)ιψας. ἐφαίδρυνας. πλουσίαν ἐποίησας 15 ἑλισμός ⟨θελεμός?⟩· ἥσυχος 16 ἑλισθείς· ἑλίσας ἑαυτόν (Ω 510) 18 ἐλίσθη (Ψ 393)· ἔπεσεν ⟨cf. ἐλύσθη, ἠλύσθη, ὄλισθε⟩ 21 ἑλισσομένη (Α 317)· εἱλουμένη ⟨ἠπλ— cod.⟩ 27 ἑλιχθέντων (Μ 74)· συστραφέντων 30 ἑλιττόμενος (Χ 95)· στρεφόμενος

ἑλκανῶσα· ἡλκωμένη, ἡ ἡλκοποιημένη ὑπὸ πυρός [33—40]

ἕλκη· λῦπαι. Σοφοκλῆς Τριπτολέμῳ (fr. 553)

ἑλκηΐς· ἡ λιθάργυρος [43. 44]

ἑλκοποιόν· κανθαρίς

ἕλκυσον (Plat. Parmen. p. 135 D)· σῦρον

ἑλκυστάζων· ἕλκων (Ψ 187), παρασύρων

ἑλκυστῆρα· φορβεάν, ἤτοι καπίστριον

ἑλκυστῷ (C. I. 2719, 21)· λείῳ

Ἑλλά ⟨1844⟩· καθέδρα. Λάκωνες. καὶ Διὸς ἱερὸν ἐν Δωδώνῃ (καὶ οἱ ἱερεῖς Ἐλλοί [51]

Ἑλλάς· πόλις ἐν Θεσσαλίᾳ (Β 683). καὶ τὸ ἔθνος (Thuc. I 6). ἡ Ἀχαΐα. καὶ ἡ αὐτόθεν γυνή [53]

ἑλλέβορος· βοτάνη, ἣν ἐσθίουσιν οἱ ὄρυγες. ἢ κόσμος γυναικεῖος χρυσοῦς (Aristoph. II 2 p. 1079)

?Ἑλλεσίη· ἡ Ἀθηνᾶ ⟨ἀγελείη?⟩

?ἕλλειν· ἴλλειν. κατέχειν ⟨2173. 2250⟩

ἑλλεδανοί· δεσμοί, σχοῖνοι [58]

ἔλλερα (Callimach.)· ἐχθρά, πολέμια. ἄδικα

?ἐλλείχοντα τῶν Ἀθηνῶν· ..... οἱ δὲ ἀττικίζοντα, ὃ καὶ ποιοῦσιν οἱ πρόσγραφοι, ἵνα φαίνωνται ἀστοί. Ἐλλείχοντα δὲ ἐμφορούμενον, ἀπὸ τῶν τὸ μέλι λειχόντων

Ἕλληνες· οἱ ἀπὸ τοῦ Ἕλληνος, τοῦ Διός. ἢ φρόνιμοι, ἤτοι σοφοί

Ἑλληνοδίκαι· οἱ (ι′) κριταί, οἱ καθήμενοι εἰς τοὺς ἀγῶνας ⟨v. δίαρχοι⟩

Ἑλληνοταμίαι (Thuc. I 96)· οἱ τοῦ κομιζομένου φόρου παρὰ Ἀθηναίοις ταμίαι [64]

Ἑλλήσποντος· ποταμὸς ἐπὶ τῆς παραλίας. ἡ μεταξὺ Τροίας καὶ Χερρονήσου θάλασσα

ἑλλίζων· τίλλων ⟨v. col. 340, 24. 26⟩ [67]

ἑλλόβια· ἐνώτια [69]

ἐλλόγιμος· γεγραμματισμένος [71]

Ἑλλοί· Ἕλληνες οἱ ἐν Δωδώνῃ, καὶ οἱ ἱερεῖς (Π 234?)

ἐλλόμενα· περικλειόμενα ⟨2156⟩

ἐλλόν· ἀγαθόν (Cretes). γλαυκόν. χαροπόν. ἐνθαλάττιον. ταχύ. ἄφωνον. ὑγρόν. ἐλάφου νεογνόν (τ 228)

ἔλλοπες· ἐλλιπόντες τῆς ὀπός, τουτέστιν ἄφθογγοι, ἄφωνοι (Cretes). καὶ οἱ λεπιδωτοὶ καὶ δασεῖς. καὶ τραχεῖς. [καὶ ποικίλοι ⟨τ 228⟩

ἐλλόπιδας· ἡ λέξις παρὰ Κρατίνῳ (fr. LX p. 197). γέγονε δὲ παρὰ τοὺς ἐλλούς, καὶ λέγει κοινῶς τοὺς νεβροὺς καὶ τοὺς στρουθούς· ἢ νεοττοὺς ὄφεως ἀπὸ τοῦ ἄλλεσθαι

Ἑλλοπιεῖς· [ad 77] [78]

Ἑλλοπιῆες (Callim. Del. 20)· οἱ νῦν Ὠρεῖται, παρὰ Χαλκιδεῦσιν

† ἐλλοπῶ· ἀγαθήν [81]

Ἑλλός· τὸ ἔκγονον τῆς ἐλάφου νεογνόν, ὁ νεβρός. καὶ Δωδωναῖος. καὶ ὁ ἐνθαλάττιος

ἔλλυες· ζῷα ἐν τῷ † Σμαράγδῳ ποταμῷ ⟨ἔμυες⟩

ἔλλυσιν· ἔκλυσιν. Κρῆτες

† ἐλλύτατον· οἰκτρότατον ⟨1914⟩

ἐλλύτης· πλακοῦς τις

† ἐλλυχᾶται· πλανᾶται ⟨2126⟩. διατρίβει

Ἑλλώτια· ἑορτὴ Εὐρώπης ἐν Κρήτῃ

ἑλλωτίς (Seleucus Ath. 678)· Εὐρώπης στέφανος πλεκόμενος, πηχῶν εἴκοσι

ἕλματα· ὁμιλήματα. ἐνειλήματα: σανιδώματα (Cyprii pro σέλματα)

ἐλμακίνη λειμῶνος· ἡ λεπτὴ [ad 91] σχοῖνος [92]

ἐλξίνη· ἡ περδίκιος βοτάνη (sch. Nic. Th. 537)

COD. 32 ἑλκομένη — ἕλκος ποιημένη 48 φορβέα 50 καθέδρα καὶ — Δωδώνη Λάκωνες 54 ὄρτυγες ⟨Poll. V 101⟩ 56 ἐλλεῖν 60 ἐπὶ 61 τοῦ Δ. τ. Ε. 65 πόντος — ἀλίας 70 γραμ| 72 ἐλλοί 73 περικνόμενα 75 ἄφωνοι καὶ δασεῖς 76 ἐλλόποδ δες EM. 331, 53 Post 77: ἄφωνοι καὶ λεπιδωτοί 79 ἐλλοπίνες — ὀρῖται παρὰ χαρκί 84 ἔκλυσι κρῆται 86 ἐλλυτίς 88 ἐλλωτία 89 ἐλλώτης εὐρώτης 90 ἐνηλήματα 91 ἐλμακήνη

HES. 33 ἕλκεα· τραύματα (Θ 419) 34 ἕλκει· ἀνάγει, σύρει (Ω 52) 35 ἑλκέμεν· καθέλκειν (Β 152) 36 ἕλκεο· ἕλκε (Δ 210) 37 ἕλκεος· τραύματος (Λ 812) 38 ἑλκεσιπέπλους· ἐφελκομένας (Ζ 442) τὸν πέπλον 39 ἕλκετο (Λ 194)· ἤλκυσεν 40 ἑλκεχίτωνες (Ν 685)· ποδήρεις χιτῶνας ἔχοντες. ἄζωστοι 43 ἑλκιθάμοιο (Ζ 465)· ἑλκύσεως 44 ἕλκος· πᾶν τραῦμα 51 ἑλλάψεως· φωτισμοῦ 53 ἑλλάσαι· συγκλεῖσαι. κωλῦσαι ⟨Δ 409⟩ 58 ἑλλεδανοῖσι (Σ 553). τοῖς δεσμοῖς 64 ἑλληνύει· ἑορτάζει. παύεται. ἀργεῖ ⟨ἐλινύει⟩ 67 ἐλλήθεις· οὐχ αἱ ἄγριαι μέλισσαι ⟨ad δέλλιθες⟩, ἀλλὰ φυτὸν ὁ αἰγίλωψ ⟨v. ἐλαΐς, ἕλιξ⟩ 69 ἐλλογ. (epist. ad Philem. 18)· καταλόγησαι 71 ἐλλοδανοισι (Σ 553)· δεσμοῖς Ad 77: ἄφωνοι. καὶ οἱ λεπιδωτοί 78 ἐλλοπίς· εὐόφθαλμος. χαροπή 81 ἐλλόωσιν (Ν 315)· ἐλάσωσιν Ad 91: [καὶ λευκή] 92 ἕλξεις· ἑλκύσεις ⟨Moeris⟩

ἔλξω· ἑλκύσω, ἀνάξω
ἐλογίζετο· ἐνοεῖτο
ἑλοίμεθα· ἐπιλεξοίμεθα [ad 96]
ἕλοιο· ἀνάσχοιο. βουληθεί(η)ς
ἕλοιτο· θέλοι [99]
ἕλον· εἷλον, ἀφεῖλον. ἐπόρθησαν
ἑλόντας· ἀφελόντας, λαβόντας. νικήσαντας
[ἑλόντες]· ἑλόμενοι· ἀφελόμενοι, λαβόμενοι
ἑλόντες· [ad 2203] ἀνελόντες. πορθήσαντες. χειρωσάμενοι [2204]
ἕλος· σύμφυτος τόπος. ἢ χεῖλος ποταμοῦ. καὶ ὁ τελματώδης τόπος. καὶ πόλις ἐν Λακεδαιμονίᾳ (B 584)
ἑλοῦ (Eur. fr. 139)· λάβε. ἐπίλεξαι
† ἑλούπησεν· [ad 7] ἐσχίσθη
ἑλοῦσαι· ἀρ[ξ]άμεναι [post 8]
....ε Λουσία· Δημήτηρ παρὰ Τελφουσίοις [10]
ἑλόχα· ἐνήδρευεν
ἑλοχεύθη· ἐγεννήθη. [ἐγαμήθη]
ἐλόχισεν (Herod. I 103)· εἰς λόχους ἤγαγεν
ἔλπει (β 91)· ἐλπιδοποιεῖ [15]
ἔλπεον· ἤλπιζον
ἔλπεται· δοκεῖ, [ad 17] προσδοκᾷ
ἐλπίς· προσδοκία [19. 20]
ἔλπονται· ἐλπίζουσιν [22]
ἕλπος· ἔλαιον, στέαρ. εὐθηνία
ἐλπωρή (β 280)· ἐλπίς. δόκησις
ἐλπωρῆσιν· ἐλπίσιν [26]
ἔλσαι (Λ 409)· συσχεῖν. συνελάσαι (Φ 225). συγκλεῖσαι (Σ 294) [28. 29]
† ἐλσούς· τὰς μυίας [31]
ἔλυμα (Hesiod. opp. 428)· τὸ τοῦ ἀρότρου † πέριον. νύσσα. καὶ τὸ ἱμάτιον. καὶ † ἡ ἄϊων
Ἐλύμνιος· Ποσειδῶν ἐν Λέσβῳ ⟨2246⟩. καὶ νῆσος τῆς Εὐβοίας (Soph. fr. 401)
† ἐλύμνιαι δοκοί· ὀροφῆναι
ἔλυμοι· τὰ πρῶτα τῶν αὐλῶν, ἀφ' ὧν ἡ γλωσσίς. οἱ δὲ ἁπλῶς αὐλόν (Soph. fr. 409. 581). καὶ σιτῶδες σπέρμα (Aristoph. Νησ. fr. IX). [καὶ ἡ τῆς κιθάρας καὶ τοῦ τόξου θήκη ⟨ad ἔλυτρον?⟩
ἔλυμορ· (σ)πέρμα, ὃ ἕψοντες οἱ Λάκωνες ἐσθίουσιν ⟨1997. 2100⟩
ἐλυσάμην· ἀπέδωκα [38—40]
ἐλύσσει· εἱλεῖται
ἐλύσθη (Ψ 393)· παρελύθη. συνειλήθη. ἔπεσεν ⟨2118⟩. ἐνεποδίσθη [43]
ἐλύστροις (Hippocr. III p. 195)· καλύμμασι, σκεπάσμασιν
† ἔλυστα· ἄμπελος μέλαινα
† Ἐλύτιος· Ποσειδῶν ἐν Λέσβῳ ⟨2233⟩
ἔλυτρα (Soph. fr. 936)· κυρίως τὰ ἐνειλήματα. ἢ τὰ καλύμματα: καὶ πηγαί. καὶ σωλῆνες. δέρματα (Herod. IV 173)
ἔλυτρον· δέρμα. θήκη. λέπυ(ρ)ον. ἐνείλημα. κάλυμμα, σκέπασμα
(ἐλύτρωσον· κάλυψον cf. 1515)
ἔλφος· βούτυρον. Κύπριοι
ελω· κατέχω ⟨2156⟩, πιάζω ⟨v. ἀλῶ⟩ [post 50]
ἐλωβήσαντο· ἔβλαψαν
ἕλωμαι· πορθήσω. [52] λάβω
ἔλων (Ω 696)· ἤλαυνον. [post 53]
ἐλώγη (Dorice)· ἔλεγεν
Ἑλωός· ὁ Ἥφαιστος παρὰ Δωριεῦσιν
ἕλωρ· ἕλκυσμα. λύμη. ἄγρα. θοίνη·
μὴ δή με ἕλωρ (E 684)
εἴλημμα. θοίναν. ἄγρευμα.
ἕλωρα (Σ 91 ann Soph. Ai. 830)· ....
ἑλώρια (Α 4)· ἑλκύσματα. καταστρέφει δὲ εἰς σπαράγματα. βρώματα [59]
Ἑλώριος ἀγών· τελούμενος ἐπὶ Ἑλώρου ποταμοῦ
† ἐλώσθη· ἐφοβεῖτο. ἐμαλακίσθη

COD. 2209 ἐλουσία, (superscr. ἐ) ἀρμητὴρ π ἀφουσίοις 13 ἐλόχησεν 14 legebatur post 17 24 ἔλπωρ· ἡ 25 ἐλπορῆσιν 33 cf. ἐπιλίμνιος 34 cf. ὀλυμπία 36 ἐλυμόσπερμα ἐπλ.
44 ἐλύστροις 54 ἐλωγή· ἔλεγον (Theognost. 138, 33. 149) 56 θήνη — θύναν

HES. Ad 96 λάβοιμεν (B 127) 99 ἑλόμην (Θ 108)· ἀφειλόμην Ad 2204 λαβόντες (Γ 316) 4 ἑλόντων· ἐλαυνόντων. καὶ τὰ ὅμοια ⟨ἐλώντων⟩ Ad 7: ἐψόφησεν Post 8: λαβοῦσαι (ϑ 436) 10 ἑλοφόν (Z 469)· τὸ ἄκρον τῆς περικεφαλαίας 15 ἔλπεο· ἔλπιζε (Y 432 Greg. Naz. LVIII 116) 19 ἔλπομαι (H 199)· ἐλπίζω . 20 ἔλπομαι (Θ 526) εὐχόμενος· καυχῶμαι ἐλπιδοποιούμενος 22 ἔλποντο (M 261)· ἤλπιζον 26 ἐλπτέοντες (Herod. VII 168)· ἐλπίζοντες 28 ἔλσαν (Λ 413)· συνήλασαν 29 ἐλύμην· ἐλυτρωσάμην (Φ 80). ἐλυτρώθην 31 ἐλυμήνατο ὗς ἐκ δρυμοῦ (Ps. LXXIX 14)· κατέφαγε χοῖρος ἐξ ὕλης 38 ἔλυσεν (Α 106)· ἀπελύτρωσεν 39 ἐλυσθείς (ι 433 Ω 510)· κουφισθείς ⟨2116⟩ 40 ἐλύσατο (Φ 42)· ἐλυτρώσατο 43 † ἔλυται· ἔρχεται ⟨ΔΥΕΤΑΙ⟩ Post 50: ἐλάσω ⟨Moer.⟩ Ad 52: ἀφέλω (Α 324) Post 53: ἐπορεύοντο. ἢ λαβών (H 56). ἢ ἀρ(ξ)άμενος (ϑ 500). ἢ ἀφελόμενος (B 240) 59 ἑλώρη· πελώρη

ἐλῶσι· [62] ἐλαύνωσιν (Aesch. Eum. 75?)
Ἕλωτες· μισθωτοί, ἐν τῷ ἕλει ἐργαζόμενοι
ἐλώφησεν (Soph. Ai. 61)· ἔληξεν. κυρίως ἐπὶ τῶν λόφων [65—67]
ἐμαλάχθην· ἐνέδωκα [69]
ἐμαργήναντο· ἐνεπεφόρηντο [71]
ἐμαρυκᾶτο· ἐμασᾶτο
ἔμαρφα· κατέλαβον
ἔμαρψας· ἐκράτησας
ἐμασάμην· εὗρον
ἔμασσε· ἠνώχλει
ἐμάσταξεν (Dores)· ἐμασήσατο
ἐμάτησεν (Π 474)· ἐματαιώθη. ἐλήρησεν. ὑστέρησεν. ἥμαρτεν
ἐμαυτῷ βαλανεύσω (Ar. Pac. 1103)· [post 79] [80]
ἐμβαδόν (Ο 505)· πεζῇ διὰ θαλάσσης
†ἐμβαθυνούς· σεσοφισμένους, σοφούς [83]
ἐμβάδια (Ar. Plut. 847?)· τὰ ὑποδήματα [85]
ἐμβακανίτης· τὸ μετὰ τοῦ ταρίχους καὶ στέατος σκευαζόμενον βρῶμα
ἔμβαλε κύλλῃ· οἱ αἰτοῦντες κατὰ παιδιὰν τὴν χεῖρά πως περιάγοντες καὶ κοιλοῦντες παρακαλοῦσιν ἐμβάλλειν
†ἐμβαλλεῖν· κατακλῖναι. Λάκωνες [89]
†ἐμβάλλοντος· βλεσόπους
ἔμβαρος· ἠλίθιος, μωρός. ἢ νουνεχής. Μένανδρος Φάσματι (fr. II p. 219)
ἐμβάς (c. c. Eubul. fr. I p. 220)· εἶδος ὑποδήματος. καὶ μέρος τι τῆς χελώνης ⟨h. e. scabelli⟩ [93]
ἐμβατεύσας· ζητήσας. ἐπιβατνώσας ⟨v. ἐπιβατεύουσιν⟩
ἐμβατήρ· παρὰ τοῖς ἀρχιτέκτοσι τόπος
ἐμβατήριον· εἶδος αὐλήματος
ἐμβαφίας· λοπάδες βαθεῖαι. ἀπὸ τοῦ βάπτειν ἐν βάθει
ἐμβάφιον· ὀξύβαφον παρὰ Ἱππό(sic)νακτι (fr. 112, imo Hippocr. II p. 711)
ἐμβεβροντημένος· ἀναίσθητος. ἐμβρόντητος [2300. 1]
†ἐμβεχανεῖται· ἐμπέπλεκται
ἐμβεβώς (Eur. Phoen. 2)· ἐπιβεβηκώς
ἐμβείη· ἐμβῇ (Apoll. 67, 11), ἐμποδίζῃ. χωρήσῃ (Π 94) [5. 6]
Ἐμβλώ· πέπλασται παρὰ τὸ ἐμβλέπειν· ὡς ἡ Δωρὼ καὶ Δεξώ
†ἐμβλωκυῖαν· ἐν τῷ ἀνδρὶ ἡδοοῦσαν
ἔμβολα· μοχλοί. ἀσφάλειαι ⟨2314⟩
ἐμβολήν· πληθύν. ὁρμήν (Eur. fr. 690). ἐνθήκην. ἀπόθετον χρῆμα
ἐμβολίδες· αἱ περιθεταί
ἐμβόλιμα ἔπη· τὰ ὑπὸ τῶν γραμματικῶν ὡς ἀλλότρια καὶ νόθα ἀθετούμενα
ἐμβόλιμον (Herod. II 4)· τὸν μῆνα, καὶ τὴν ἡμέραν. † καὶ ἀνδραποδισμόν [14]
ἔμβολον· Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (fr. I p. 1076) τὸ αἰδοῖον [post 15 ex atticistis]
ἔμβολος· εἶδος θηρίου ἐν λαχάνοις
ἐμβραμένα (Sophro, Lacones)· εἱμαρμένη [18. 19]
ἔμβραται· εἵμαρται [21]
†ἔμβρεος· ἐνεός. μωρός
ἐμβριθές (Plat. Phaed. 81 C)· βαρύ. στιβαρόν. στερεόν. πλατύ [24]
ἐμβριμῆσαι· ἐπιτιμῆσαι. κελεῦσαι, προστάξαι μετ' ἐξουσίας [26]

COD. 63 ἐλῶπες 71 ἐμάσμην 73 ἐμάσταξεν 76 ἐπεφόβηντο 69—72. 73—78 = 73—78. 69—72 81 παίζει 87 ἐμβαλλεκύλλη — καλοῦντες 97 ἐμβαφίδες? 2307 δωρῶ καὶ δεξῶ ⟨forte ἐμβλεῖν, potrix⟩ 9 ἀσφάλεια 11 περίθετοι 14 πα-
δ τ̄
λαμη — σκιρ ⟨ex atticistis⟩ 20 ἐμβρᾶται, ἥμαρται

HES. Ad 62: λάβωσιν (Π 128) 65 ἐμὰ δάκρυα (Λ 42)· τῶν ἐμῶν δακρύων 66 ἐμαίμασσε (Iob. XXXVIII 8)· προεωθεῖτο, ἢ προεθυμεῖτο. ἐκυματοῦτο ⟨Cyr. 39. 11⟩. ἐκλονεῖτο (gl. mss. sacr.). ἐταράττετο 67 ἐμετός· ἐξέραμα ⟨—ωμα cod.⟩ 69 ἐμαραίνετο (Ψ 228)· ἐσβέννυτο 71 ἐμαρανάθη (Ι 212)· ἐμάχοντο (Ρ 382) Post 79: ἐμαυτῷ διακονήσω. Λέγεται δέ, ὅταν ὁ βαλανεὺς νωθρεύηται, καὶ ἑαυτῷ (τις) λαμβάνων τὴν ἀρύταιναν διακονῇ. ἢ ἀπὸ τῶν τὰς βαλάνους ἐγκρυβόντων εἰς πῦρ 80 ἐμαυτῷ συνεπίσταμαι (Iob. XIX 26)· ἐν ἑαυτῷ ἐπίσταμαι 83 ἐμβάδιον· παίζει ἐπὶ τούτου 85 ἐμβαίη (Π 94)· ἐμποδὼν γένηται. ἐναντιωθῇ 89 ἐμβάλλεο θυμῷ (Κ 447 Ψ 313)· ἐνθυμοῦ κατὰ ψυχήν 93 ἐμβατεῦσαι (Iosu: XIX 49)· τὸ κατέχειν καὶ καρποῦσθαι χωρίον ἢ οἰκίαν ἢ ὅλον τὸν κλῆρον. ἢ ζητῆσαι 2300 ἐμβεβίωθεν· τέθνηκεν ⟨ἐκβεβίωκεν⟩ 1 ἐμβεβρυττόμενος· ἀναίσθητος 5 ἔμβην (Π 94)· ἐμποδοστάτην. ἐμποδὼν γένηται ⟨cf. ἐμβαίη⟩ 6 Ἐμβίανος· Ἄρης ⟨Ἐνοιάλιος⟩ 14 ἔμβολα· Εὐριπίδης Παλαμήδῃ (fr. 593) καὶ Σκείρωνι (fr. 682) ἔμβολα. τὸ δὲ πολὺ ἀρρενικῶς λέγουσι τοὺς ἐμβόλους (Herod. I 165 cf. τοὺς ἐμβόλους) Post 15 ex atticistis: ἀρρενικῶς δέ φασι τὸν τῆς νεὼς ἔμβολον, τὸ χάλκωμα, τὸ περιτιθέμενον κατὰ τὴν πρῷραν. καὶ ἔμβολον τῶν θηλειῶν ⟨τοῦ θεοῦ cod.⟩ 18 ἐμβραχεῖ· μικρόν. ἢ καθόλου, ὅλως. συντόμως. ἁπλῶς 19 ἔμβριον· θεῖον ⟨ἄμβροτον⟩ 21 ἐμβρέμεται (Ο 627)· ἐμπίπτει. ἐμφυσᾷ 24 ἐμβριμήματι (Thren. II 6)· κινήματι 26 ἐμβριμώμενος (Ioann. XI 38)· μετὰ ἀπειλῆς ἐντελλόμενος

ἐμβροντηθέντες (Xen. Hell. IV 7, 7)· ἔνεοι γενόμενοι. μωρανθέντες

ἐμβροντησίας· μανίας, φρενοβλαβ(ε)ίας. θάμβους

ἐμβρό(ν)τητος (Antiphan. fr. XLIV p. 149)· παραπεπληγμένος τὴν διάνοιαν, μαινόμενος

† ἔμβυλλαι· ἀγναὶ ἡμέραι. καὶ γῆς ἔντερα

ἔμβρυον· νεογνὸν βρέφος, τὸ ἐν γαστρὶ γυναικὸς ἐνδιάπλασμα [ad 31] [32]

† ἐμβρόνιον· μικρὸν καὶ ἀπόρφυρον ἱμάτιον Τιβερικόν

ἐμβύσας· ἐμπλήσας [35—37]

ἐμεῖο· ἐμοῦ· ἔστι δὲ (d)σύναρθρον [39]

ἐμειδία· ἐγέλα

ἔμελλεν (Hom.)· ἐῴκει

ἐμέλλετε (Δ 817)· ἐῴκειτε. ἐφαίνεσθε. οὐδαμοῦ γὰρ ἐπὶ χρόνου κέρηται τῇ λέξει

ἐμέλησεν· ἐφρόντισεν [44. 45]

ἐμεῦ (Δ 88)· ἐμοῦ

ἐμεύνη· ἐμοῦ

(ἐμῇ πεντόζῳ· χειρὶ ἐμῇ)

ἐμήσατο· ἐτεκτήνατο. ἠπάτησεν. ἐμηχανήσατο. ἐβουλεύσατο (Ζ 157). ἐποίησεν

ἐμηχανησάσθην· ἐμηχανήσαντο. δυϊκῶς

ἐμίαινεν· ἐκ μίξεως διέφθειρεν

† ἐμειάς· διαχρήματα. ἑαυτούς

ἐμίγνυτο· ὡμίλει

ἐμίν (Ar. Asch. 699)· ἐμοί

ἐμίνυθεν· † ἔπραθεν, ἔπρασεν [56]

ἐμίο (Rhintho)· ἐμοῦ

ἐμίσγομεν· ἐμιγνύομεν

ἐμίστυλλεν· εἰς ὀλίγον διῄρει

ἔμιχθεν (Γ 209)· ἐμίχθησαν. πληθυντικῶς [61]

ἔμμα· ἱμάτιον (v. γέμμα). ἢ καθαπτόμενον. καὶ ἀπομασσόμενον

ἐμμακεδονίξαι· χρήσασθαι ....

† ἐμμαλάξαι· † ἐμμεῖναι, τῇ χειρὶ ἐπιλαβέσθαι

ἐμμαπέως (Ε 836 ξ 485)· ἐσπουδασμένως. ταχέως, ἅμα τῷ εἰπεῖν. προθύμως

ἐμμανῶς· ὀργίλως. ἐκθύμως

ἐμμάσαι (Hippocr. III p. 193 K)· ἐνερεῖσαι

ἐμματράζων· ματαιολογῶν

ἐμματεῖται (Hippocr.)· ἐνερείδει. ἐνλαμβάνεται. ζητεῖ κατὰ μέρος (Galen. lex 462)

ἐμματέων· ψηλαφῶν. † φιλονεικῶν. ὁρμῶν

ἐμμελές· ἐπιμελές. ἔμμετρον

ἐμμελέεσσι· τοῖς φροντίζουσιν

ἐμμελέστατος· κηδεμών

ἐμμέλεια· εἶδος ὀρχήσεως. καὶ Πλάτων (Legg. VII 816 B) ἐπαινεῖ τὴν ὄρχησιν, καί φησιν ἢ ἀπὸ τοῦ μέλους ὠνομάσθαι, ἢ ἀπὸ τοῦ πρὸς τὰ μέλη γίνεσθαι. Τραγικὴ δὲ ἡ ὄρχησις. Ἀργυρίοις (ἀκύρως?) δὲ Αἰσχύλος (fr. 19) ἀντὶ τοῦ σατυρική, ἥ ἐστι σίκιννις

ἐμμελής· καθήκων. προσηνής

ἐμμελῶς· προθύμως. ἐρρωμένως. συνετῶς [77]

ἐμμεμηνότα· μαινόμενον [79]

† ἐμμένει· προθυμεῖται

ἐμμέναι· † καθέζεσθαι. εἶναι [82]

ἐμμενέως (Hesiod. Theog. 712)· προθύμως. βιαίως

ἐμμενέως· προθυμούμενος. ἐρρωμένως

† ἐμμενύτρωτος· μέτριος

ἔμμεται· ὀρχεῖται ⟨ῥέμβεται?⟩

ἐμμηλάδας αἶγας (Callim. Ap. 51)· τὰς μετὰ τῶν προβάτων νεμομένας

ἐμμήνιοι· αἱ καταμην(ια)ῖαι λεγόμεναι θυσίαι

ἐμμήροις (Com. II 2 p. 877)· ἐνομήρεις ὄντας. παρὰ τοὺς ὁμήρους τοὺς ἐπὶ συμβάσει διδομένους ⟨2455⟩

? ἐμμόνιαι· συνθῆκαι ⟨ἁρμ—⟩ [91]

ἐμμόραντι (Dores)· τετεύχασιν

ἔμμορεν· ἔτυχεν (Α 278), ἔλαχεν (Ο 189), ἐκλήρωσεν

COD. 31 ὂν διαπλ| 34 ἐμβήσας 38 ἐμεῖε 42 φαίνεσθε [αι] 43 ἐφρόνησεν, ἐφρόντισεν 47 ἐμήνη 48 cf. 59 51 ἐμίενεν 55 ἐμήνυθεν 57 ἐμῆς 58 ἐμιγνοῦμεν 59 ἐμιστύλαεν· — διαίρει Post 59 legebatur 48 ἐμηπεντόχω 69 ἐμματαιάζων 74 ὠνομάσθη — σατοιρική — σικήνης ⟨80 ἐμμενεῖ· προθυμῷ καὶ ...?⟩ 84 ἐμμενάως 87 γενομένας 89 ἐνομηρειεον

HES. Ad 31: ἢ ὀλίγον 32 ἔμβαχον· ἔμβρυον 35 ἐμέγηρε (Ψ 865)· ἐφθόνησεν 36 ἐμέθεν (Α 525)· ἐμοῦ 37 ἐμεῖο· ἐμοῦ 39 ἐμείρετο· ἐπεθύμει ⟨ἱμ—⟩ 44 ἔμειvον (Ε 522)· παρέμενον 45 ἐμέμυξαν· ἐπέξεσαν ⟨ἐπήμυξαν⟩ 56 ἐμιμήσατο· ὡμοιώσατο (Dem. 420, 21?) 61 ἐμείωσεν· ἐφθείριεν 77 ἐμμεμαώς (Hom. Ε 330 al.)· ὁμοίως 79 ἐμμέμυκεν (Χ 491)· καταμέμικται. ἢ ἐπικέκληται. παρὰ τὸ μεμυκέναι. τινὲς δὲ ἐμνήμυκεν 82 ἐμμενές (Κ 361)· ἀδιαλείπ(τ)ως. πρόθυμον: ἕως αὐτοῦ. ἢ ἐπίμεναι ⟨ἐπιμόνως⟩ 91 ἔμμονος (Levit. XIII 51)· ἐπιμένουσα ἀεί, ἤτοι ἀδιαλείπτως

ἔμμορον· εἱμαρμένον
ἔμμορος (Aesch. Suppl. 86)· τετευχώς [2401]
ἔμμοτος (Foes. Oec. Hipp. p. 125)· τραυματία(ς). νοσώδης [3. 4]
ἐμόγησα· ἔκαμον, ἐκακοπάθησα
ἐμογήσατο· ἐκακοπάθησεν [7. 8]
ἔμολεν· ἦλθεν
†ἐμορίδαι· μέτοικοι
†ἔμορτεν· ἀπέθανεν ⟨v. ἰσήμορτεν⟩
ἐμορμολύττετε (Crates fr. I p. 235)· ἐδεδίττεσθε
ἔμπα γε μὴν (Apollon. Dysc. adv. 564, 26)· ὅμως μέντοι
ἔμπα δέ (Callim. epigr. XIII 3)· ὅμως δέ, ἀλλ' οὖν [15]
ἐμπάζεσθαι· ἐπιστροφὴν ποιεῖσθαι. καὶ σέβεσθαι. ἐντρέπεσθαι. φροντίζειν
ἐμπάζεται· σέβεται
ἔμπαιον (υ 370)· ἔμπειρον. μέτοχον. ἢ ἐπίσιτον
ἔμπαις (Cratin. fr. CII p. 209)· ἐγχύμων [20]
ἐμπαίτοντι· ἐμπαίζουσιν [22]
ἐμπαλάξαι· ἐμπλέξαι
ἐμπαλάγματα (Aesch. Suppl. 305)· αἱ ἐμπλοκαί
ἐμπάμονι· πατρούχῳ
ἔμπαν (Pind. Pyth. V 54)· πάντως. ὅμως [27. 28]
ἐμπαροινοῦντας· ὑβρίζοντας
ἔμπαρος· ἔμπληκτος
ἐμπάσεις (Aeoles)· ἐγκτήσεις
ἐμπασέντας· ἀρχεῖόν τι ἐν Λακεδαίμονι
ἐμπαστῆρας μύθων· πιστωτάς, μάρτυρας
ἐμπαστήρια· μελίπη(κ)τα
†ἔμπατον· καταθύμιον
ἔμπεδα· ἐπιτελῆ. ἀληθῆ (τ 250?). βέβαια, ἰσχυρά. ἀμετάλλακτα. ἀσφαλῆ (Ν 512)
ἐμπεδὴς γάμορος μάρψεν Ἀΐδης· ἔμπεδον ἔλεγον τὸν Ἅιδην, ὡς Ἱππῶναξ. ἀντὶ τοῦ οὖν ἐμπέδου χθόνιος καὶ ἀσφαλής. Οἱ δὲ οὕτως· ὁ Ἅιδης ἐπιμελής ἐστι γάμορος, οὐκ ἀμελῶν οὐδενός. ἀλλ' εἰς τὴν γῆν λαμβάνων τὴν μερίδα, οἷον τὴν γῆν μεριζόμενος
ἐμπεδορκεῖν· εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης (fr. inc. CLXII) παρὰ τὰς πέδας [39. 40]
ἔμπεδος· βέβαιος (Υ 183), ἀσφαλής (Δ 314). ἀραρώς. ἀκίνητος
ἐμπέλα· ἐμπέλαζε. πρόσαγε. ἔγγιζε
ἐμπέλανα· πόπανα ⟨Bergk. Alcm. fr. 69⟩
ἐμπελάσαι· προσεγγίσαι [45]
ἐμπέλωρος· ἀγορανόμος. Λάκωνες
ἐμπεπαρμένον (Ar. Ach. 796)· ἐμπεπερονημένον. ἐνηλωμένον
ἐμπεπᾶσθαι· ἐνυπάρχειν. κεκτῆσθαι
ἐμπεπείρακται· ἐμπεπόδισται
ἐμπέπται· πλάγια τὰ (πλακούντια?) πύρινα, εἰς ἃ ἐντίθενται τὰ διὰ τυροῦ ...... Ῥόδιοι (Seleucus Ath. XIV 645 D) [51. 52]
ἐμπέραμον (Callim. Iov. 71)· ἔμπειρον
ἐμπερής· ἔμπειρος. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ (fr. 422)
ἐμπερκάζουσαν· ὑποθάλ(λ)ουσαν. μελανίζουσαν
ἐμπερκαίνονται· ἐμποικίλλονται
ἐμπερονατρίς· ἱμάτιον διπλοῦν
ἐμπερονῆσαι· διατρῆσαι
ἐμπεσεῖν εἰς δεσμωτήριον (Plat. Civ. VIII 553 B)· ἀχθῆναι
ἐμπεταλίς· ἔδεσμα διὰ τυροῦ σκευαζόμενον [61]
ἐμπηνός· ἧλος ⟨ἔμπηκτος?⟩
ἐμπήκτης· ὁ τὰ δικαστικὰ γραμματίδια παρὰ τοῦ θεσμοφόρου λαμβάνων ὑπηρέτης, καὶ πήσσων εἰς τὴν κανονίδα

COD. Post 2407 ἔστι δὲ σύναρθρον ⟨10 cf. ἐμπορίσαι, ἐμπόριοι, ἐμποριδονήτας⟩ 12 |ύκτατε| σθαι 16 σέρεσθαι 20 |ται 23 ἐμπαλέξαι ⟨schol. Thuc. VII 84, 3 Eustath. 527, 18⟩ 24 ἐμπαλούγματα 25 ἐμπαγμῷ· πατρώχω (v. ἔκπαμος, ἐπίπαμος) 32 ἀρχίον (35 ἔμπαιον θυμῷ κακόν· καταθύμιον Meineke) 37 ἀντίον 41 ἀραρής 42 ἔθιζε ⟨49 ἐμπέπραται ἐμπεπόληται Poll. VII 9⟩ 50 ἔμπιπα 56 ἐμπέρονται 57 ἐμ-
ὲ
πορονάτρις 58 ἐμπερωνῆσαι διατηρῆσαι 63 γράμματα διὰ π — κανευνίδα

HES. 2401 ἐμόρμησεν· ἐπενόησεν ⟨ἔμ' ὥρμηνεν⟩ 3 ἐμνήμυνεν (Χ 491)· εἰς ὑπόμνησιν ἤνεγκεν 4 ἐμνώοντο (Β 686)· μνήμην ἐποιοῦντο 7 ἐμοί (Λ 563)· ἐμοῦ 8 ἐμοῖο (Ξ 118)· ἐμοῦ ἔστι δὲ σύναρθρον 15 ἐμπάζεο (α 271)· φρόντιζε 20 ἔμπα· ὅμως 22 ἔμπαλιν· εἰς τὰ ὀπίσω. ἐξ ἐναντίας. ἢ ἐπὶ τὰ ἕτερα 27 ἔμπα πόλιος (Π 549)· στήριγμα τῆς πόλεως ⟨v. ἔγμα⟩ 28 ἐμπάρει· παρεκάλει ⟨2110⟩ 39 ἐμπεδοῖ· διδάσκει. βεβαιοῖ, πιστοῦται, ἀσφαλίζεται ⟨ex onom.⟩ 40 ἔμπεδον· βέβαιον, ἀσφαλές 45 ἐμπέπαιχα (Exod. X 2)· ἐνέπαιξα, ἐχλεύασα 51 ἔμπειρος· ὑπομονητικός 52 ἐμπεῖσεν· ἐμπίπτειν ⟨ἐμπίσειν· ἐμπιπιεῖν⟩ 61 ἐμπεφυῖα (Λ 513)· περιπλεκομένη

ἔμπηρα· ἀνέξοχα

ἐμπήρους (Com. II 2 p. 877)· Δημήτριος ἐν Σικελίᾳ·

„Λακεδαιμόνιοι θ' ἡμῶν τὰ τείχη κατέβαλον,
καὶ τὰς τριήρεις ἔλαβον ἐμμήρους· ὅπως
μηκέτι θαλαττοκρατοῖντο Πελοποννήσιοι."

Ἔμμηροι οὖν οἱ ἐνομήρεις ὄντες· τοὺς γὰρ ἐπὶ συμβάσει διδομένους, ὥσπερ ἐνέχυρα τῶν ὡμολογημένων, ἔνθεν ⟨ἔθος⟩ ὁμήρους λέγεσθαι (2389)

ἔμπης (Α 562)· ὅμως. πάντως. ὁμοίως

ἐμπίδος (Ar. Nubb. 159. 160)· εἶδος κωνώπων

ἐμπίνειν (Comici)· πίνειν

ἐμπίπλαται (Eubul. fr. III p. 224)· πληροῦται. χορτάζεται

ἐμπίπραται· καίεται, ἐμπυρίζεται

ἐμπίπτων (Plato)· ἀπορῶν

ἐμπίς· κώνωψ. ἢ εἶδος ζώου παρὰ τοῖς ὕδασι γενόμενον, ὅμοιον κώνωπι, μεῖζον δέ

†ἐμπίσιον· καὶ τὸ βραχὺ καὶ τὸ δαψιλῶς πιεῖν

ἔμπισον· πότισον

†ἐμπαθερεῖς· ψεύσῃ ἀκρίτως

ἐμπλακείς· περικρατήσας, περιλαβών

ἔμπλεοι· πλήρεις

ἔμπλεῳ· ἐμπλεῖς, πλήρεις

ἐμπλεύρου· ἐνάλλου εἰς τὰς πλευράς. Σοφοκλῆς Αἰχμαλωτίσιν (fr. 50)

ἐμπλήγδην (υ 132)· ἐμπληκτικῶς. ἀκρίτως. εὐμεταβόλως

ἐμπλήκτους (Plat. Lys. p. 214 C)· μαινομένους, μεμηνότας. εὐμεταθέτους. καταπληκτικούς

ἔμπληκτον· εὐμετάβολον. μανιῶδες. καὶ τὰ ὅμοια

ἔμπλην· χωρίς (Archiloch. fr. 110). ἐγγύς, πλησίον (Β 526)

ἐμπλῆξαι· ἐμπεσεῖν. ἐγγίσαι

†ἐμπλησμένην· πεπλησμένην

Ἐμπλόκια· ἑορτὴ παρὰ Ἀθηναίοις. ὡς .... [87]

ἐμπνεῖ μοι· ἐρᾷ μου, ποθεῖ με [89]

ἔμπνευσεν (Κ 482)· ἀνέπνευσεν

ἔμπνευστος· ἄφρων [ad 91] [92. 93]

ἔμπνοια· ἀναπνοή (ἀμπ—)

ἐμποδίζειν· μασᾶσθαι. οἱ δὲ ἰσχάδας μασᾶσθαι ταῖς μελίσσαις, ἢ θλίβειν τοῖς ποσὶ τὰς ἰσχάδας

ἐμποδίζων ἰσχάδας (Ar. Eqq. 755)· μασώμενος. τοῦτο δέ φασιν εἰρῆσθαι ἐπὶ τῶν μισθῷ ταῖς μελίσσαις ἰσχάδας μασωμένων. τοῦτο δέ φασί τινες εἶδος εἶναι παιδιᾶς [97]

ἐμποίνιμον· τὸ ἐμ ποινῇ [99. 2500]

ἐμπολᾷ· περιέρχεται. πραγματεύεται (Soph. Tr. 93)

Ἐμπολαῖος (Ar. Ach. 816)· ὁ κερδῷος Ἑρμῆς

ἐμπόλεμα (Herod. VI 56)· τὰ εἰς πόλεμον εὔθετα

ἐμπολή· κέρδος [ad 4]. ἢ τὴν ἀργυρέην ⟨ἀγοραίαν?⟩ ἀλλαγήν

ἐμπολήσαντες (Ar. Pac. 563)· πριάμενοι [post 5]

ἔμπολις· ὁ πατρίδα ἔχων (Soph. O. C. 1156?) [7]

ἐμπολῶντο· ἐνεβάλλοντο

ἐμπομπεύων· θριαμβεύων. κατασχολάζων

ἐμπόρευμα· πραγματεία, ἐμπορία

†ἐμπορίσαι· μέτοικοι. [ad 11] ⟨v. ἐμορίδαι⟩

†ἐμποριδονήτας· ἐνοικίου πρακτῆρας ⟨—ίου ὠν—⟩

†ἐμπόριος· μέτοικος

ἔμπορος· πραγματευτής. καὶ ὁ ἐπ' ἀλλοτρίας νεὼς πλέων μισθοῦ, ὁ ἐπιβάτης (ω 300. 1)·

ἢ ἔμπορος εἰλήλουθας
νηὸς ἐπ' ἀλλοτρίης; [15]

ἐμπόρπημα· ὑφάσματος εἶδος

ἐμπόρω (Arist. fr. XIII p. 1073)· ἔμποροι. δυϊκῶς

COD. 65 μεθ' ἡμῶν — ἐμπήρους — ἔμπηροι — ἐν ὁμηρείᾳ 79 ἐναλούεις — αἰχμαλώτησιν 81 ἐμπληκτικῇ 86 ἐμπλοκία 88 μου, ἐραί^{μ}μου πόθη 91 ἐμπνεύστιος 92 καὶ ἐφρόνησεν 93 ἀνεβίωσεν 96 τοὺς μισθούς 98 ἐμποινῇ 2503 |ἐμια Suid. 9 καταστοχάζων ⟨cf. πομπεύει⟩

HES. 87 .... (Iesai. III 18)· τὸ σὺν ταῖς θριξὶ πλεκόμενον γυναιξίν 89 ἐμπνεῖ· πεπληρωμένος Ad 91: [ἢ ἀφανής] 92 ἐμπνύθη (Ε 697)· ἐν αὐτῷ ἐκείνετο, καὶ ἀνεβίωσεν ⟨v. ἐπνύνθη, ἐνεπνύνθη⟩ 93 ἔμπνυτο (Χ 475)· ἐφρόνησεν 97 ἐμποιεῖ (Sirac. XXXIX 11)· κτᾶται 99 ἔμποιον ⟨—νον⟩· τὸ γαλακτῶδες ὑγροῦν ⟨—όν⟩ 2500 ἐμποδοῦσθαι· βεβαιοῦσθαι, ἀσφαλίζεσθαι Ad 4: οἱ δὲ τὰ φορτία ⟨Moer.⟩ Post 5: ὠνησάμενοι ⟨Moer.⟩ 7 ἐμπολόωντο (ο 455)· ἐνεπόλων. περιεποίουν Ad 11: ἐπιβάται 15 ἐμπορποῦσθαι (I Macc. XIV 44)· φιβλοῦσθαι

Ἔμπουσα· φάσμα δαιμονιῶδες ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον καὶ ὥς τινες ἑνὶ ποδὶ χρώμενον. Ἀριστοφάνης (Ran. 293 et fr. XV p. 1153) δὲ τὴν Ἑκάτην ἔφη Ἔμπουσαν [19]

ἐμπρέπον· ἐπιπρέπον, πρέπον. ὅμοιον

ἐμπρέποντα· διαπρέποντα ⟨Aesch. Ag. 6?⟩

ἐμπρῆσαι· καῦσαι

ἐμπριόεντα (Nic. Al. 533)· τραχύν

ἐμπύλαι· αἱ νύμφαι ⟨v. τιτύπαι⟩ [25]

(ἔμπυον v. 2499) Soph. Phil. 1378

ἔμπυος· ὁ ἐμπυικὸς παρὰ Μενάνδρῳ (fr. CDVI)

ἔμπυρα· τὰ καιόμενα ἱερά

ἐμπύρευμα· λείψανον ⟨2721⟩

ἐμπυρία· ὅρκος ὁ δημόσιος. καὶ μαντεία, παρὰ Βοιωτοῖς [30]

ἐμπυριβήτης· οὕτως Εὔκλος (ὁ) χρησμολόγος ἐκαλεῖτο. λέγεται δὲ καὶ τρίπους ὁ ἐν πυρὶ τιθέμενος

ἐμύδαινεν· ἔβρεχεν

ἐμυζᾶτο· ἐπιέζετο

ἔμυζεν· ἔστενεν (Hippocr. III p. 547 K). ἀπεθήλαζεν

ἐμυήθην· ἐμυσταγωγήθην

ἐμύθευεν· ἔλεγεν [37. 38]

ἐμυχᾶτο (Ar. Ran. 562)· ἐφώνει

ἐμύλλανεν· ἐμυκτήρισεν

ἐμύξατο (Nic. Al. 482)· ἀηδίσθη

ἐμύς (Arist. HA. II 15)· ζῷον ἐν λίμνῃ καὶ ἐν πηγῇ γινόμενον. οἱ δὲ χελώνην τὴν ἔχουσαν οὐράν

ἐμυσάκτετο· ἐβδελύσσετο. ἐμυσάττετο

ἐμύσα(σ)σον· ἐσί(κ)χαινον

ἐμυσάττετο· ἀηδίζετο. ἐβδελύσσετο

ἔμυσε· συνῆλθεν (vulnus)

ἐμφαίνειν· ἐνδείκνυσθαι, σημαίνειν

ἐμφνίνων· δεικνύων, σημαίνων

ἐμφανές (Ar. Lys. 261)· φανερόν

ἐμφανέστατα· ἄγαν φανερώτατα

ἐμφανίζων (Xen. Cyr. VIII 1, 26)· φανεροποιῶν

ἐμφανισθήσονται· φανήσονται

ἐμφαντικῶς· ἐννοητικῶς

ἐμφανῶν· δηλαυγῶν ἐμφάσει τεκμηρίων [55]

ἐμφαρυξάμενος· ἐμφαγών

ἐμφάσεως· [ad 57] ἐννοήσεως

ἔμφασις· δήλωσις. †μέγεθος (Theophr. de sens. 36). νόησις [59. 60]

ἐμφατικώτερον· δηλωτικώτερον

ἔμφατον· αἰνιγματοειδῶς εἰρημένον

†ἐμφάατον· πλακοῦντα τετυρωμένον

ἐμφερές· ὅμοιον

ἐμφέρεται· ἐφίεται. φέρεται. περιφέρεται. [ὅμοιοι ⟨ad ἐμφερεῖς⟩

ἐμφερής· ὅμοιος [67. 68]

ἐμφῆναι· δεῖξαι

ἐμφιλοχωρεῖ· σχολάζει [ἢ] τὴν χώραν φιλῶν

ἐμφιλοχωροῦντες· ἐνοικοῦντες ἐν παραμοναῖς

†ἔμφορα· προσβεβλημένα (Hippocr. III p. 664?). [ἀγέλη προβάτων

ἐμφόρβιον· τελώνημα

ἐμφορηθέντες· κορεσθέντες, χορτασθέντες, πληρωθέντες ⟨v. ἐνεφ—⟩

ἐμφοροῦμαι· χορτάζομαι, πληροῦμαι, καὶ τὰ ὅμοια

ἔμφραξις· πόνος ὤτων

ἔμφρονι (Pind. Ol. IX 74)· ἐχέφρονι, συνετῷ, φρονίμῳ

ἔμφρων (Alexid. fr. I 8 p. 495)· συνετός, φρόνιμος

ἐμφύλιον (Soph. O. T. 1406)· συγγενικόν, ἢ τῆς αὐτῆς φυλῆς

ἔμφυλον (ο 273)· τὸν ἐκ τῆς αὐτῆς .... οὐ πολέμιον, ἀλλ' ἐμφύλιον

ἐμφύσημα· πάθος περὶ τοὺς ὀφθαλμούς

ἔμφυτον (Eur. fr. 773)· ἐν τῇ φύσει

ἐμψηφίσαι· ὅταν δανειστὴς ἀποδιδόντος χρεώστου μὴ εὐθέως ἀναλαμβάνῃ εἰς ὄφλημα

ἐμψίουσα (Aesch. fr. 50?)· ἐρέγματα διδοῦσα

ἐμφωλεύει· κρύπτεται

ἐξ ἀντύγων (Eur. Rh. 564 Soph. El. 746)· ἐκ τῶν περιφερ(ε)ιῶν τοῦ ἅρματος
ἐξανύω (Λ 365 Υ 452)· ἐξανύσω. ἐκτελέσω. κατεργάσομαι
ἐξάνω· ἄνωθεν [ἐξάγει, ἐξενέγκει
ἐξαπαλλαγῇ (Thuc. IV 28, 4)· ὑποχωρήσῃ [89]
ἐξαπατᾷ (Cratin. fr. XLIX p. 191)· χλευάζει. δελεάζει. φεναχίζει
†ἐξαπάτερθεν· ἐκ τοῦ ἑτέρου [92]
ἐξαπαφών (Eur. Ion. 705)· ἐξαπατήσας [94]
ἐξαπαιολεῖσθαι· παραλογίζεσθαι
ἐξαπ(οπ)ειρῆσθαι· πειρᾶσθαι [97. 98]
ἐξ ἀπόπτου (Soph. Philoct. 467)· ἐπὶ τοῦ ὑψηλοῦ τόπου, ὅθεν ἐστὶν περισκοπεῖν τὰ ὑποκείμενα [3600]
ἐξ ἀποτρόχου (Aristoph. fr. LXXXVIII p. 1197)· ἐκ περιδρόμου
ἐξ ἀπροσεξίας· ἐξ ἀμελείας [3]
ἐξᾶραι· οὕτως λέγεται, ὅταν τι τῶν ὀρνέων εἰς μετέωρον ὕψος αἴρηται
ἐξ ἀρακάων (Aeoles)· ἐκ φιαλῶν
ἐξαράξαντες· ψοφήσαντες, κρούσαντες
†ἐξαρέσασθαι· διῶξαι (v. ἀραχθείς)
ἐξᾶρεν· ἐκτός ἐστιν
ἔξαρθρος (Hippocr.?)· ἐκμελής
†ἐξαρῆξαι· ἐκφορῆσαι
ἐξαρκεῖ (Eur. Hipp. 278)· ἐπαρκεῖ
ἐξαρκέσει (Hippocrat. bis)· ἐκποιήσει
ἐξαρκῆ· ἀρκοῦσαν
ἔξαρνος (Herod. III 66 Ar. Nubb. 1230)· ἀρνούμενος [15. 16]
ἐξαρτηδόν· μετὰ τοῦ ἐκκρεμάσθαι
ἐξαρτίζει· πληροῖ. τελειοῖ
ἐξαρτίσαι· ἐκκρεμάσαι (ad ἐξαρτῆσαι). τελειῶσαι
†ἐξαρτύειν· παιδεραστεῖν
ἐξαρύσαι (Hippocr. II p. 134)· ἐξαντλῆσαι (v. ἀρύσαι)
†ἐξαρώμεναι· ἐξ ἀγκῶνος φλεβοτομούμεναι
ἐξᾶς· εἶδος ...... παρὰ Συρακουσίοις
†ἐξασελλάνωμεν· ἀναπληρώσωμεν
ἐξαναίνεται (Arist. fr. inc. XLVI)· ἀποθνήσκει
ἐξαύδα (Α 363 Eur. Hec. 183)· ἔξειπον, λέγε. φώνησον. βόησον
ἐξαῦσαι (cf. Plat. Com. p. 627)· ἐξελεῖν
ἐξαυστήρ (Aesch. fr. 417)· κρεάγρα
ἐξαυτῆς (Cratin. fr. IX p. 36)· παραυτίκα [30]
ἐξαφάζων· ἐξ ἑαυτοῦ γιγνόμενος. καὶ περιβλέπων [32]
†ἐξαφορήσωσιν· εὐπορίσωσιν
ἐξαφύουσιν· ἐξαντλήσουσιν [35]
ἐξεγένετο (Herodot.)· ἐξεποίησε
ἐξέγρετο· ἐξηγέρθη
ἐξέγρης· ἐξηγέρθης
ἐξεγρύτευσας· ἐξηρεύνησας (cf. ἐκγρ—)
ἐξεδ(εδ)ιήτητο (Thuc. I 73)· ἔξω τῆς νομίμου διαίτης ἐγεγόνει
ἐξεδήωσεν· ἐπόρθησε. κατέκοψεν
ἐξεδιήτησεν· κακῶς ἐδιήτησεν
ἐξεδίφησεν· ἐξεζήτησεν [44. 45]

COD. 83 ἐξίαι 84 τὸ ὑπόγυνος — ὑπογενιάζων 88 |γεῖ |σει 93 |φῶν 95 post 3597 ἐξαποίνασθαι 3605 post 13 ἐξαρκιάων (v. ἀράχαν) 6 |σαντες 8 ἐξάρει 13 ἐξαρκεῖν Post 13] 3605 17 ἐξαρτιδῶν 23 ἔξας 25 ἐξαναίνεται 26 λέγη — ἤθισον 36 ἐξεπονήσατο 40 ἐξεδιετεῖ, τὸ 41 ἐδιήκησεν 41—43 = 42. 3. 1 ἐξεδίωσεν (45 cf. ἐξειδεῖς)

HES. 77 ἐξανθήσει (Ps. CII 14 al.)· ἀνθήσει 81 ἐξανόμεναι· ἐκκενούμεναι (v. ἐξινωμένον) 89 ἐξαπαλλάξει (Υ 30)· ἐκπορθήσει, ἐκκενώσει 92 ἐξαπαφῶ (ψ 79)· ἐξαπατήσω 94 ἐξαπίνης· αἰφνιδίως, ἐξαίφνης (Ε 91) 97 ἐξ ἀπίης γαίης (Α 270)· ἀλλοτρίας, ἢ ξένης. ἢ μακρὰν οὔσης 98 ἐξαπίνα· (Marc. IX 8) 3600 ἐξαπορηθῆναι (II Cor. I 8)· ἐξαφανισθῆναι. ἐν ἀπορίᾳ γενέσθαι 3 ἐξάπτεσθαι (Θ 20)· κρατεῖσθαι τοῦ ἅρματος (ε—ε τοῦ ἅμμ—) 15 ἐξάρξατε (Ps. CXLVI 7)· προκατάρξατε. καταλέξατε 16 ἔξαρον (Sirac. XXXIII 9)· ἆρον. ἐξάλειψον 30 ἐξαῦτις (Α 223)· μετὰ ταῦτα. ἐκ δευτέρου 32 ἐξαφολέκτης (ἐξάφορον· lectica) 35 ἐξέβλω· ἐξέτρωσεν (ἐξήμβλω) 44 ἐξ ἑδρέων (Α 533?)· ἐκ τῶν καθεδρῶν 45 ἐξ ἕδρης (Τ 77)· ἐκ καθέδρας. ἢ ἐκπρεπής (Eur. Bacch. 928?)

ἔξεδρον· τὸν οὐκ αἴσιον οἰωνόν, οὐκ εὔθετον ὄρνιν, οὐκ ἐν δέοντι τῇ ἕδραν ἔχοντα (Ar. Av. 275 Soph. fr. 588) [47]

ἐξέθανεν (Hippocr. III p. 565)· ἐλιποθύμησεν

ἐξέθει· ἐξέτρεχεν

ἐξεθίαζε· χορείας ἐπετέλει [51]

ἐξεθιασθέν· λαμπρυνθέν ⟨3516a⟩

ἐξέθρωσκεν· ἐξεπήδα ⟨4322⟩

ἐξέθυσεν· ἀνεῖλεν. (ἐξέπνευσεν Eur. Or. 496)

(ἐξέθυψεν· ἐξέκαυσεν cf. 3847)

ἐξέθωψεν (Soph. fr. 772)· ἐξεθώπευσεν

ἐξεῖ· ἔξω. Λάκωνες

ἐξεῖα· τὰ ἑξῆς

ἔξειδ.., περισσοί. ἐκπρεπεῖς ⟨3645⟩

ἐξείη· [ad 59] κέρδος [60]

ἐξεικάδιοι· οἱ ἐκτὸς (τῆς) αὐτῆς εἰκάδος, καὶ τάγματος τοῦ αὐτοῦ [62]

ἐξ εἶκλω (Dores)· ἀπὸ δείπνου

ἐξεικονισμένον· μεμορφωμένον [65]

ἐξειλεγμένων· ἐκλεκτῶν

ἐξείλλειν· ἐκβάλλειν ⟨ἐξίλλειν⟩

† ἔξειον· ἐπιζήμιον τὸ καταδικάζειν τοῖς ἑκουσίοις. οἱ δὲ ἀπόλυσιν ἐγκλήματος [69. 70]

ἔξειρα· σκορπίος, ὁ ἰχθῦς [72. 73]

ἐξειρύσας (Herod. II 38)· ἑλκύσας [75. 76]

ἐξείς· ἀφείς

ἔξειτι (Dores)· ἐξελεύσεται

ἐξεκαρυκεύθη· ὀψοποιήθη καὶ συνεκόπη· καρύκη γὰρ ἔδεσμα ἐκ πολλῶν συγκείμενον [80]

ἐξεκέδασεν· ἐξεπέτασεν

† ἐξεκελέμησεν

ἐξεκήλησεν· ἔθελξεν

ἐξεκήρανεν (cf. Aesch. Eum. 128)· ἐξέφθειρεν

ἐξεκηρίωσας· ἐξέστησας

ἐξεκνημώθη· ἐξεφθάρη

ἐξεκοδόαξεν· ἐξέχεεν ⟨240⟩

? ἐξεδούαζεν· ἐξήνεγκεν ⟨ἐξωδίαξεν?⟩

ἐξεκόμπησεν ⟨—ασεν⟩· ἐξέπληξεν [89]

ἐξεκορήθη· ἐξεκαλλύνθη [91. 92]

ἐξεκώμασεν (Eur. Andr. 603)· ἐξεπόρνευσεν [94]

ἐξελ(α)θῆναι· ἐκδιωχθῆναι

ἐξελατέους· ἐκδιωκτέους

ἐξελάσωμεν· ἐκβάλωμεν [98]

ἐξέλειπεν· ἐπαύσατο

ἐξελέσθαι· σῶσαι

† ἐξέλιπον· ἐξώλισθον

ἐξελεύθεροι· οἱ τῶν ἐλευθερουμένων υἱοί

† ἐξελθεῖν· ἐξωθεῖν ⟨ἐξπελεύειν⟩

ἐξέλεψεν· ἐξέγλυψεν. ἐξελέπισεν

ἐξελιγμός· κίνησίς τις παρὰ τοῖς τακτικοῖς ἡ ἐνόπλιος

ἐξελίσσουσι (Eur. Tro. 3)· κινοῦσιν [3707—9]

ἐξελύτρωσας· ἐγύμνωσας ⟨ab ἐξελυτρόω⟩

ἐξελώπισεν· [ ] ἐξεσκύλευσεν, ἐξέδυσεν (Soph. Tr. 925)

ἐξελώτισεν· ὡς ἐπὶ τοῦ λωτοῦ, ἐξεπόρθησεν, (ἀπήνθισεν) [13]

ἐξέμεν (Ε 473 Δ 141)· ἐξαφεῖναι ⟨cf. ἐξιμέναι⟩

ἐξεμέτρει· ἐπὶ ἅλωνος ἐμέτρει

ἐξεμήμεκεν· ἀπήρασεν. ἐξέχεεν [17]

ἐξέμολεν· ἐξῆλθεν ⟨v. ἐσμόνω⟩

ἐξεμοῦντες· ἀποβάλλοντες

ἐξεμούσωσεν (Eur. Bacch. 825)· ἐξεπαίδευσεν

ἐξέμπαλιν· ἐπαριστέρως

COD. Post 52 ἐξέπνευσεν 56 ἔξει ⟨v. ἐξιθυίω, ἐξηπέτριπται⟩ 63 ἐξείκλω 67 ἐξειλεῖν· ἐκβαλεῖν 77 ἀφιείς 82 ἐξήυλησεν 83. 84 = 84 (ἐξεκηρύωσας) 83 83 cf. κηραίνει 85 ἐξεκνυμώθη 90 |ήνθη· ἐξαλλύνθη 11 [ἀπήνθησεν] 12 cf. 3676 15 ἄλωνον ⟨16 cf. 3698⟩

HES. 47 ἐξεδύοντο (Γ 114)· ἀπεδίδυσκον 51 ἐξέθορεν (Φ 539)· ἐξεπήδησεν Ad 59: ἔξοδος ⟨ad ἐξεσίη⟩ 60 ἐξείης (Α 448)· ἐφεξῆς 62 ἐξείκοιτο (Ω 481)· παρεγένετο 65 ἐξείλλατο (LXX)· ἐρρύσατο 69 ἐξείπω (Ι 61)· φανεροποιήσω 70 ἐξείνισ(σ)α (Γ 207)· ἐξένισα 72 ἐξείρετο (Ω 361)· ἠρώτα 73 ἐξειρεείνων (μ 259)· ἐξερευνῶν ⟨3753⟩ 75 ἔξεισιν (υ 130)· ἐξέρχεται 76 ἐξειλώτησεν· ὡς ἐπὶ τοῦ λωτοῦ, ἐξερπόθησεν ⟨v. ἐξελ—⟩ 80 ἐξεκαλύσω (Eur. Tro. 957)· ἐκ τῶν προμαχώνων 89 ἐξεκ.νόθη· κατηντλήθη ⟨v. ἐξηονήθη⟩ 91 ἐξεκκλησίασε (Num. XX 10)· συνήθροισεν 92 ἐξεκλίσθη· ἔπεσεν (Ζ 42). ἀπερρίφη (Rom. III 27) 94 ἐξελάαν (Θ 527)· ἐξελάσαι. ἀποδιῶξαι 98 ἐξέλεα· ἐξήρα ⟨ἐξέχεα· ἐξήρασα cf. 3716⟩ 3707 ἐξελκόμενος (Iac. I 14)· περιαγόμενος. περισυρόμενος 8 ἔξελον (Λ 626)· ἐξαίρετον ἔδωκαν ⟨ἐκδέδωκεν cod.⟩ 9 ἐξελύθη (v. l. Ε 293)· ἐπαύσατο τῆς ὁρμῆς (an I Macc. IX 8) 13 ἐξ ἐμέθεν (Δ 525)· ἐξ ἐμοῦ (Greg. Naz. C. IV 161) 17 ἐξέμμορεν (ε 335)· ἔλαχεν

ἐξ ἐναντίων· ἐξ ἀντικειμένων [23—27]
† ἐξεντισμέναι (Ar. Lys. 43)· κεκοσμημέναι ⟨cf. ἐντεσμέναι⟩
ἐξεπάλησεν (Hippocr. III 129)· ἐξέπεσεν
ἐξ ἐπάλξεων (Eur. Tro. 957 Phön. 1012)· ἐκ τῶν προμαχώνων
ἐξέπαλτο· ἐξεπήδησεν
ἐξεπατάγησαν· ἐξεφώνησαν
ἐξεπατάχθη· ἐξεπλάγη ⟨1608⟩
ἐξ ἐπαφῆς (Aesch. Suppl. 17)· ἐκ ψηλαφήσεως
ἐξέπερ(σ)εν· ἐξεῖλεν. ἐπόρθησεν [36]
ἐξέπηλεν· ἐξεγένετο ⟨—ελεν⟩
ἐξ ἐπιδρομῆς· ἐξαίφνης
ἐξέπινεν· προέπινεν ⟨v. ἐκπίνειν⟩
ἐξ ἐπιπολῆς· ἄνωθεν, ἄρριζος
ἐξεπιτάξ· ἐξεπίτηδες [42]
ἐξεπλάγη (Eupol. fr. XXXVII p. 561)· ἐθαύμασεν. ἐξέστη ⟨3787⟩
ἐξεπολεμοῦντο· τὰ πολεμίων καὶ ἐχθρῶν ἔπραττον
ἐξεπολέμωσε· πολεμίους εἰργάσατο [46]
ἐξεπράξατο (Eur. Hec. 515?)· ἐφόνευσεν
(ἐξεπυρήνισε·) ἐξέθλιψεν
ἐξεπύρωσεν (Eur. Herc. f. 421· ἐξέθυψε)
ἐξ ἐράνου· ἔρανος εὐωχία
ἐξεργάσῃ (Eur. Hipp. 607)· διαφθείρῃ [52]
ἐξερεείνων (μ 259)· ἐξερευνῶν ⟨3673⟩
ἐξερέῃ (Callim. fr. LXVII 4)· ἐξηγῇ ...
ἐξερεύειν· ἐξερευνεῖν
ἐξέρευκα· ἐξηρεύνηκα [57]
ἐξερέω (Soph. Ai. 423, Δ 212)· λέξω. [ad 58] [59—62]
† ἐξέρεκτα· ἐκπέσῃ
ἐξερίπῃ (Ξ 414)· ἐκπέσῃ [65]
ἐξέρπειν (cf. Xen. An. VII 1, 6)· ἐξιέναι [67. 68]
ἐξερπύσαι· ἐξολισθῆσαι
ἐξέρρον· ἐξεπορεύοντο
ἐξέρρευσας· ἐπ' ἐμὲ ἀφῖξαι. ἤτοι ἐπὶ τῶν νεύρων ⟨ἐξέρρωσας⟩ [72—74]
ἐξερύσασκεν (Κ 490)· † ἐκφύναι
ἐξερῶ· ἐξ(ετ)άζω
ἔξεσα· ἔξωθεν. Λάκωνες ⟨v. ἔντεσα⟩ [78]
ἐξεσίας· πρεσβείας
(ἐξεσκληκότες· ξηρανθέντες, cf. 3893)
ἐξ ἔσχον· ὑπῆρχον [81]
ἐξέσμων (Herod. III 148)· ἔσμηχον. καὶ ἔσμων δὲ τὸ αὐτό
ἐξεστακότα· εἰς δίκην κεκληκότα
ἐξεστηκὼς οἶνος· ὁ ὀξίνης [85. 86]
ἐξέστην (Philippid. fr. V p. 476)· ἐθαύμασα. ἐξεπλάγην [3742⟩ [88]
ἐξέστησεν (Eur. fr. 267, Carcini)· εἰς ἔκστασιν ἤγαγεν
ἐξέστρεψεν· μετέβαλεν
ἐξ ἑστίας ἄρχεσθαι· παροιμία
ἐξετάζεται· ἀριθμεῖται † οὐ δεόντως [93—97]
ἐξέτειον· ἐκ τούτου τοῦ ἔτους, οἷον ἐπέτειον [99—3801]

COD. 29 legebatur post 43: ἐξέπλη 36 προμαξόνων 31 ἐξέπαλτον· ἐξεπήδησαν 34 ἐξε| ἐκφ| 34 ἐπόρθησαν ⟨37 cf. ἐξήπιλεν, ἐκπέλει 38 ἐξ ἐφόδου· ἐξ ἐπιδρομῆς Cyr.⟩ 41 ἐξεπίταξεν Post 43: 29 45 πολέμους 51 |σει bis 55 ἐξερευεῖν ⟨v. ἔρευε⟩ ἐξευρεῖν 56 ἐξερεύεκα 66 ἐξερπετεῖν· ἐξεῖναι ⟨ἐξίναι?⟩ 67 ἐξερεῦσαι 70 ἐξέρον 71 ἐξέρρωσας 77 ἐξέσας 80 ἐξέσιον 83 ἐξεστηκότα 84 ἐξεστικός 86 ἐπεξουσιασταί

HES. 23 ἐξενάριξας (Π 573)· ἐσκύλευσας ⟨3875⟩ 24 ἐξενάριξεν (Δ 488)· ἐσκύλευσεν. ἀπέκτεινεν 25 ἐξ ἐνάρων (Ι 188)· ἐκ τῶν σκύλων 26 ἐξ Ἐνετῶν (Β 852)· πόλις Παφλαγονίας 27 ἐξ ἐνοπῆς (Π 782)· ἐκ τῆς μάχης, ἢ βοῆς 36 ἐξεπέτασεν (Prov. XIII 16)· ἥπλωσεν. ἀνέφξεν 42 ἐξ ἐπιδιφριάδος πυμάτης (Κ 475)· ἐξ ἄκρας τῆς ἄντυγος τοῦ δίφρου. ἐκ τῆς ἐπιβάσεως. τοῦ παραβάτου γάρ. τοῦ δίφρου καὶ τοῦτο [τὸ] μέρος 46 ἐξεπράθομεν (Α 125)· ἐξεπορθήσαμεν 52 ἐξερέηνεν (Ι 672)· ἠρώτησεν 57 ἐξερεύμην (ξ 232)· ἐξαίρετα ἐλάμβανον ⟨3526⟩ Ad 58: [ἢ τὴν ἐπιθυμίαν ἐπλήρωσαν ⟨3765⟩ 59 ἐξ ἐρέβευς (Θ 368)· ἐκ τοῦ σκότους 60 ἐξ ἐρέβευσφιν (Ι 572)· ἐκ τοῦ ἐρέβους, ὅ ἐστιν σκότους 61 ἐξέρημα (II Petr. II 22) 62 ἐξερεύξεται (Exod. VIII 3)· ἐξενέγκῃ ⟨διενέγκει cod.⟩ 65 ἐξ ἔρον ἕντο (Β 432)· ἐξήνεγκαν τὸν ἔρωτα, τουτέστιν τὴν ἐπιθυμίαν ἐπλήρωσαν 67 ἐξερύσαι (Ε 666)· ἐξαγαγεῖν. ἑλκύσαι 68 ἐξέροιτο (δ 119)· † ζητῶν. καὶ διηρώτα 72 ἐξερύησαν (I Macc. IX 6)· ἔφυγον 73 ἐξερύοι (Κ 505)· ἐξέλκοι 74 ἐξερύσασκεν (Κ 490)· ἐξεῖλκεν 78 ἐξεσίη (Ω 235)· ἡ κατὰ πρεσβείαν ἔξοδος 81 ἐξεσίην (φ 20)· δημοσίαν ἐκπομπήν[ον]. χρείαν. ἀγοράν. λῆμ[μ]α. πρεσβείαν. δημηγορίαν. ἀπαίτησιν. χρήματα 85 ἐξέσσυτο· ἐξώρμησεν (Η 1), ἐξήρχετο 86 ἐξέσται (I Macc. XIV 44)· ἐπ' ἐξουσίας ἔσται 88 ἔξεστι· δυνατόν .... 93 ἐξέταμον (Λ 460)· ἐξέκοψαν 94 ἐξετανύσθη (Η 271)· ἡπλώθη 95 ἐξέτασις (Sapient. I 9)· βασανισμός 96 ἐξετασμός (Prov. I 39)· κρίσις. ἐρώτησις 97 ἐξετείλειον (Ι 493)· ἐπλήρωσαν 99 ἐξέτηξας (Ps. XXXVIII 12)· ἀνήλωσας 3800 ἐξέτηξεν (Ps. CXVIII 139)· ἐλέπτυνεν 1 ἐξ ἔτι τοῦ (Ι 106)· ἐξ ἐκείνου τοῦ χρόνου (Greg. Naz. C. XIII 57 p. 65 Dr.)

ἐξετμήθη· διεκόπη
ἐξετόξευσεν (sch. Eur. Andr. 364)· ἐξέπεσεν (τοῦ προσήκοντος) [4]
ἐξετρίβετο· σφόδρα ἐκοσμεῖτο
ἐξευασμένου· τεθνεῶτος, (αὔου) γενομένου ⟨ἐξηυ—⟩
ἐξευγενίσω· ἐλευθεροποιήσω
ἐξευδίασεν· εὐδίαν ἐποίησεν [9]
ἐξ εὐετηρίας· ἐξ εὐδαιμονίας [11]
ἐξευμαρίσθη· παρεσκευάσθη
ἐξευμενίσασθαι· ἐξιλεώσασθαι, ἐξιλάσκεσθαι
ἐξευμενίσονται· ἐξιλεώσονται [15]
ἐξ εὐπατριδᾶν (Theocr. XVIII 53)· ἐξ εὐγενῶν
†ἐξεύχομαι· ἀφίξομαι ⟨ἐλεύσομαι?⟩ [18—20]
ἐξέφαινον· ὑπέφαινον [22]
ἐξεφαύλιζον· ἐξευτέλιζον ⟨v. ἐφαύλιζον⟩ [24]
ἐξέφθιτο (ι 163 μ 320)· ἐξέφθαρτο. ἐδεδαπάνητο
ἐξεφόρουν· ἐξέφερον
ἐξέφρηκεν· ἀφῆκεν ⟨v. ἐπέφησαν⟩
ἐξέφυ (Eur. fr. 594· ἐξ)εβλάστησεν [29. 30]
ἐξεχαρυβδαάνθη ⟨—ίσθη⟩· ἀνεπόθη
ἐξέχεαν ὅρκια· οἷον παρέβησαν
ἐξέχειν (Demosth. 1071, 3)· ἀνατέλλειν ἥλιον
ἔξεχ' ἐμεύνη· χωρὶς ἐμοῦ. Λάκωνες
ἐξέχεσθαι· ἐξέχειν [36]
ἐξεψάμενος (Aeoles)· κατασχών. περιπλακείς ⟨v. ἔμμα⟩
ἐξέωσαν (Thuc. II 90, 5)· ἐξώρισαν, κατέβαλον, ἢ ἐξέβαλον
ἔξηβος (cf. Aesch. Sept. 11)· ἔξω τῆς ἥβης. τριάκοντα πέντε ἐτῶν
ἐξηγεῖσθαι (Thuc. I 71, 7)· ἡγεῖσθαι [41]
ἐξηγητής· (Eupol. fr. XXIII 545)· ὁ περὶ ἱερείων καὶ διοσημιῶν ἐξηγούμενος
ἐξηγοῦ (Aesch. Eum. 609)· καθηγοῦ [44—47]
ἐξήϊα· θυμιάματα ⟨κήϊα?⟩
ἐξηκασμένοι· ὁμοιωθέντες
Ἐξηκεστίδης (Phrynich. com. II p. 588)· μοχθηρὸς συκοφάντης
Ἐξήκεστος (Com. fr. CXXVII p. 636)· ἡταιρηκώς. ὅθεν καὶ τοὺς πρωκτοὺς ὁμωνύμως Ἐξηκέστους ἔλεγον
Ἐξηκεστιδαλκίδαι (Comic. IV p. 636)· παρὰ τὸν Ἐξηκεστίδην καὶ Ἀλκ(ε)ίδην τοὺς κιθαρῳδούς
ἐξήλατον (Μ 295)· εὐποίητον. ἢ ἐξ πτυχὰς ἔχον
ἐξήλατος· συντετριμμένος [56]
ἐξηλευθέρωται ὁ δοῦλος, ὁ δὲ πράγματος ἀπολυθεὶς ἠλευθέρωται [57]
ἐξηλιασμένον· κεκαυμένον ὑπὸ τοῦ ἡλίου (II Regg. XXI 14?)
ἐξ ἠλιθιότητος· ἐξ ἀναισθησίας
†ἐξηλίμβωρ· ἔβλεπε. Λάκωνες
†ἐξηλίφαμεν· ἐξεκαθάραμεν
ἐξήλυξεν (Eur. Hec. 1194)· ἐξέφυγεν ⟨v. ἠλ—⟩ [63]
(ἐξήμβλω· ἐξέτρωσεν) v. 3635
ἐξήμβλωσαν (Plat. Theaet. 150 E)· ἐξέτρωσαν. ἐξέφθειραν. οὐ διέσωσαν
ἐξήμευσαι· ἀπο(κε)κίνησαι
ἐξημμέ(ν)οι· ἐκδεδεμένοι. ἢ ἐνδεδυμένοι
ἐξημερῶσαι (Herod. I 126)· ἡμεροποιῆσαι [68]
ἐξημοιβαί· ἕτεραι ⟨v. 3565⟩
ἐξημπέδου (Xen. Cyr. III 1, 21)· ἔλυε τὰ ἔμπεδα
ἐξῆν· ἐξεγένοντο ⟨recte⟩. ἢ δυνατὸν ἦν

COD. 3806 τεθνεώτου 7 |ήσω 9 ἐνέρριψε 10 εὐετησίας 16 εὐπατρίδων 25 |ητο, δ—ετο 27 ⟨ἀπέφρησαν, εἰσέφρηκεν⟩ 34 ἐξεχέμεναι 38 ἐξόρισαν 42 διοσημείων 49 ἐξηρκασμένοι 50 |ήδης 51 ἡταιρικὸς 52 ἐξήκεστομαλκίδαι περὶ 61 ἐξηλοίαμεν 62 ἐξήλοισεν 65 ἐξημεῦσαι, ἀποκινῆσαι 70 legebatur ἐξηπέδου post 3881

HES. 4 ἐξετράπησαν (I Timoth. I 6)· ἐξέκλιναν 9 ἐξέτρωσεν (Symm. Iob. XXI 10)· ἐξήμβλωσεν, ἔρριψε τὸ βρέφος 11 ἐξ εὐηγεσίης (τ 114)· ἐξ εὐδαιμονίας 15 ἐξ εὐνῆς (Ξ 336)· ἐκ κοίτης 18 ἐξ εὐωνύμων (Matth. XXV 33)· ἐξ ἀριστερῶν 19 ἐξεφαάνθη· ἐφάνη (Δ 468) 20 ἐξεφάνη (Σ 248)· φανερῶς ἐγένετο 22 ἐξέφατο· δεδαπάνητο (3825, non ἐξεπέφατο) 24 ἐξ ἐφημερίας (Luc. I 5)· ἐκ τοῦ συνεχοῦς .... 29 ἐξεφύρθης (Ierem. III 2)· ἐμιάνθης 30 ἐξεφύσησα (Hagg. I 9 Mal. I 13)· διεσκόρπισα. [ἐξεφυσίασα]. ἐβδελυξάμην 36 ἐξεχύθησαν (Thren. IV 1)· ἠφανίσθησαν 41 ἐξηγήσατο (Ioann. I 18)· ἡρμήνευσε 44 ἐξηγορίαν (Iob. XXII 22)· ἐπαγγελίαν 45 ἐξηγορηκώς· ἐξειρηκώς 46 ἐξήηται· ἤρτηται. κρέμαται ⟨3884[b]⟩ 47 ἐξύθυψεν· ἐξέκαυσεν ⟨3654[b]⟩ 55 ἐξηλέκατα· φανερῶς γενόμενα ⟨ἐξέλεγκτα⟩ 57 ἐξήλατον (Μ 295)· ψιλῶς μὲν ἐξ ἐλασμάτων καὶ πτυχῶν συγκείμενον· δασέως δὲ ἐξάπτυχον 63 ἐξημεροῖ· πραΰνει 68 ἐξημοιβά (θ 249)· ἀλλακτὰ διὰ τὸ πλῆθος

† ἐξήμαρε· ἐπέρασεν
ἐξηυδρωμένον· ὀρθιάζοντα
ἐξηνήσαμεν ⟨—ύσαμεν?⟩· ἐξεβάλομεν
† ἐξηνηθησάμην· διῆλθον. ἀνέγνων [ad 75] [76]
ἐξήνιοι· ἀλλότριοι, παρὰ τὸ ἔξω ἡνίων γενέσθαι· ἡνία δὲ τὰ λῶρα· ἀνυπότακτοι
ἐξήτιον· ἔξω τοῦ ζυγοῦ
ἐξηντληκέναι (Eur. Med. 79)· ἐξαντλῆσαι
(ἐξηουνήθη· κατηντλήθη cf. 3689)
ἐξηπάτησεν (Ar. Vesp. 1291)· ἐξεπλάνησεν [81]
ἐξηπειρῶσθαι· ἤπειρον γενέσθαι
† ἐξηπέτριπται· δεδαπάνηται. Λάκωνες
(ἐξῆπται· ἤρτηται, κρέμαται cf. ἐνῆφθαι) [84. 85]
ἐξηρημένην· ὑφουμένην. τινὲς ἐξηερμένην ⟨recte⟩
ἐξήριπεν (Hippocr. III p. 58)· ἐξέπεσεν
† ἐξήρηνται· ἐξηρήμωνται
ἐξηρτημένοι· κρεμάμενοι. ἢ κεκοσμημένοι ⟨ad —υμένοι⟩
ἐξηρ(ώ)ησαν (Ψ 468)· ἐξώρμησαν [91]
ἐξησκημένον· δυσνόητον [93]
ἐξητασμένος· δεδοκιμασμένος
ἐξήτησαν· ἤτησαν. ἐδυσώπησαν. παρεκάλεσαν
ἐξηυλημένον· ἄχρηστον. αἱ γὰρ παλαιαὶ γλωσσίδες τῶν αὐλῶν ἐξηυλημέναι ἐλέγοντο, καὶ αἱ κατατετριμμέναι
† ἐξήχμησαν· ἠρήμωνται· διὰ τὸ τὰ ξόανα ἀπολελοιπέναι αὐτούς· ἢ ὅτι οὐκ ἐπέθυον αὐτόθι οἱ βάρβαροι τῶν θεῶν
ἐξηχεῖτο· ἐξηκούετο [99]
ἐξιατρός· ἐκθυτικός
ἐξιεροῦν· χρήματα θεοῖς ἐπαγγέλλεσθαι
ἐξιθυίω· ἔξω καθίσω [3903. 4]
ἐξικμάζεται· ἐξόλλυται [6]
ἐξικνούμενον· ἐξαρκοῦν. ἐκδυόμενον
ἐξικόρ (Lacones)· ἐκτικός [9—12]
ἐξίλλειν· [ ] κωλύειν. † κτείνειν [ad 13] [14]
ἐξίνει· ἐπέσβενν(υ)εν
(ἐξινησάμην· ἐξεφόρησα cf. ἀπεξινησάμην)
ἐξινώμενον· ἐκκενούμενον. ἐκστραγγιζόμενον· λέγεται δὲ ἐπὶ τῶν χολὴν καθαιρομένων
ἐξιονθίζω·
    ἐξιονθίζω τρίχα
ἐκδίδωμι. ἔστι γὰρ ἴονθος ῥίζα τριχῶν, ἢ (τὸ) ὑπερέχον [18]
ἐξιποῦται· ἐκπιέζεται
ἕξις· ἦθος, [ἢ] ἐκ τοῦ ἔχειν. φρόνησις. συνήθεια
ἐξίσμη· ἔξοδος
ἐξ ἰσοστασίου· ἐξ ἴσου· ἐκ τοῦ ὁμοίου [23. 24]
ἐξίστασθαι· διαφθείρεσθαι ⟨de vappa⟩
ἐξίσταται· ἐκπλήττεται
ἐξίστη· ἐξέπληττε
† ἐξίστιον· ἔχθιστον
† ἔξιστον· ἱερεῖον
ἐξιστορήσαντες (Herod. VII 195)· ἀναζητήσαντες
ἐξίταλα· ἀναλώματα ⟨v. ἐσσίταλα⟩
ἐξίτηλα (Herod. I 1)· ἀσθενῆ. ἀνόητα. ἄχρηστα. ἀδόκιμα [ad 32]
ἐξιτηλία· μωρία
ἐξίτηλον (Aesch. fr. 157)· ἐξῶλες (Herod. V 39). ἀμαυρόν. ἢ τὸ ἀπολλύμενον· παρὰ τὸ ἐξιέναι, ὅ ἐστιν ἐξελθεῖν. ἢ ἀνόητον
ἐξίτηλος· ὑπερήφανος. βλάξ. διεφθαρμένος
ἐξιτήρια· ἡμέρα, ἐν ᾗ τὰς ἀρχὰς ἀπετίθεντο Ἀθήνησιν

COD. 73 |ομένον 77 ἡλοίω δὲ — ἀνυποτακτ.. 79 ἐξηντημέναι, ἐξαπατῆσαι Post 81: ἐξηπέδου, cf. 3870 83b cf. ἐξήηται 86 τὲ ἠρεμένην 87 ἐξήρηπεν, ἐξέπεμψεν (ἐξήρειπε cod. Vat. Hippocr.) 96 ἐξηυλίδες ἐλ| 99 ἐξηχεῖτο 3902 ⟨ἐξεῖ θύσω, ἔξω καθαγίσω Meineke⟩ 7 εἰσδ| 8 ἐξικορ ⟨15 ἀποξίννυναι ἔξινεν ξείναμεν⟩ 16 ἐκνενούμενον 17 ἐξιονδίζω 19 ἐξίπιται 21 ἐξίθνη 30 legebatur post 3921 34 ἔξαλλα ἁλμυρόν

HES. Ad 75: ἐξεφόρησα ⟨v. ἐξιν—⟩ 76 ἐξηνέριξας (Π 692)· ἐσκύλευσας. ἀνεῖλες ⟨3723⟩ 81 ἐξήπαφεν (ξ 379)· ἠπάτησεν 84 ἐξήπιλεν· ἐξεγένετο ⟨ἐξέπελεν⟩ 85 ἐξηρεύξατο (Ps. XLIV 1)· προεβάλετο 91 ἑξῆς (δ 449 Iud. XX 48)· ἐφεξῆς 93 ἐξησκληκότες· ξηρανθέντες ⟨3779b⟩ 99 ἐξήχηται (I Thess. I 8)· ἐξῆλθεν. ἐκηρύχθη 3903 ἐξιθύνει (Ο 410)· ὀρθοῖ 4 ἐξιχνεῖσθαι· χωρεῖν 6 ἐξιχνεῖται· .... 9 ἐξίκοιτο· παραγένοιτο ⟨v. ἐξείκοιτο⟩ 10 ἐξιλάσσεται (Levit. XVI 33)· προσεύξεται. πραΰνει ⟨sic⟩ 11 ἐξιλάσκεσθαι (LXX)· ἐξευμενίσασθαι 12 ἐξίλασμα (I Regg. XII 3)· ἀντίλυτρον. ἀναx.. τικὸν δῶρον (Ps. XLVIII 7) Ad 13: ἀπείργειν — ἐκβάλλειν ⟨Morris⟩ 14 ἐξίμεναι ⟨v. διεξιμέναι⟩· ἐξαφῆναι. ἐξελθεῖν (λ 530) 18 ἐξιπόμενος· καθαιρόμενος χολήν, ἢ ἐξεμῶν, ἢ ἐκρέων ⟨ἐξινωμένος⟩ 23 ἐξιστακέναι (Act. App. VIII 11)· θαυμάσαι 24 ἐξίσταντο (Act. App. II 7)· ἐθαύμαζον Ad 32: ἐγγὺς ἀφανισμοῦ (Hebr. VIII 13)

ἐξιτήριον· ἐ(υ)κτικόν
ἐξιτητός· ἐκπορευόμενος
ἐξιχνεύει· ἐξερευνᾷ, ἀναζητεῖ [40]
ἔξμετρα· ἐξάμετρα
†ἐξόβλητον· ἐξόριστον. ἀπόβλητον [43]
ἐξοδῆσαι· ἐξοδεῦσαι [45]
ἐξόδιοι νόμοι (Cratin. fr. CLXX)· δι' ὧν πάντες ἐξελεύσονται [47]
ἐξονομακλήδην (X 415)· ἐξ ὀνόματος καλῶν
ἐξονομάσεις· ὀνομάσεις [50]
ἔξοντες· ἔχοντες
ἐξ ὄνυχος· παροιμία
ἐξοπλίσας (Herod. VII 100)· ὁπλίσασθαι κελεύσας
ἐξ ὀπός· ἐκ τῆς φωνῆς
ἐξορίζειν· ὀρὸν ἐκπιέζειν τυροῦ [56]
ἐξορίζομαι· ....
ἐξόριστος· τῶν ὅρων ἐκτός
ἐξορμᾷ· ἐκπηδᾷ. ἔξεισιν. ἐκτρέχει
ἐξορμενίζεις (cf. Soph. fr. 294)· ἐκκεκαύληκας. ἐκκέχυσαι [61]
ἐξορχήσομαι· χλευάσω, ὑβρίσω
ἐξοσιοῦν· δικαιοῦν
ἐξοσιούσθω (Eur. Bacch. 70)· ὅσιος γινέσθω
ἐξοστρακισθῇ· ἐξορισθῇ· ἐπειδὴ εἰς ὄστρακον ἔγραφον τὰς ἐξορίας [67—70]
ἔξουθα (Cyprii)· ἐκτός
ἐξουθενεῖ· παρακρίνει
ἐξουθενούμενοι· κατευτελιζόμενοι
ἐξουλάς· ἐκβολάς ⟨vulva eiecticia⟩
ἐξούλης δίκη (Phrynich. com. fr. IV p. 596)· ἐξούλης δικάζεταί τις, ὅταν φάσκῃ κατέχεσθαι αὐτοῦ κτῆμά τι ἐπιβάλλον αὐτῷ· ὅπερ ἴλλειν λέγεται, τουτέστιν ἐκβάλλειν
ἐξ οὐρίου· ἐξ ἐπιτηδείου ἀνέμου [77]
ἐξοφρυωμένοι· ἐπηρμένοι. ὑπερήφανοι ⟨ἐξω—⟩ [79]

ἐξοχετευόμενα· ἐκρέοντα, ἢ ἐκτὸς ἔχοντα τοὺς ὑδρηγούς [81]
ἐξοχώτατος (Eur. Suppl. 889)· ὑπέρτατος
ἐξόχως· ὑπερβαλλόντως. καλλίστως. πάνυ [84. 85]
ἐξυδαροῦται· ἐξυδατοῦται
ἐξυδατισθέν· ὡς ὕδωρ
ἐξ ὑμάλων (Aeoles)·
(ἐξ ὑμοίων·) ἐξ ὁμοίων Aeoles
ἐξ ὑπαρχῆς (Soph. O. T. 132)· ἐξ ἀρχῆς
ἐξ ὑπερ†χέμων· ἐξ ὑπεροχῆς, ἐκ κορυφῆς
ἐξύπισθα (Alcaeus)· ἐκ τοῦ ὀπίσω
ἐξ ὑπογύου (Plato Menex. 235 C)· ἐκ τοῦ σύνεγγυς
ἐξυσ' ἀσκήσασα (Ξ 179)· ὑφάνασα
ἔξυσεν· ἐδημιούργησεν
ἐξυφήνας· κατασκευάσας
ἔξω ἀμέλγεται (Hipppocr. III p. 56 K)· ἐκθλίβεται
ἐξωβάδια· ἐνώτια. Λάκωνες
ἐξώγκουν· ἔθαπτον (Eur. Or. 402). ἐμεγάλυνον
ἐξώγκωσεν· ὕψωσεν
†ἐξωγύρου· εὐκαταπρίστου [ad 4000]
ἔξω γλαῦκε· [2]
ἐξώκειλεν· ἐξέπεσεν. ἐκ μεταφορᾶς τῶν πλοίων
ἐξώκελ(λ)ον· ἐξῆλθον
ἐξώκοιτος· ἔξω κοιταζόμενος
ἐξώκοιτος (Clearchus)· εἶδος ἰχθύος. (ὁ) καὶ ἄδωνις
†ἐξωλαίμας· οὐκ αἰσίους ⟨ἐξώλεας⟩
ἐξώλης· κίναιδος
ἐξώλιγξε· ὤλισθεν [10. 11]
ἐξωμίς· χιτὼν ὁμοῦ καὶ ἱμάτιον. τὴν γὰρ ἑκατέρου χρείαν παρεῖχεν· καὶ χιτῶνος μὲν διὰ τὸ ζώννυσθαι, ἱματίου δὲ ὅτι τὸ ἕτερον μέρος ἀνεβάλλετο. παρ' ὃ καὶ οἱ κωμικοὶ (anon. CXXVIII) ὁτὲ μὲν ἔνδυθι ὁτὲ δὲ περιβαλοῦ ....

COD. 37 ἐκτικόν 38 ἐξίτητος 46 ἐξοδιονόμοι 53 ἐξοπλήσας 55 ὄρον 66 ἐξωστρακίσθη, ἐξωρίσθη 71 ἐξουθᾶ 75 ἐξουλῆς bis ἐπιβάλλων — εἴλλειν 76 ὁρίου ⟨3956⟩ 78 |ομένοι 81 ἐνάριστος 88 ὑμάλλων 91 ἐξυπίσθα 3 |ελλεν 4 ἐξώκολον 6 post 2 9 |ξει, ὤλυ| 12 χιτῶνα — ἱμάτιον — ἐβάλλετο παρὰ καὶ οἰκονομικοὶ

HES. 40 ἐξιχνιασάμην (Iob. V 27)· ἐξηρεύνησα, ἀνεζήτησα 43 ἐξ οὗ δή (Α 6)· ἀφ' οὗ δὴ χρόνου 45 ἐξοδίαν (III Esd. IV 23)· ἐκστρατείαν 47 ἔξομπλον· ἴσον ⟨exemplum⟩ 50 ἐξονομήνῃς (Γ 166)· ἐξ ὀνόματος εἰπών, ἢ ἐξείπῃς 56 ἐξ ὀρίου· ἐξ ἐπιτηδείου ἀνέμου 61 ἐξορύξαι (I Reg. XI 2)· ἐκφθεῖραι 67 ἐξότολον· φανερόν ⟨οὐκ ἐξίτηλον⟩ 68 ἐξ οὗ (β 27)· ἀφ' οὗ ⟨3943⟩ 69 ἐξουδένωσας (II Reg. XII 10)· ἀπεδοκίμασας 70 ἐξουδενώκασι (I Reg. VIII 7)· κατευτέλισαν 77 ἔξουσιν (Ν 51)· ἐφέξουσιν 79 ἐξ ὀχέων (Γ 29)· ἐκ τῶν ἁρμάτων 81 ἔξοχος (Ξ 118)· ἔνδοξος. ἐνάρετος 84 ἔξοχον (Β 483)· ἐκπρεπές 85 ἐξπέδιτον· .... Ad 4000: τοὺς χειμαζομένους ἐν θαλάσσῃ φασὶ λέγειν. παροιμιῶδες δέ· ἐπεὶ δοκεῖ ὁ γλαῦκος φανεὶς χειμῶνα σημαίνειν 2 ἐξώδια· ἔξοδος. ἐξώδια 10 ἐξώλλυται· ἀπόλλυται 11 ἐξώμβρισεν (Sirac. I 19)· ἐπήγασεν ὀξέως. ἢ ἐπήνεγκεν

ἐξωμος· χιτὼν δουλικός
ἐξωμόσατο· ἀπηγόρευσεν
ἐξωμοσία (Ar. Eccl. 1026)· ἄρνησις μεθ' ὅρκου
ἐξ ὠνίων· ἔξω τῶν πρασίμων πραγμάτων
ἐξώπαζεν (cf. Pind. Isthm. I 11)· ἐξέπεμπεν
ἐξώπιον· ἔκτοπον. ἔξω
ἐξωραϊσμένον· κεκοσμημένον, κεκαλλωπισμένον
ἐξώργησα· ἐξεγύμνωσα [ad 20]
ἐξώροις· γραίαις, ἢ γέρουσιν
ἔξωρον· τὸν παρηκμακότα, ἄκαιρον, ἢ παλαιόν [23—25]
ἐξώσω· ἀπώσω, ἐκβαλῶ
ἐξώστρα· ἐπὶ τῆς σκηνῆς τὸ ἐκκύκλωμα
ἐξωστρακίσθη· ......
ἔξω τε πάγης· (καὶ) ἔξω παγίδος
ἔξω τριακάδος· οἱ μὴ μεταλαμβάνοντες παῖδες ἢ ἀγχιστεῖς κλήρου τελευτήσαντός τινος Ἀθήνησιν ἐκαλοῦντο
ἐξωτικὰς δίκας· τὰς ξενικάς [32]
ἐξώτρυνεν· ἐξέπεισεν
ἐξώφελλεν (ο 18)· ἐπιπολὺ ηὔξησεν
ἐξωχέτευται· [ad 35]
ἐξῴχοντο· ἐξεπορεύοντο
ἕο, ἑοῖο, ἕθεν· ταῦτα ἰσοδυναμεῖ· καὶ ὀρθοτονούμενα δηλοῖ ἑαυτοῦ ἢ ἑαυτῆς, ἐγκλινόμενα δὲ αὐτοῦ αὐτῆς
ἔοι· ἔσται. εἴη (Ξ 333 Call. Iov. 1), γένοιτο, ὑπάρχοι: [ad 38]
ἔοικεν· [ad 39] δοκεῖ. ἁρμόζει. φαίνεται [40]
ἐοικός· πρέπον. ὅμοιον [42. 43]
ἔοιμι· ἐμβάλλοιμι
ἑοῖο (Β 662)· τοῦ αὐτοῦ. ἢ ἑαυτοῦ
ἑοῖσι (Λ 83)· τοῖς ἑαυτοῦ [47]
ἐόληται (Mosch. II 74?)· τετάρακται. ἐπτόηται. ὠδύνηται [49]
ἐολότα σ'· εἰλημένον [51—55]
ἔοργεν (Β 272)· ἔπραξεν. εἴργασται. διέθηκεν (v. ἔωργεν)
ἐοργίζεται· τορυνᾶται. ἐόργη γὰρ ἡ τορύνη
ἔορτα(ι)· ἔδοξε. κρεμνᾶται (Aeoles?)
† ἑόρτας· ἀρεσκούσας. καλάς (νεόρτους?)
Ἔορτος (Thuc. II 99)· ἢ Ἐορδός· Μακεδών, ἀπὸ ἔθνους
† ἔορ· θυγάτηρ. ἀνεψιός
† ἔορες· προσήκοντες, συγγενεῖς
ἐοσσητήρ (Aeoles)· ἐπίκουρος. τιμωρός. ἀντὶ τοῦ ἀοσσητήρ [63. 64]
ἐπάβολος (Theocr. XXVIII 2)· ἐπιτυχών [67]
ἐπαγγέλωσιν (Thuc. V 47, 3)· κελεύσωσιν
ἐπαγγεῖλαι· ἐκκαλέσαι. ἐντυχεῖν
ἐπαγγελία· ὑπόσχεσις. καὶ ἐπάγγελμα
ἐπαγγέλλῃ· κελεύεις
ἐπάγει· ἐπιφέρει. ἐνποιεῖ. θηρεύει (v. ἦχθαι) [73]
ἐπάγη· ἐστερεώθη. ἐπήχθη (Κ 374 Χ 276). ἐνεφυτεύθη. συνεπλάσθη. ἐγένετο. ὡς καὶ ἁρματοπηγὸς λέγεται
ἐπαγίνηκεν· ἐπῆγεν
ἐπαγκομίζεσθαι· ἐπανάγεσθαι [77]
ἐπαγορίαν ἔχει· ἐπίμωμός ἐστιν
ἔπαγρον· ἀγρευτικόν, ἄγριον. ἐν τῷ ἀγρεύειν εὐτυχῆ
ἐπαγχάλιξον· ἄκρατον ἐπίχεον (ἐπεγ—)
ἐπαγχάσασθε· ἐπαναχωρήσατε [82]
ἐπάγω· ἐπιφέρω
.......· ἐπαγόμενα. τὰ ἐπαχθέντα. ἐφολκά (Thuc. IV 88. 108, 4). ἢ ἀπατητικά
† ἐπαγωγάς· αἰχμαλωσίας [86]
† ἐπαγώγιον· ἀνηρτισμένον
† ἐπάγων· ηάφνήδιος. κασάνδρα
ἐπαγωνιεῖται· φιλονεικήσει
ἐπᾴδοντος· φαρμακοῦ

COD. 16 ἐξωνέφυ 20 ἐξώργης (denudavit glandem) 26 ἐκβάλλω 29 ἔξωται 30 ἐξωστρ| — ἐκαλεῖτο 33 ἐξέπασεν 34 ηὐξήθησαν 35 ἐξωχεύτεται 45 αὐτοῦ 50 |τας, εἰλημμένον 57 ὀργίς 60 ἢ ἔορδος 65 ἔωλον; Cyr. Dr. ἐοχμόν 75 ἤτησεν 76 ἐπαγκωνίζεσθαι (cf. ἐπαναχθέντα) 79 ἐντυχεῖν 80 ἐπαγλαΐζον· — ἐπίχεον 81 |θαι 89 φιλονεικεῖ

HES. Ad 20: ἐξώροις 23 ἐξώσθη (v. l. II Paral. XXVI 21)· ἐξεβλήθη 24 ἐξώσθησε· κατεβλήθη. κατέπεσεν 25 ἔξωσον (Ps. V 12)· ἄπωσαι, ἔκβαλλαι 32 ἐξ ὠτειλῆς (Δ 140)· ἐκ τοῦ τραύματος Ad 35: ἐπιπολὺ ηὐξήθη Ad 38: αὐτοῦ, αὐτῆς Ad 39: ὡμοίωται. πρέπον ἐστί 40 ἔοικέ τοι (Ι 70)· πρέπει σοι 42 ἐοικότα (γ 125)· καθήκοντα. πρόφορα. ὡμοιωμένα 43 ἐοικώς (Β 20)· ὁμοιωμένος 47 ἑοῖσιν (Μ 222)· ἰδίοις. οἰκείοις 49 ἔολον· πρόσφορον. χρηματιστόν (ἑαλόν — χρηστόν) 51 ἔολπεν (φ 317)· ἐλπίζει[ν] προσδοκᾷ. οἴεται 52 ἑόν (Κ 256)· ἴδιον. τὸ ἑαυτοῦ. ἑαυτόν. ἔονος γένος (α 216) 53 ἐόντα· ὑπάρχοντα (Α 541), ὄντα (Λ 352) 54 ἐόντες (Π 260)· ἐξ ἔθους ἐπιφοιτῶντες 55 ἔοργας (Γ 57)· εἰργάσω 63 ἑοῦ (e. c. Μ 403)· τοῦ ἑαυτοῦ 64 ἐοχμόν (Ξ 465)· ...... 67 ἐπαγγαλιάζων· ἐπιχαίρων 73 ἐπαγείρειν (Α 126)· ἐπισυναθροίζειν 77 ἔπαγλος· κατόθριξ (Philol. XIII p. 539) 82 ἐπατασσομένη· ἐκπλαγεῖσα 86 ἐπαγωγή (LXX)· συμφορά. πειρασμός. ἤτοι τὸ ὁπωσοῦν κακῶς ἐπαγόμενον

ἐπάει· ἐπαίρει ἀρᾶ (ἐπαΐει ἀρᾶν?)

ἐπαείεις (Ar. Vesp. 516)· ἐπακούεις

ἐπαειράμενον· ἀφαιρούμενον

ἐπαείρας (Herod. I 87)· ἐπεγείρας

† ἐπαεσσούριον· κατήγορον [96. 97]

ἐπαιγίζοντα (ο 293)· σφοδρότερον πνέοντα ἄνεμον· καταιγίδες γὰρ αἱ τῶν ἀνέμων ἐμβολαί [99]

ἐπαιδεύσατο· τὸν υἱὸν ὁ πατήρ, ἐπαίδευσε δὲ διδάσκαλος

? ἐπαινέσαντος· εὐφημήσαντος [4102]

ἐπαΐειν (Plat. Civ. VII p. 522 E)· αἰσθάνεσθαι [4]

† ἐπαίμονες· ἀπόγονοι (4173) [6]

ἐπαίνους· τὰς κρίσεις. καὶ τὰς συμβουλίας. καὶ τὰς ἀρχ(αιρ)εσίας. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ (fr. 232). καὶ ἀλκέοι (Alc. fr. ε 129, p. 731), ταῖς ἐπαινήταισιν [8]

ἐπ' Αἰνύρων· Αἴνυρα χωρίον τῆς Θάσου ἀπὸ Αἰνύρου ὀνομασθέν

ἐπαΐοι· αἰσθάνοιτο. ἐπακούοι (4213)

ἐπαΐοντα (Plat. Prot. 314 A)· ἐπακούοντα [12. 13]

ἐπαίρων· κουφίζων. ὑψῶν (Soph. O. T. 1276)

ἐπαΐσαι· αἴσθεσθαι. ἐπακοῦσαι. πεισθῆναι

ἔπαισας· ἔτυψας, ἐπάταξας, ἔπληξας, ἔδειρας. ἧσας, ἔψαλας (ad ἐπάεισας)

† ἔπαισοι· καθήκοντες. ἐπιβάλλοντες (v. ἐπάσιοι) [18]

ἐπάϊστος (Herod. III 15 VIII 128)· φανερός. κατάφωρος

(ἐπαίτια· ἐπιτίμια. v. 4271)

ἐπαΐων Plat. (Civ. X p. 610 A)· ἐπακούσας [21]

ἐπ' ἀκινήτοισιν (Hesiod. Opp. 750)· ἡ τάφος. ἡ λίθος

Ἐπακμόνιος· Ποσειδῶν ἐν † Βοιωτίᾳ

ἐπακοντισμός· βόλου ὄνομα

ἐπάκοοι· οἱ μάρτυρες. καὶ οἱ ἐπισκοποῦντες τὰς δικαστικὰς ψήφους (v. ἐπήκοοι)

Ἐπάκριος (Polyzel. fr. I p. 869)· Ζεύς. ὁ ἐπὶ τῶν ἄκρων τῶν ὀρῶν ἱδρυμένος. ἐπὶ γὰρ τῶν ὀρῶν τοὺς βωμοὺς αὐτῷ ἵδρυον ὡς ἐπιπολύ [27]

ἐπάκρισεν (cf. Aesch. Ch. 932)· ἐπέδραμεν

Ἐπακταῖος· Ποσειδῶν ἐν Σάμῳ

ἐπακτήρ (Nic. Ther. 668)· κυνηγός [31]

ἐπακτῆρες (P 135 τ 438)· κυνηγοί, οἱ τοὺς κύνας ἐπάγοντες καὶ δίκτυα καὶ δόλους [33]

Ἐπάκτιος· ὁ Ἑρμῆς ἐν Σικυῶνι

ἐπακτὸς ὅρκος (Isocr. I p. 5, 18 Cor.)· [ad 35]

ἐπακτούς· ἐπηγμένους

ἐπακτρίδας (cf. Xen. Hell. I 1, 7)· τὰς ἁλιάδας· ἐπακτρεῖς γὰρ οἱ ἁλιεῖς καὶ καθόλου οἱ κυνηγοί. καὶ ἐπακτροκέλης (Aeschin. Timarch. § 191) δὲ εἶδος πλοίου

ἐπακτρίς· παροιμία·

δοῦναι μὲν εἰς ἐπακτρέων, λαβεῖν δὲ μή [ad 38]

ἐπακτῶν· ἔξωθεν προσγινομένων (Aristoph. fr. IV p. 1099). ἢ ἐπὶ τῶν αἰγιαλῶν ἢ τῆς πέτρας· ἀκτὴ γὰρ ἡ πέτρα καὶ ὁ αἰγιαλός

ἐπάκτωσαν (Herod. II 96)· ἔκλεισαν, ἐφράξαντο

ἐπαλαζονευόμενον· καταθρασυνόμενον

ἐπαλαστήσασα (α 252)· σχετλιάσασα, δεινοπαθήσασα, ἐπιχαλεπήνασα (v. ἀπαλ—)

ἐπαλεῖναι· ἐπαλεῖψαί (τι τοίχῳ)

ἐπαλείφων· γυμνάζων

ἐπαλείφοντας· γυμνάζοντας

ἐπαλλακεύετο (Herod. IV 155)· παλλακῇ ἐχρῆτο [47]

ἐπαλλάξαντες (N 359)· ἐφαμματίσαντες. ἐπιπλέξαντες. ἐναλλάξαντες. ἐξ ἀντεμβολῆς ἐπεκτείναντες;

COD. 92 ἐπαίεις 4101 |μίσαντος 7 σικυννίω 8. 9 ἐπ' Αἰνυύρων ὀδῶν· Αἰνυύρα χ. τ. Θράκης d. Αἰνυ| ὀ. 15 ἐπαῖσαι 24 ἐπακοντιστής Poll. VII 204 28 ἐπάκτισεν (ἐπελάκτισεν Meineck.) 30 ἐπάκτηρον 34 θερμῆς 35 εὐθέρετος 37 ἡ κυνηγοὶ ἐπακτροκλέης 41 ἐπαναλα| 42. 43 post 4179b; cf. ἀλεῖναι, ἀλίνειν, καταλεῖναι 46 post 4143; παλακῇ χρῆται

HES. 96 ἐπαῖαν (Ψ 742)· ἐπιγείαν 97 ἐπαΐχδην (P 599)· ὅσον ἐπιψαῦσαι 99 ἐπαιγίζων (B 148)· ἐπικαταιγίζων, τουτέστι ἐπιπίπτων 4102 ἐπαινή (I 457)· ἐπαινετή. ἡ δεινή, καὶ φοβερά 4 ἐπαίας· μεταιωρήσας (ἐπάρας) 6 ἐπαΐξας· ἐπιδραμών (Γ 369), ἐφορμήσας (B 146) 8 ἐπ' αἰνυέα ὀδῶν (Thuc. I 100)· χωρίον τῆς Θρᾴκης 12 ἐπαίραι· προτρέψασθαι 12 ἐπαίσαι· λαβεῖν 18 ἐπαΐσσων· ὁρμῶν (K 369). ἐπερχόμενος 21 ἔπαιτοι (A 335)· αἴτιοι 27 ἐπ' ἀκροτάτῳ (B 312)· ἐπ' ἄκρῳ 31 ἐπακτήρεσιν· ἀλλεπαλλήλοις, συνεχέσιν (ἐπασσυτέροισιν) 33 ἐπακτόν· ἔξωθεν (v. 4139) Ad 35: (οὐκ) ἐγχώριος, ἀλλ' ἀπὸ ξένης ἐπηγμένος· ἢ ἐφ' ὃν ἕτερος ἄγει, οὐκ αὐθαίρετος Ad 38: καὶ οἱ κυνηγοὶ ἐπακτρεῖς 47 ἐπαλλάσετο (A 169)· κατεπίμπλατο (v. παλάσσετο)

Digitized by Google

ἐπαλλαχθεῖσα· ἐπαλλάξασα. Σοφοκλῆς Κολχίσιν (fr. 321)
ἐπαλλήλων· ὁμοίων
ἔπαλλεν· †ἔστησεν [52. 53]
ἐπ' ἀλλοδαπῆς· ἐπὶ ξένης [55—57]
ἔπαλξις (Aesch. Ag. 365)· πύργος. οἱ τῶν τειχῶν προμαχῶνες [59]
Ἐπαλουσία· ἡ Ἀθηνᾶ
ἐπάλταξα· παλτῷ ἔβαλον
ἐπάλυνεν· ἐλεύκανεν (Κ 7). ὕγρανεν, ἀνέδευσεν. ἢ ἐπεπάσθη. ἢ ἀπὸ τῆς πάλης, ἐλεύκανε χιόνι
ἔπαλτο· [ad 63] ἐκραδάνθη. ἐσείσθη
ἐπα(μ)βλήδην· ἀναβαλλόμενος. ἀνακρουόμενος
ἐπαμειβόμενον· ἐπαλλαττόμενον [66]
ἐπαμέτραιον· μέτρον τι παρὰ Κνιδίοις
†ἐπαμετροφανίῳ· ἐπὶ ἡμέρ..φ.... [69]
ἐπαμησόμεθα· ἐπιφορήσομεν
ἐπ' ἀμνηστείᾳ· ἐπ' ἀμνησικακίᾳ [72]
ἐπάμονες· †ἀπόγονοι. ἀκόλουθοι [74]
ἐπαμφάλησεν (Hipponact. fr. 131)· ἐθαύμασε. περιεβλέψατο
ἐπαμφιάζοντες· ἐπενδύοντες
ἐπαμφίεσαι· ἐγκρύψ†ας
ἐπαμφίσκοντες· ἐνδύνοντες
ἐπ' ἀμφω· ἐπὶ τοῖς δυσίν
(ἐπάμων (Clitarch.)· δοῦλος, λάτρις) [80]
ἐπάναγκες ἔχω (Attici)· ἀνάγκην ἔχω
ἐπαναγνῶναι· ἐξαναγνωρίσαι
ἐπαναζεῦξαι· ἐπανελθεῖν
ἐπαναθεῖναι· μεταθέσθαι
ἐπανακροῦσαι (Ar. Avv. 648)· εἰς τοὐπίσω χωρῆσαι. ἐπὶ τῶν κωπηλατούντων, ὅταν στρέψαντες τὴν πρύμναν ἀνακρούωνται, ἵνα εἰς τοὐπίσω χωρήσῃ τὸ πλοῖον
ἐπαναλήψομαι (Xen. Lac. XIII 2)· ἐπαναλάβω ἄνω(θεν)

ἐπαναλύων· ἐπαναστρέφων
ἐπαναπτήσιμον· ἐπαναπτῆναι θέλοντα, καὶ πορευθῆναι
ἐπαναρ(ρ)ύεται· μετὰ κρίσιν (in Areopago) θύει, κρέα δίδωσιν
ἐπανάστασις (Thuc. VIII 21)· ἐπανέγερσις
ἐπανατείνει· ἐπανατείνεται. ἐφήπλωται [92]
ἐπαναχθέντα (?Herod. VII 194. VI 98?)· ἐπανακομισθέντα [94]
ἐπανεῖπαν (Thuc. VI 60, 4)· ἐπεκήρυξαν
ἐπανελέσθαι· ἐπαναλαβεῖν
ἐπανελθεῖν (Herod. II 109)· ἀναβῆναι [98]
ἐπανέρεσθαι (Hippocr. I p. 90 K)· ἐπερωτᾶν [4200]
......· ἐπαναστρέφειν, ἀνακάμπτειν
ἐπανέρχεται· ἐπαναστρέφει. ἐκ δευτέρου ἔρχεται. (ἐπάνεισιν)
ἐπανέστησαν· μετ' αὐτοὺς ἀνέστησαν
ἐπανέχειν· ὑφοῦν [5]
ἐπανήρατο (Thuc. VIII 48)· ἐπανέλαβον. παρὰ τὸ ἆραι
ἐπ' ἄνθεσιν (B 89 Mosch. II 72)· ἐπὶ τὰ ἄνθη
ἐπανθρακίδες (Ar. Ach. 670)· τὰ ἐπ' ἀνθράκων ὀπτώμενα ἰχθύδια (v. ἀπαν—)
ἐπανιτέον (Plat. Civ. VII 532 D)· ἐπανοδευτέον
ἐπανιών (Plat. Legg. III 693 C)· ἐπαναστρέφων
ἐπαντέλλων (Eur. Phoen. 105)· ἀναφέρων. ἀνατέλλων
ἐπ' ἀντολαῖς (Eur. fr. 485)· ἐπ' ἀνατολαῖς [13]
ἐπάξονται (Thuc. I 81, 2)· ἐπιφέρουσι, βαστάζουσιν
ἐπαοιδία· φαρμακεία, γοητεία
ἐπαοιδοί· φαρμακοί, γόητες

COD. (62 Thes. VI col. 109) 63 ἐπέπασεν 65 ἐπαβλήδην (69 ἐπ' ἀμεροφάντῳ? cf. ἐφαμερυφαρίῳ) 74 cf. 4105. 4155 et Clitarch. Ath. VI 267 C 75 |δησεν 79b legebatur post 4154 ἐπάλλων 81 ἐπανάγκης 84 |θῆναι 86 |λαμβανω (91 ἐπανατέταται· ἐφήπλωται?) 4201 pro (.....): ἐπάνεισιν 11 schol. l. c. addunt ἀναβιβάζων

HES. 52 †ἐπάλθημεν· .... 53 ἐπαληθείς (δ 81)· πλανηθείς 55 ἐπάλησεν· ἐφθάρη (ἐξεπάλησεν) 56 ἐπάλμενος· πηδήσας (Λ 421), ἐφορμήσας, ἐφαλόμενος (Η 260 non Nic. Ther. 207) 57 ἐπάλξεις (Μ 258)· οἱ προμαχῶνες τῶν τειχῶν 59 ἐπαλογῆς· σπουδῆς (ad ἐπειγωλῆς). ἀνταποδόσεως (gl. Sirac. V 10) Ad 63: ἐφήλατο. ἐπέδραμεν (Φ 140 Ν 643) 66 ἐπαμείψωμεν· ἀνταλλάξωμεν (Ζ 230), ἀντιδῶμεν 69 ἐπαμήνασατο (ε 482)· ἐπεβάλετο 72 ἐπαμοιβαδόν (ε 481)· ἐναλλάξ 74 ἐπαμῦναι (Σ 99)· βοηθῆ(σαι) 80 ἐπάναγε (Sirac. XVII 26)· ἐπάνελθε. ἐπίστρεφε 92 ἐπ' ἀναφορέων (Num. IV 10)· ἐπ' ὤμων 94 ἐπανεῖτο· ἐνεργεῖτο (ἐπονεῖτο) 98 ἐπανελθών (Prov. III 28)· προστρέψας. δεύτερον ἐλθών (4205) 4200 ἐπ' ἀνέρι· ἐπάνω (Greg. Naz. C. I 238 non Hesiod. opp. 523) 5 ἐπάνηκε (Prov. III 28)· ὑπόστρεψον (4198) 13 ἐπάνιοι (non Hippocr. III p. 370 K)· ἀκούοι (4110)

ἐπ' ἄπειρα (Xen. Mem. I 1, 14?)· δυσνόητα. πολλά [18]

†ἐπαποδρόμιον· ἡ ἱέρεια παρὰ Κρησίν

ἐπαπόρησις· ἀπορία

ἐπάρας (non Eur. Or. 286)· κουφίσας. ὑψώσας [22. 23]

ἐπαράσασθαι (Eur. I. A. 60. Dem. 1268, 25)· ......

†ἐπαράμενοι· οἱ παρὰ μοῖραν ἀπολλύμενοι ⟨4240⟩ [26]

ἐπάρατος (Aeschin. Ctes. p. 69, 34)· ἐπικατάρατος

ἐπάργεμος· ἀποκεκρυμμένος. ἡ νόσος ὀφθαλμῶν. Ἐπάργεμα γὰρ λέγεται τὰ ὄμματα, ὅταν ᾖ τετυφλωμένα ὑπὸ λευκωμάτων· καὶ πάντα δὲ τὰ τυφλὰ καὶ ἀφώτιστα οὕτως λέγονται

ἐπάργεμα (Aesch. Prom. 499)· ὄμματα τετυφλωμένα

ἐπάργυρον· μισθωτήν ⟨v. ἐπάρουρος⟩

ἐπάρη· ἐκεντήθη [32]

ἐπαρήξει· βοηθήσει [34]

ἐπαρίστερα· κακά. ἀηδῆ

ἐπαρκεῖ· ὑπουργεῖ. χορηγεῖ. βοηθεῖ

ἐπαρκές (Nic. Al. 564)· αὔταρκες

ἐπάρκιοι· †ἔμπειροι. βοηθοί

ἐπάρισμα· ἀφανῆ. ἄσημα ⟨l. ἐπάργεμα⟩

ἐπαρμένοι· οἱ παρὰ μοῖραν ἀπολλύμενοι ⟨4225⟩

ἔπαρμον· σῶμα κάθυγρον [42. 43]

Ἐπαρόητοι (Xen. Hell. VII 4)· τάγμα Ἀρκαδικὸν μαχιμώτατον. καὶ οἱ παρὰ Ἀρκάσι δημόσιοι φύλακες

ἔπαρσις· ὑπερηφανία

ἐπαρτέας (τ 289)· ἑτοίμους. ἀπηρτισμένους

ἐπαρτᾷ· ἐπικρεμάζει

†ἐπαρτείνη· εὐπρεπίνη [49. 50]

ἐπαρτήσας· κρεμάσας·

ἐπαρυστρίδες· ἐλαιοχύται. ἢ ἀντλητῆρες (Zachar. IV 2?)

ἐπαρχία· φυλή. ἡ πατρίς

ἐπαρώμενοι· καταρώμενοι [55]

ἐπάσαντο [ad 56]. ἐκτήσαντο [57]

†ἐπάσιοι· καθήκοντες ⟨v. ἔπαισοι⟩

ἐπασκεῖν· σέβεσθαι. ἁγνεύειν

ἐπασκηταί· ἀθληταί

ἐπάσκιον· ἡ χώνη. Σικελοί

ἔπρασμα· ......

ἐπ' ἀσπίδα (Xen. Cyrop. VII 5, 3)· εἰς εὐώνυμα

ἔπασσεν (Χ 441)· ἐποίκιλλεν. ὕφαινεν

ἐπασσύτεροι (Α 383)· ἄλλοι ἐπ' ἄλλοις [66]

ἐπ' ἀσφαλοῦς· ἀσφαλεῖς

ἐπάσω· ἐκτήσω. Αἰσχύλος Πρωτεῖ Σατυρικῷ (fr. 24) [69]

†ἐπάτερθεν· ἐπέκεινα ⟨ἀπάτερθεν⟩

ἐπατία (Solo Poll. VIII 22)· ἐπιτίμια ⟨v. ἐπαίτια⟩

ἐπαύλια ⟨—ία⟩· ἡ δευτέρα τῶν γάμων ἡμέρα οὕτως καλεῖται, ἐν ᾗ κομίζουσι δῶρα οἱ οἰκεῖοι τῷ γεγαμηκότι καὶ τῇ νύμφῃ. ἴσως ἀπὸ τοῦ ἐπαυλίζεσθαι τὴν νύμφην

ἔπαυλις· μάνδρα βοῶν. ἡ αὐλή. ἡ στρατοπεδ(ε)ία. καὶ ἡ ποιμενικὴ αὐλή

ἔπαυλος· ἐπίσκηνος. ἔνοικος. χαράδρα

ἐπαύλους (ψ 358)· ἐπαύλεις. μάνδρας

ἐπαύρασθαι (Hippocr. I p. 3, 1 K)· ἀπολαῦσαι. ἐπιτυχεῖν. [ἐπιτελεῖν]. ἐπιψαῦσαι

†ἐπαυρεθέντα· ἐπιβάλλοντα [78]

ἐπαυρεῖν (Λ 572 Ψ 340)· ἀπολαῦσαι [80]

ἐπαύροι (Herod. VII 180?)· ἀπολάβοι. μεταλαμβάνοι

†ἐπαύρους· τοὺς χειμάρρους ποταμούς [83. 84]

ἐπ' αὐτοφώρῳ· ἐπ' αὐτόπτῳ. ἐπ' ὄψει

†ἐπαυτοφάδες· ἐπ' αὐτοφώρῳ. Ἐπ' αὐτοφώρῳ δὲ τὸ φανερῶς καταληφθέν, ὑπεύθυνος γενόμενος, ἢ ἐπ' αὐτῷ κλέμματι εὑρεθείς, ἔτι κατέχων αὐτό ⟨v. ἐπέφανη⟩

COD. 17 ἐπάπειρα ⟨25. 40 ἀτεράμεροι —παρ' ἡμέραν⟩ 38 ἐπάρκειοι 41 cf. ἐφαρδμόν 46 |τημένους 49 cf. ἐπάργυρος 64 ὑφαίνειν 72 ἡ δὲ δ| 74 ἐπίσκ^{ος}ν 79 ἔπαυριν, ἀπολέσαι (πελάσαι?) 85 ἐπ' αὐτόπτου, ἐπ' αὐτοφόρῳ 86 ἐπ' αὐτοφόρῳ bis

HES. 18 ἐπαπήνην (Ω 590)· τὴν ἅμαξαν 22 ἐπαρᾶς (Ι 456)· κατάρας 23 ἐπαράσαι· κουφίσαι ⟨l. ἐπᾶραι⟩ 26 ἐπάρασας (Φ 78)· ἀπέδου, ἐπώλησας 32 ἐπαρήγουσαν (II Macc. XIII 17)· βοηθοῦσαν 34 ἐπαρήρει (Μ 456)· ἐφήρμοστο 42 ἐπαρξάμενοι (Α 471)· σπείσαντες ἐπιστάντες 43 ἐπαρξόμενος (η 183)· ἐπαρχὰς ληψόμενος 49 ἐπάρουρος (λ 489)· ἐπίγειος. ἢ κηπουρὸς †ἐπταμίσθιος 50 ἐπαρτηΐαν· παρασκευήν ⟨ἀπαρτίαν⟩ 55 ἐπᾶσαι (Ierem. VIII 17)· ᾆσμα εἰπεῖν. γοητικὸν ἐπιλαλῆσαι Ad 56: ἐγεύσαντο (Α 464) cf. 4460 57 ἐπασθμαίνων (IV Macc. VI 11)· πνευστιῶν 66 ἐπασσύτερον (Δ 423)· ἀλλεπάλληλον 69 ἐπάταξαν (LXX)· ἔτυψαν. ἐτροπώσαντο. ἐνίκησαν 78 ἐπαύρῃ (Λ 391. Ν 694)· ἐπιτύχῃ. ἐπιψαύσῃ 80 ἐπαυρίσκονται (Ν 733)· ἐπιτυγχάνουσιν 83 ἐπαυτατῶν (Χ 153)· παρ' αὐταῖς 84 ἐπαύρονται (Α 410)· ἐπαίσθονται

ἐπαυχεῖ· ἐπεύχεται
ἐπαφᾶται· ψηλαφᾷ, ἐπιψαύει
ἐπαφῆκεν· ἐπαπέλυσεν. ἐπέδωκεν. ἐξέβλυσεν
ἐπαφησαμένη· ἀψαμένη
ἐπάφησεν· ἐπαφήσατο
ἐπαφίησιν· ἐπαπολ[α]ύει
ἐπαφώμενος (Mosch. Id. II 50)· ψηλαφῶν
ἐπαχθεῖς· ἐπίπονοι. ἀηδεῖς
ἐπαχνώθη (Apoll. Rh. IV 1279?)· ἠνιάθη, ἐλυπήθη
ἐπαχνώθη(ν)· τὰ αὐτά
ἐπάχνωσεν (Hesiod. opp. 360)· ἐλύπησεν, ἠνίασεν [98. 99]
†*ἐπεβάρος*· ἐπανέκαμψεν [4301—5]
ἐπεγκενάξαι ⟨—καν—⟩· ἐπεμπιεῖν. ἢ ἐπιχέαι
ἐπεγκλάσας (Aesch. Ag. 1137)· τοῖς ὄμμασί πως διανεύσας
ἐπέγναψαν· ἐπικατέκλασαν. ἐπέκαμψαν
ἐπέγνω· μετενόησεν [10. 11]
ἐπ' ἐδάφους· ἐπὶ γῆς
ἐπεδέετο· ἐδέετο, ἔχρηζεν [14]
ἐπεζάρηκεν· ἐπεβάρυνεν
ἐπεζάρει (Eur. Rh. 441 Phoen. 45)· ἐπεβάρει. ἐπέκειτο. ἐπεκράτει
ἐπεζήτει (Xen. Cyr. VIII 1, 6)· ἠνώχλει. ἐπεχείρει. ἐπετήρει
ἐπεζήτουν· τὰ αὐτά
ἐπεζύγωσε· προσέκλεισεν (Poll. X 26)
†*ἐπέθελγον*· κατεδαπάνων
ἐπεθίαζεν· ἐχόρευεν: ἐθαύμαζεν ὡς θεόν (ad ἐπεθείαζον)
ἐπέθρωσκον· (ἐπ)επήδων [23]
ἐπει· λέγει (cf. Nic. Th. 508). ὅτι. ἢ ἐπειδή. ἢ ἐπειδάν. ἢ ἐπείτι. ἢ εἰ δὲ μή [25—28]
ἔπειγε (Soph. El. 1435)· πορεύου. σπεῦδε [30]
ἐπείγεται (Aesch. Cho. 660)· σπεύδει, σπουδάζει
ἐπειγωλὴ καὶ ἔπειξις· ἡ σπουδή [33. 34]
ἐπειδήπερ· ἐπειδή [36—46]
† *ἐπεικτάς* ⟨—ύς⟩· ὑπόσχεσις. σπουδή [48—56]
†*ἐπείπασθαι*· ἐξειπεῖν
Ἐπειός· [ad 58] [59. 60]
ἐπειράτιζες· ἐπείραζες [62. 63]
ἐπείρη· ἐπειρᾶτο
ἐπειπών (Callim. Epigr. XXXIX 1)· ἐπιβοήσας [66]

COD. 94 ἀληθεῖς 95 *ἐπαχ.ω.η*· ἠνίσθη ἐμπήθη 4305 ἐπεβάρησεν. *Ἐπελήσθην* .... ἔπεττον. *Ἐπέβεις* ... *ἐπέβρυσεν*· ἐ. *Ἐπεγκενάξαι* .... *Ἐπελήκεον*. *Ἐπεστόχαζον* 8 *ἐπέγκαψαν* — ἐπέγκαμψαν 15 *ἐπεξάρυκεν* 16 *ἐπεζάξει* 18 *ἐπεζέτουν* (20 ab ἀθέλγω?) 22 *ἐπέθροσκον*, ἐπήδουν 47 *ἐπείκτης*· σπουδαῖος CDr. 58 συνήιδος — δηλότερος — δήλωσιν σημαίνει

HES. 98 *ἔπεα*· λόγοι, ῥήματα 99 *ἔπεα πτερόεντα*· τὰ ἐπίπτηνα εἶπε, διὰ τὸ ταχέως προσφέρεσθαι τοὺς λόγους. τὰ ἁρμοστά· πτερ(ῶν) γὰρ οὐδὲν εὐαρμοστότερον ... *ἐπεάνυδα* (Δ 201)· λόγους 4301 †*ἐπέβεις* (Ι 546)· ἐπιβάται ⟨—ας ἐποίησε⟩ 2 *ἐπέβησαν* (χ 423 ψ 13)· ἐπήρχοντο 3 *ἐπεβήσατο* (Κ 513)· ἐπέβη 4 *ἐπέβησεν* (Θ 129)· ἐπιβῆναι ἐποίησεν 5 *ἐπέβρισεν* (Μ 414)· ἐπεβάρησεν 10 *ἐπέγραψεν* (Δ 139)· ἐπεχάραξεν. ἐπέγλυψεν. ἐπέξυσεν 11 *ἐπέγρετο* (Κ 124)· ἐπεγείρετο 14 *ἐπέδησεν* (Χ 5)· κατέσχεν. ἐδέσμευσεν 23 *ἐπέθεντο* (Ps. LVIII [LIX] 4)· ἐπέκειντο. ἀντέκειντο 25 *ἐπεί*· ἀφ' οὗ χρόνου ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν (α 2) 26 *ἐπεὶ ἄρ τινα* (Θ 269)· ἐπάν τινά 27 *ἐπεὶ ἂρ τμάγεν* (Π 374)· ἐπεὶ διεχωρίσθησαν 28 *ἐπεὶ βουλεύων*· λοιδορῶν, ἐφυβρίζων ⟨ἐπεσβολεών et cf. 4403⟩ 30 *ἐπείγει*· κατάγει. καθέλκει (Μ 452) 33 *ἐπείγω*· σπουδάζω 34 *ἐπειδεήνεον* (Γ 461)· ἐπνουν, καὶ συγκατετίθεντο (paraph.) 36 *ἐπειδή* (Hom.)· ἐξότου 37 *ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη* (Τ 9)· εὐθέως ἀπὸ τῆς γενέσεως ὑπὸ τῶν μοιρῶν κατεκρίθη 38 *ἐπιείξω*· ὑπείξομεν 39 *ἐπειή* (Α 156)· ἐπειδή 40 *ἐπείθετο* (Α 33)· ἐπείσθη 41 *ἐπειδὴ πρῶτα* (Α 235)· ἐπειδὴ ἅπαξ 42 *ἐπειὴ πολὺ φέρτερος* (Δ 56)· ἐπειδὴ πολὺ κρείττων 43 *ἐπεί κεν* (ξ 153)· ἐπειδάν 44 *ἐπεὶ κτῶμεν πολέμοιο* (Τ 402)· ἐπειδὰν πληρωθῶμεν τοῦ πολέμου 45 *ἐπειλημμένη* (Gen. XXV 26)· κρατοῦσα 46 *ἐπεὶ μάθον* (Ζ 444)· ἐπεὶ ἔμαθον 48 *ἐπεί μ' ἔτεκες* (Α 352)· ἐπειδή μ' ἐγέννησας 49 *ἐπεὶ κέκλητο* (Ι 454)· ἐπεὶ ἐκαλεῖτο 50 *Ἐπειοί*· οἱ ἦμοι (l. οἱ Ἠλεῖοι Β 619). καὶ οἱ πλησιόχωροι (Hesiod. opp. 318 πηοί) 51 *Ἐπειός*· ὁ ἥλιος, ἀπὸ πόλεως 52 *ἐπεὶ οὐδὲ ἔοικεν* (Α 119)· ἐπεὶ οὐδὲ πρέπει 53 *ἐπεὶ οὐ ἔθεν* (Α 114)· ἐπεὶ οὐκ αὐτῆς 54 *ἐπεὶ οὔ ποθε* (Ε 441)· ἐπειδὴ οὔποτε 55 *ἐπεὶ οὔ τι μοι αἴτιοί εἰσιν* (Α 153)· ἐπεὶ οὐκ εἰσί μοι αἴτιοι 56 *ἐπεὶ οὔ τοι* (Α 515)· ἐπεὶ οὐδαμῶς σοι Ad 58: οὕτως ἐκαλεῖτο Κρατῖνος ὁ Κωμικός· ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηίδος φυλῆς καὶ δειλότερος φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν. [σημαίνει] 59 *ἐπεὶ ῥα* (Α 458)· ἐπειδή 60 *ἔπειραν* (Δ 465)· ἔπηξαν 62 *ἐπειρᾶτο* (Δ 5)· ἐπείραζεν. ἐδοκίμαζεν 63 *ἔπειρεν* (Υ 479)· ἐπέρα. ἐνεῖρεν. ἐκέντησεν 66 *ἐπειρῶντο* (φ 184)· ἐσπούδαζον. ἐβούλοντο

ἐπεισάκτου· ἀλλοτρίου [68—70]
ἐπεισκρινόμενον (cf. Hippocr. 380, 49)· ἐπεισερχόμενον. ⟨Adde 5207. 8⟩ [72]
ἐπεισρεύσαντα· ἐπεισελθόντα
ἐπεισφρήσαντες· ἐπεισενέγκαντες
ἔπειτα· μετὰ ταῦτα. τάχιστα. ἀντὶ τοῦ δή [76—78]
ἐπ(ε)ιχθῶμεν· σπουδάσωμεν [80—83]
ἐπέκερσαν· ἐπέκειραν
†ἐπεκήκατο· ἐπωνείδιστο ⟨4863ᵇ⟩
(ἐπεκλινήσας· ἀπελθὼν λάθρα; 4874)
ἐπέκλυον (Nic. fr. 104, 3)· ἐπήκουον [86. 87]
ἐπεκονίθη καταρυγήθη· ......
ἐπέκρανεν (Aesch. Suppl. 619)· ἐπετέλει
ἐπεκρήηνεν· ἐπετέλεσεν (B 419?). ἐπεκύρωσεν, ἐβεβαίωσεν
†ἐπεκώλυσεν· ἐπηύξησεν. ἀπὸ τῶν διαρτιζόντων, οἳ καταλείπουσιν ....σταῖς, ἵνα τῷ δοκοῦντι μικρῷ προστίθηται. καὶ τοῦτό ἐστιν †ἐπικοκλύσαι
ἐπεκώμασεν (Menand. fr. CCXXXIV)· ἐπεδήμησεν, ἐπῆλθε. ἐκ μεταφορᾶς τοῦ κώμου, ὅ ἐστι ἐνθουσιῶντος πλήθους
ἐπελάνθανεν· εἰς λήθην ἦγεν
ἐπελαύνειν· ἐπιπέμπειν [95]
ἐπέλαχεν· ἐκληρώσατο
ἐπελέξατο (Herod.)· τὰ γεγραμμένα ἀνέγνωσεν
ἐπέλετο· ἐγένετο. ἐφάνη ⟨v. ἔπλετο⟩
ἐπελήκεον (θ 379)· ἐκρότουν τοῖς ποσί [4400]
ἐπέλι(γ)ξεν· ἐπέδραμεν ⟨v. πελίγξαι⟩ [2]
ἐπελώβευον (β 323)· ἐπετίμων. διέπαιζον τοῖς λόγοις: ἐπέσκωπτον. ὕβριζον ⟨v. ἐπειβουλεύων⟩

ἐπεμαίετο (K 401 al.)· ἐφήπτετο, ἐπέψαυεν. ἐπεθύμει
ἐπέμαρψε· κατέλαβεν [6]
ἐπεμβάλλεται· τρώγει [8]
ἐπεμβαίνει· ἀναβαίνει
ἐπέμεινεν· ἐπεκάθισεν [11]
ἐπεμάνην (Ar Vesp. 1469)· ἠράσθην [13]
ἐπέμυξαν (Δ 20)· ἐπεμυκτήρισαν. ἐπεμύχθισαν. ἐξεφαύλισαν
ἐπεμύξατο· ἐπεστέναξεν, ἐπεγόγγυσεν
ἐπέναρ· εἰς τετάρτην. Λάκωνες
ἐπενάσθην· ἐπῳκίσθη ⟨v. ἀπ—⟩ [18]
ἐπενδίεσαν· ἐπηφίεσαν (Σ 584)
ἐπενδόμενοι· ἐπερειδόμενοι
ἐπενε(ί)μενο (Thuc. II 54, 5)· ἐπῆλθεν [22. 23]
ἐπενήνεον (H 428)· ἐπεσώρευον. [ἐπεσωρεύθησαν]
ἐπενήνοθεν (Θ 365)· ἐπήνθει. ἐπέστην. ἐπῆν
ἐπενήχετο· ἐπεκολύμβα. ἐπεφέρετο
(ἐπ' ἐννέα ὁδῶν· χωρίον τῆς Θρᾴκης) cf. 5108 [27. 28]
ἐπενώτισεν· ἐφώρμησεν. Ἀμφιτρύωσι δευτέρῳ (Archipp. II p. 716)
ἐπεξέλευσις· ἐκδίκησις [31. 32]
ἐπεπαιώνιστο (Thuc. I 50)· ἐπεφήμιστο
ἐπέπαστο (Xen. An. I 9, 19)· †ἐπεπλήρωτο. ἐκτήσατο
ἐπέπηλεν· ἐκλήρωσεν [36. 37]
(ἐπ)επλήξατο· ἔπαισεν
ἐπεπολέμωτο· πολεμίως διέκειτο
ἐπεπωλεῖτο (Δ 231)· ἐπεπόρευτο
ἐπέρασα· ἐπώλησα

COD. 84 ἐπικήκαστον· ἐπονείδιστον Eustath. 1402, 53 ⟨88 κάταρχύθη?⟩ 91 τὸ δοκοῦντι μικρόν ⟨ἐπεκύλλωσε? cf. ἐπικύλλωμα⟩ 14 ἐπέμυζαν, ἐπελ| |ησαν (ἐπε) 19 ἐπεφίεσαν 29 |ησεν — ἀμφιτρίωνι β' 33 ἐπεβαιώνιστο 39 |ητο 40 ἐπυλεῖτο 41 ἐπέρυσα, ἐπόνησα

HES. 68 ἐπεί σε λέοντα γυναιξίν· (Φ 483) 69 ἔπεισιν (Λ 29)· ἐπελεύσεται. ἐπέρχεται 70 ἐπέρχονται· ἐπικαταλαμβάνουσιν 72 ἐπεισπεῖν· ἐπακολουθοῦντας ἔχειν 76 ἐπεὶ φίλον ἄϊον ἦτορ (O 252)· ἐπεὶ ᾐσθόμην τῆς ψυχῆς ἀλγησάσης 77 ἐπεῖχε (Act. Ap. III 5)· προσεδόκα. προσεῖχεν 78 ἐπείγεομεν πολέμοιο (Γ 402)· ἐπειδὰν πληρωθῶμεν τοῦ πολέμου. παρὰ τὸ ἐξεράνεντο (Λ 469) 80 ἐπεῖχον (Ψ 190)· ἐπέκειτο 81 (Ἐπειῶν (Λ 737)· Ἠλείων) cf. ἐνίων 82 ἐπέκελ(σ)εν (ν 114)· ἐπώκειλεν 83 ἐπέκεινα (Iesai. XVIII 1)· παρεκεῖ. ἀνωτέρω. ἐξωτέρω 86 ἐπέκλωσαν (γ 208)· ἐπήγαγον 87 ἐπεκλώσαντο (α 17 Ω 525)· ἐπικατέκλυσεν ⟨—ωσεν⟩. ἐπεμοιράσαντο. ἐκύρωσαν. ἐπεκλήρωσαν. [ἐπεμοίραναν] 95 ἐπέκτασις· ἡ ἐπιπολὺ τάσις 4400 ἐπελήσθην (Ps. XXX 12)· ἐληθαργήθην 2 ἐπέλυσας (Sirac. XXVII 19)· ἐξείλου 6 ἐπεμάσσατο (Y 425 al.)· συνετάραξεν. ἐφήψατο, ἐψηλάφησεν 8 ἐπεμβεβαώς (I 578)· ἐπιβεβηκώς 11 ἐπεμήνατο (Z 160)· ἐμάνη[ν] 13 ἐπεμήνιεν (N 460)· ἐπωργίζετο 18 ἐπεναύων (Ξ 77)· ἐπὶ τῶν ἀγκυρῶν ⟨4509⟩ 22 ἐπενεγκεῖν (ep. Iudae 9)· ἔτι ἐνεγκεῖν 23 ἐπένε(ι)μεν (I 216)· ἐπέβαλλεν 27 ἐπένοντο (Ω 124)· ἐνεργοῦν 28 ἐπέντυεν (Θ 374)· ηὐτρέπιζεν 31 ἐπεξέρχεται (Sapient. XIV 31)· ἐκδικεῖ 32 ἐπέοικεν (X 71)· πρέπον ἐστίν 36 ἐπέπιθ(μ)εν (B 341)· ἐπεπιστεύκειμεν 37 ἐπέπληγον· (E 504)· πλήσσοντες ἐν τῷ τρέχειν

ἐπέραστος· ἐπιθυμητός, ἐράσμιος

ἐπερειδόμενος· ἐπιστηριζόμενος [44]

ἐπέρεψα· ἐπεσκεύασα. ἐπεκόσμησα. ἐπεστέγασα (non *Α* 39)

ἐπερηρεισμένα· ἐποικοδομηθέντα

ἐπερήρασθαι ⟨—εῖσθαι⟩· ἐπιστηριχθῆναι

ἐπερίδετη (Boeoti)· ἐμπήγνυται. εἰσβαίνει [49—52]

ἐπερρόθησεν (Soph. Tr. 264)· † ἔσεισεν. ἔκραξεν

ἐπερρώοντο (υ 107)· ἤλουν· καὶ ἔστιν οἷον μετὰ ῥώμης ἐκινοῦντο καὶ ἤλουν. καὶ ἐπηκολούθουν

ἐπερρώσαντο (*Α* 529)· ἐρρωμένως ἐπεσείσθησαν. ἢ ῥώμην καὶ ἰσχὺν ἐπέβαλον. ἢ ἐρρωμένως ὠρχήσαντο

(ἐπέρρωσεν)· ὑγίασεν, ἐποίησεν (ὑγιᾶ)

† ἐπερρώπτην· ὑπηρέτην [57—59]

ἔπεσαν (το Aeoles ?)· ἐγεύσαντο [61]

ἐπεσβολίαι (δ 159)· λοιδορίαι. ἐπιτ(ιμ)ήσεις. πολυλογίαι. κακολογίαι

ἐπεσβόλος (*Β* 275) λοίδορος. πρόγλωσσος. τοῖς ἔπεσι βάλλων [64—66]

ἐπεσκεμμένως· συνετῶς

ἐπέσκεψαν (Callim. Del. 43 ?)· ἐπέβλεψαν, ἐπεῖδον [69]

ἐπέ(σ)περξα· ἐφώρμησα

ἐπεσσεύοντο (*Ν* 757)· ἐπήεσαν. ἐφώρμων (*Ο* 593). ἐπηκολούθουν μετὰ σπουδῆς (*Β* 86)

ἐπέσ[σ]ηθον· † ἐπέλεκον. ἐπελέπτυνον [73—78]

ἐπεστέψαντο (*Α* 470)· ἐπεστεφάνωσαν. πλήρεις ἐποίησαν, ἐπλήρωσαν [80]

ἐπεστιασώμεθα· εὐωχώμεθα

ἐπέ(σ)τιον· ἔποικον [ad 82]

ἐπεστράτευσαν (Eur. Tro. 22)· ἐπολέμησαν [84]

(ἕπεται)· ἐπακολουθεῖ (ξ 276)· συνεπάγεται. πρέπει

ἐπέται· ἀκόλουθοι, θεράποντες. ἐφέται, οἱ τὰς φονικὰς δίκας δικάζοντες

ἐπ(ετ)έτακτο (Xen. Hell. I 6, 30)· ἐν τάξει ἢ ὄπισθεν ἠκολούθει [88]

ἐπέταξεν (Ar. Vespp. 69)· ἐνετείλατο [90]

ἐπετέλλετο (non Hom.)· παρήγγειλε. παρετίθετο

† ἐπετέμετο· [ad 92] ἐπετίμησεν ⟨v. τέμμειν⟩ [93]

ἐπετιμήσατο· τιμωρίαν ἐπέθηκεν [95—96b]

ἐπέτριψαν· ἐπῆραν ⟨instigarunt⟩

† ἔπεττον· ἐπίτινων [99—4503]

ἐπετώθαζεν· ἐπενέβη. ἐπέπληττεν. ἐπέχαιρεν [5—7]

ἐπευνα(κ)ταί (Theopomp.)· οἱ συγκοιμηταί [9—11]

ἐπ' Εὐρυγύῃ ἀγών· Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ. καὶ Ἡσίοδος·

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηναίων ἱεράων

COD. 46 ἐπερήρισμα 48 |ται, ἐπίγνυται 53 |ώθησε Post 53] 55b 54 |ύοντο [γ] (v. ἀπερρ—) 55b post 53 ⟨56 γέρωπος, γερωπός, γεροπός Cyr. 319. 212. 11. 171; ἀπερωπός· ἠπεροπευτής⟩ 59 ἐπερώνησεν 68 ἐφεῖδον 81 εὐχόμεθα ⟨97 cf. ἐπιτριβόμενοι⟩ ⟨98 ἔπετον· ἔπιτνον Dorice ?⟩ 4504 ἐπετόχαζεν 8 cf. ἐνεύνακτοι 12 ἀνδρόγεον εὐρύην — μήνωος — ἱερά

HES. 44 ἐπέρεισαν (*Μ* 414)· ἐπεβάρησαν 49 ἐπερρίσαι (*Ω* 335)· φιλοποιῆσαι 50 ἐπέρχομαι· τολμῶ. ἐγχειρῶ 51 ἐπέρροον· ἔθαπτον. ἐκήδευον ⟨ἐπώρεον⟩ 52 ἐπέρρισεν· ἐφεστιάσατο ⟨ἑταίρισεν⟩ 57 ἔπερσεν (α 2)· εἷλεν. ἐπόρθησεν: ἔθαπτεν. ἐκήδευεν ⟨5610. 4451⟩ 58 † ἐπέρτερα· μείζω. καὶ ὑψηλότερα ⟨ὑπέρτερα⟩ 59 ἐπερόνησεν· διέτρησεν 61 ἐπέσαξεν (Genes. XXII 3)· ἔστρωσεν 64 ἕπεσθαι (Hom.)· ἀκολουθεῖν 65 ἔπεσι (θ 170)· λόγοις, λέξεσιν 66 ἐπέσκαζεν (Genes. XXXII 31)· ἐχώλευεν 69 ἔπεσ(π)εν (γ 16)· ἠκολούθησεν 73 ἔπεσον ⟨ἐπέσσευον⟩· ἐτάβλιζον. ἐδαπάνιζον 74 ἐπεσσύμενος (ε 428)· ἐπελθών. ἐπ' ὄρους, ἐφορμήσας 75 ἐπεσσύμενον (*Δ* 527 al.)· πορευόμενον. προθυμούμενον 76 ἐπέσσυται (*Ζ* 361)· ἐφορμᾶται 77 ἐπέσσυτο (*Ε* 438 al.)· ὁρμᾶ. ἐπῆλθεν 78 ἐπεστενάοντο (*Δ* 154)· ἐπέστενον. καὶ ἤχει 80 ἔπεστιν (*Κ* 124)· ἐπέτυχεν Ad 82: κατάλυμ[μ]α (ξ 265) 84 ἐπ' ἐσχαρόφιν (ε 59)· ἐπὶ ἐσχάρᾳ 88 ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους 90 ἐπέτελλεν (*Ζ* 207)· ἐνετέλλετο Ad 92: παρήγγειλεν 93 ἐπετήδευσεν (Malach. II 11)· ἐμηχανήσατο. ἐσπούδασεν 95 ἐπετοξάζοντο (*Γ* 79)· ἐτόξευον, ἐστοχάζοντο, ἐφώ(ρ)μων τόξοις καὶ δόρασι βάλλειν ἢ τιτρώσκει(ν) 96 ἐπέτρεψεν (*Κ* 116· ἐπίστευσε) 96b ἐπέτρεπεν (*Κ* 79)· ὑπεχώρει 99 ἐπέβεις (*Ι* 546)· ἐπιβάται ἐπίβησαν ⟨4301⟩ 4500 ἐπεβήσαντο (χ 423)· ἐπήρχοντο 1 ἐπεβήσατο (*Κ* 513)· ἐπέβη 2 ἐπεβῆσαι (*Θ* 129)· ἐπειβῆναι ἐποίησεν 3 ἐπέβρυσεν (*Μ* 414)· ἐπεβάρυσεν ⟨4305. 4444⟩ 5 ἔπευ (*Κ* 146)· ἕπου, ἀκολούθει 6 ἐπευθόμεθα (*Ι* 524)· ἠκούομεν 7 ἐπευκτή (Ierem. XX 14)· ἐπιθυμητή 9 ἐπ' εὐνάων (*Ξ* 77)· ἐπὶ τῶν ἀγκυρῶν ⟨4418⟩ 10 ἐπεύξατο (*Δ* 449)· ἐκαυχήσατο 11 ἐπ' εὐρέα (*Β* 159)· ἐπὶ τὰ πλατέα

ἐπ' εὐσεβίῃ· ἐπ' εὐσεβείᾳ [14. 15]
† ἐπεφάνη· ἐπ' αὐτοφώρῳ. ⟨4286⟩ [ad 16]
ἐπευφήμησεν (Aesch. fr. 340, 4)· ἐν εὐφήμῳ βοῇ εἶπεν [18]
ἐπέφλυσε· βλαστῆσαι ἐποίησεν [20. 21]
πέφραδον· εἶπον. ἐπέγνωσαν (non K 127)
ἐπέφρασαν· διεσήμαναν. εἶπον
ἐπεφύοντο· ἐπήρχοντο [25. 26]
ἐπέχει· ἐπιμέλ(λ)ει
ἐπέχεται· κωλύεται [29—31]
ἐπεχωρίαζεν· ἐπεδήμει [33]
ἐπέχραον (Π 352 β 50)· ἐπέθεντο. ὥρμησαν. ἀθρόοι ἐπέστησαν
ἔπεφεν· ἐπραΰνθη [36]
† ἐπεβαλλομένη· ἐνθεαζομένη ⟨ἐπευαδδομένα?⟩ [38]
ἐπήβολος (β 319 Archipp. com. fr. III p. 725)· ἔμπειρος. ἐπιστάτης. δεσπότης. μέτοχος. ἐπιβολὴν ἔχων. δεσπόζων (Herod. IX 94)
ἐπηβόλους (Aesch. Prom. 444)· ἐπιτευ(κ)τικούς, ἐπιτηδείους, ἢ ἐπιτυχεῖν μέλλοντας· βάλλειν γὰρ τὸ ἐπιτυγχάνειν (Herod. VIII 111)
(ἐπηβόλως· φρονίμως) cf. 4665
ἐπήγαγεν (non Sirac. XLVI 3)· ἐπήνεγκεν [42. 43]
ἐπηγγελλόμην· παρεκάλουν. ἐπέστελλον. Σοφοκλῆς Ἠλέκτρᾳ (1018)
ἐπήγετο (Xen. Σ VIII 34)· ἐπεφέρετο
ἐπηγκενίδες (ε 253)· τὰ διηνεκῆ τῆς σχεδίας ξύλα. αἱ εἰς μῆκος καθηλούμεναι σανίδες. οἱ δὲ τὰ παραθέματα, ἢ πλάγια [47]
ἐπηγορίαν· ὀνομασίαν
ἐπῄει (Xen. Hell. IV 1, 11)· ἐπήρχετο
ἐπῄεσαν (Xen. Hell. V 1, 12)· ἐπήρχοντο (non λ 232)

ἐπηετανόν (δ 89 al)· συνεχές. ἀδιάλειπτον. παρατεταμένον διὰ παντὸς τοῦ χρόνου. δαψιλές
ἐπηετα(ν)ῶν· ἀδιαλείπτων
† ἐπιεθανίς· λεπτὸν πρόβατον
ἐπ' ἤϊα (epic. inc.)· ἐπὶ σίτια
ἐπήκοοι (Aesch. Cho. 980)· κριταί. καὶ οἱ δικάζοντες ⟨v. ἐπάκοοι⟩
Ἐπήκοος· Ἀφροδίτη ἐν Καρχηδόνι [57]
ἐπήκρισεν (Aesch. Cho. 931)· ἐπ' ἄκρων ἤγαγεν. τέλος ἐπέθηκεν [59]
ἐπηλήθισεν (Thuc. VIII 52)· ἠλήθευσεν [61]
ἐπῆλθε· κατέλαβεν
ἔπηλις (Soph. fr. 939)· τὸ πῶμα τῆς λάρνακος
ἐπηλύγαιον· ἐπινεφές. σκοτεινόν
ἐπηλυγασ(άμενος Plat. Lys. 207 B)· ἐπίπροσθεν (ποιησάμενος)
? ἐπήλπιζον· ἠλπιδοποίουν
ἐπηλυγίζονται (Thuc. VI 36, 2 an Hippocr. 658, 55)· ἐπισκιάζονται. ἐπικρύπτονται
ἐπήλυδας (Aesch. Suppl. 195)· νεωστὶ ἐλθόντας ἐξ ἑτέρας γῆς. ἐπιλεκτούς ἢ οὐκ ἰθαγενεῖς
ἔπηλυς· ξένος, νεωστὶ ἐλθών, ἄλλοθεν ἐλθών
ἐπηλυσία· ἐπῳδὴ φαρμάκων. ἢ ἔφοδός τινος
ἐπήλυσις· ἔφοδος. ἐπαγωγή [72. 73]
ἐπ' ἤματος· τὸ ἐν μιᾷ ἡμέρᾳ ποιῆσαί τι
ἐπημοιβοί (M 456 ξ 513)· ἐνηλλαγμένοι [76]
ἐπημοιβοί (Nic.)· διπλοῖ. παράλληλοι. ἀ(λ)λασσόμενοι
ἐπημύει (B 148)· ἐπικατακλίνει. [ad 78] ἐμπίπτει
ἐπήμυνον· ἐβοήθουν [80. 81]

COD. 16 αὐτοφόρῳ 17 ἐπεφ| 32 ἐπεχο| 34 ἀθροὶ 35 ἔπεμψεν 40 ἐπιβόλους 44 ἠλέκτρας 50 ἐπήεσσαν, ὑπήρχοντο 52 ἐπηετάων 54 ἐπήϊα, ἐπίστια 56 καρχηδόνιος 63 post 73 64 ἐπιφανές 65 ἐπηλυγάς ⟨70 ἐπη λύσια vel ἐπιλυσία et ἐπηλυσίη⟩ 78 ἐπιμύει, ἐπικαταχλᾷ — ἐπιγογγίζει ἐπίπτει 79 ἐπίμυνον

HES. 14 ἐπεύχεο (ψ 59)· καυχοῦ ⟨—ῶ⟩ 15 ἐπεύχεται (P 450)· καυχᾶται Ad 16 ὤφθη (Ep. ad Tit II 11) 18 ἐπέφησαν (Cratin. fr. XI p. 66)· ἔφηκαν 20 ἔπεφνεν· ἐφόνευσεν (Π 785)· ἀνεῖλεν, ἀπέκτεινεν (K 488) 21 ἐπέφραδεν· διεσάφησεν (ο 423)· εἶπεν (Λ 795) 25 ἔπεχε (LXX)· ἐπίκεισο. πρόσεχε. κάτεχε. ἐπίμενε 26 ἐπέχερον· ἀκόλουθον ⟨ἐπισχερόν?⟩ 29 ἐπεχείρεον (ω 386)· ἐπετίθεσαν. ἐπεχείρουν 30 ἐπεχθισμένου· βάρος βαστάζοντος ⟨v. ἐπηχθ—⟩ 31 ἐπέχοντες (ad Philipp. II 16)· κρατοῦντες 33 ἐπεχράοντο· ἐπεβάρησαν. ἐπῆλθον (Π 356) 36 ἐπέων· λέξεων, λόγων (Λ 703) 38 ἐπηβολή· μέρος. ἢ ἐπιβολή (q. v.) 42 ἐπήγαγον (ξ 392)· ἐπηγαγόμην εἰς τὸ πῆσαι 43 ἐπηγανίδες (Rhian. ε 253)· ἐπηνύγματα 47 ἐπηγμένως· κατασπουδαζόντως ⟨ἠπειγμένως⟩ 57 ἐπηκουρία· βοήθεια. συμμαχία 59 ἐπίλεγεν· ἐπῆρεν. ἐκίνησεν 61 ἐπῆλθέ μοι (Sirac. XXVI 21)· ἦλθέ μοι 72 ἐπήλυθεν (Θ 488)· ἐπῆλθεν 73 ἐπήλυτος (Iob. XX 26)· ἔποικος. προσήλυτος 76 ἐπ' ἤματι (β 284 non Theocr. XII 5)· ἐν μιᾷ ἡμέρᾳ Ad 78 ἐπιστεμάζει. ἐπιγογγύζει (v. ἐπιμύζει) 80 ἐπήν (Δ 168)· ἐπειδάν 81 ἐπήνεον (Δ 380)· ἐπῄνουν

ἐπήνθησεν· ἐβλάστησεν [83. 84]
ἐπήνυσεν· ἐπετέλεσεν
ἔπηξεν (Callim. Apoll. 58)· ἔστησεν
(ἐπήορα· κρεμάμενα, μετέωρα) cf. 4621 [87]
ἐπήρατε· (ἐ)καλέσατε [89. 90]
ἐπηρεάζει· βιάζει
ἐπήρεια (cf. Thuc. I 26, 3)· βία
ἐπῆρεν (Soph. OT. 1328 Ar. Nub. 42)· ἀνέπεισεν
ἐπήρετο (Xen. An. III 1, 5)· ἐπηρώτα [95. 96]
ἐπηρέσσατο· εὐαρέστους ἐποίησεν
ἐπηρεφέας (κ 131)· ἐπεστεγασμένας
ἐπηρεφέος· ἐπεστεγασμένου [4600]
ἐπήρκεσεν (ρ 568)· ἐβοήθησεν
ἐπῆρξε· κατῆρξεν
ἐπῆρσεν (Ξ 339)· ἐφήρμοσεν. †ἐπέρασεν
(ἐπήρτα· ἐκρέμασεν)
ἐπηρτημένην· ἐπικειμένην. ἐπικρεμαμένην [6]
ἐπήρωσεν· ἐκάκωσεν
ἐπησθείεν· ἐπιχαρείεν
ἐπησθέντες· χαρέντες
ἐπήσθετο· ......
ἐπήσκηται (ρ 266)· ἐπικεκαλλώπισται. κεκόσμηται [12]
ἐπῆσται· †ἐπιλέλυκται ἐπῳδῇ
ἐπητέος (Arist. φ 306)· εὐλογιστοῦ. εὐγνώμονος, συνετοῦ. πρᾴου
ἐπητές· αἴσιον
ἐπητής· σώφρων. λόγιος. ἀληθής. δίκαιος. φρόνιμος. παρὰ τὰ ἔπη. πρᾶος. χρηστός (υ 332)
ἐπήτριμα (Σ 552)· ἄλλα ἐπ' ἄλλοις πυκνά ⟨v. ἐπιτριμμοί⟩
ἐπήτριος· λόγιος. πανοῦργος ⟨ἐπίτριπτος⟩
ἐπηύδων (Philoct. 395?)· ἐπεφώνουν
ἐπηύρουν (Aesch. Prom. 28)· ἐπέτυχον. παρὰ τὸ ἐπαυρεῖν [21. 22]

ἔπι· ἔπεστιν, ἔνεστι. καὶ ἐπὶ τόπῳ ἡ πρόθεσις ἐπί·
αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει (ι 140) [24]
ἐπιάλης (Alcae. fr. 130)· ὁ ἐφιάλτης· ὃν Αἰολεῖς ἐφέλην, ἄλλοι ἐπιάλλην, καὶ ἐπωφέλην καλοῦσιν
ἐπιαλμένων (Η 15?)· ἐφαλλομένων [27]
†ἐπιανέω ⟨ἐπιάλλω?⟩· ἐπιτρέπω [29]
Ἐπίασσα· Δήμητρος ἐπώνυμον [31. 32]
ἐπιβάθρῳ· ἐπιβάσει ⟨ἐπὶ—⟩
ἐπίβαθρον (ο 448, Callim. fr. CX 3)· μισθὸς τῆς βάσεως τῆς εἰς τὴν ναῦν, τουτέστιν ναῦλον
ἐπιβαλεῖ· ἐπι(ρ)ρίψει
ἐπίβαλοι· πτέρναι ⟨v. ὀπιβαλ et 4659⟩
ἐπιβαλλόμενος (Ζ 68)· ἐπιβολὴν κατὰ πρό[σ]θεσιν ἔχων. ἐπιθυμῶν
ἐπίβαμα· ὑποπόδιον [39]
ἐπιβασκέμεν· φθονεῖν [ad 40]
ἐπιβατεύουσιν· ἀμφισβητοῦσι. ζητοῦσι ⟨2294⟩
ἐπιβάτην· τὴν πτέρναν τοῦ ποδός
ἐπιβάτης· ἐπὶ νῶτον βαίνων. ἢ ὁ μὴ κωπηλάτης (cf. Ezech. XXVII 29), ἀλλὰ πλέων μαχητής (Aristoph. fr. XI p. 975)
ἐπιβατόν· ὁδευομένην
(ἐπιβατός· λεῖος, ὁμαλός) cf. 4678
ἐπίβδαι (Cratin. fr. LI p. 192)· αἱ μεθέορτοι ἡμέραι· ἀπὸ τοῦ ἐπι(βι)βάζεσθαι ταῖς ἑορταῖς οὐκ οὔσαις ἐξ αὐτῶν. ἢ ἐπίδαι κατὰ πρόσθεσιν τοῦ (β,) διὰ τὸ ἐπὶ τῇ δαιτὶ καὶ ἑορτῇ ἄγεσθαι αὐτάς
ἐπιβήματα· εἴδη χορικῆς ὀρχήσεως
Ἐπιβήμιος· Ζεὺς ἐν Σίφνῳ [48]
ἐπιβήσομαι· καταφύγω [50. 51]
(ἐπιβήτορι cf. 4666)
?ἐπιβατικά· ἃς ἡμεῖς λέγομεν παρενθήκας, ἐπὶ τῶν ἐμπορικῶς πλεόντων
†ἐπιβλάς· συννεφὲς νιφετῷ

COD. Post 88] 4605 ἐπηρᾶτο 4601 ἐπήρκησεν 3 ἐφώρμησεν ⟨4622⟩ ⟨8 ἐπιησθέντες, ἐφέασθεν⟩ 14 ἐπίτεος 15 ἐπῆτες 16 ἐπήτης 25 ἐπιαλής Post 34] 4645 ἐπιβάδαι· αἱ μεθέορται ἡ. ἐπὶ — ἢ ἐπειδὰν κ. π. τοῦ..διὰ 38 ἐπίβαλμα, ὑπὸ πόδον 52 Antiatt. 97, 19

HES. 83 ἐπήνιον· προσορμηστήριον. τόπος παραθαλάσσιος ⟨v. ἐπίνειον⟩ 84 ἐπήνκεν (Greg. Naz. Carm. XIV 17)· ἐπάν, ὅταν 87 ἔπηπυον (Σ 502)· ἐπεβόων 89 ἐπήρατον (Σ 512)· ἐπέραστον 90 ἐπηράστου (I 228)· ἐπεράστου 95 ἐπήρετμοι (β 403)· ἐπίκωποι 96 ἐπηρέσιον· τὸ προσκεφάλαιον ⟨ὑπ—⟩ 4600 ἐπήρθη (Ps. VIII 2)· ὑψώθη 6 ἐπήρτυεν (θ 447)· ἐφήρμοζεν 12 ἐπιστάν· ἐπὶ πολὺ ἀνατεταμένον 21 ἐπήωρα· κρεμάμενα. μετέωρα ⟨ἐπήορα⟩ 22 ἐπήωρσαν· ἐφόρμησαν ⟨ἐπήρωσαν· ἐφήρμοσαν Cyr. 63⟩ 24 ἐπιαλές· τερπνόν ⟨ἐπιθαλπές⟩ 27 ἐπιανδάνει (Η 407)· συναρέσκει 29 ἐπιαρτμαγέν (Π 374)· ἐπειδὴ ἐχαρίσθησαν 31 ἐπίασσεν (Ο 321)· ἐβόησεν 32 ἐπίαχον (Ε 860)· ἐπεβόησαν 39 ἐπίβασιν (Ps. CIII [CIV] 3)· ἀνάβασιν. βάδισιν Ad 40: ἐπιβιβάζειν (Β 234) 48 ἐπιβήσει (Ε 91)· ἐπιβαρήσει. ἐπισχύσει ⟨4671⟩ 50 ἐπίβησον (Θ 28 5) μετασχεῖν ποίησον (Greg. Naz. VII 27 p. 224) 51 ἐπιβιβῶ (Hoseae X 11)· ἀναφέρω

πίβλημα· πῶμα [ad 54]

ἐπιβλής (Ω 453)· μοχλός

ἐπιβλήτης (Lysias Harp.)· δοκός. μοχλός

ἐπιβλύξ (Pherecr. fr. I 4 p. 316)· συννεφής

ἐπιβόα τὸ Μύσιον (Aesch. Pers. 1054)· ὅταν θρηνῶσιν αἱ Μυσαί, τὸν Μύσιον τὸν Ὕλαν ἀνακαλοῦνται

† ἐπιβλαί· περόναι [60]

Ἐπιβολεύς· ὁ Ἡρακλῆς παρὰ Θουρίοις

ἐπιβολή· ὁρμή. ἐγγραφή. ζημία (Lysias Nicom. § 3). (μέρος)

ἐπιβουλεύει· ὁρμᾷ. ζημιοῖ

ἐπίβουλος· ἐχθρός. ἐπηρεάζων ⟨ex onomast.⟩: [ad 64] [65. 66]

ἐπιβοῶνται· ἐπικαλοῦνται

ἐπιβρέμοντες· ἐπηχοῦντες

ἐπιβρέξαι· ἐπαγαγεῖν. βρέξαι [70—73]

ἐπιβρῖσαι· ἐπαγαγεῖν. ἐπελθεῖν. ἐπιστῆξαι. ἐπιβαρεῖν. ἐφορμῆσαι. βιάσασθαι

ἐπιβυσάτωσαν· φραξάτωσαν. φιμωσάτωσαν

ἐπιβωμίζοντι· θύοντι [77. 78]

ἐπιβώτορι μήλων (ν 222)· βοσκήτορι τῶν ποιμνίων. ἐπιστάτῃ. ἢ ἐφιππαστῆρι. οἱ γὰρ τῶν βασιλέων υἱοὶ πρῶτον ἐπὶ τῶν κριῶν ἱππεύειν ἐμάνθανον

ἐπιγαμία (Xen. KII I 5, 3)· συγγένεια. ἢ τὸ παρ' ἀλλήλων ἄγεσθαι

† ἐπίγαμος (Menand. fr. CXIV)· πατρῷος

ἐπιγάν[ν]υσθαι· χαίρειν

ἐπίγαυρον· ἰσχυρόν ⟨v. ἐπίταυρον⟩

ἐπιγαυρωθείς (Xen. KII II 4, 18 (30))· ἐπαρθείς [85]

ἐπιγελαστάρ· ὁ καταγελῶν. Λάκωνες

ἐπιγλωσσώμεναι· ἐπιλαλοῦσαι

ἐπιγλωσσῶ· ἐποιωνίζου διὰ γλώττης. Αἰσχύλος Ἡρακλείδαις (fr. 72)

ἐπιγνά.ψασα (Λ 569)· ἐπικατακλάσασα. συμπείσασα. στυγνάσασα

ἐπιγνά.ψω· ἐπικλάσω [91]

ἐπιγνώμη· συγγνώμη. διάγνωσις

ἐπιγνώμονος· συνετοῦ. γνῶσιν ἤτοι γνώμην ἔχοντος

ἐπιγνώμων· ἐπόπτης [95—97]

ἐπιγουνίδα (σ 73 ρ 225)· τὸ ἐπάνω τοῦ γόνατος. Λέγει δὲ τὸν μηρόν, ἀφ' οὗ ἐκδεκτέον τὴν τοῦ σώματος εὐεξίαν

ἐπιγράβδην (Φ 166)· ἐπ' ἄκρων ξύσαι, ἐπιξεστικῶς

ἐπιγράμματα· αἱ ἐπιγραφαί

ἐπιγραφεύς· ζωγράφος [4702]

ἐπιγράφεται· ξύεται, χαράσσεται. ὀνομάζεται

ἐπιγύων (Aristoph. fr. XXIV 1125)· τῶν πρυμνησίων κάλων, ἅ τινες πείσματα καλοῦσιν

ἐπίδαιτρον· ὄψον (Ath. XIV 646 B)

† ἐπιδαιτήσομαι· ἐπιστελῶ. εὐωχηθήσομαι

ἐπιδακρυνθέντα· ἐπιγραφέντα

ἐπίδαλον· λοιμικόν

Ἐπιδαύριοι· ἔθνος Πελοποννήσου

Ἐπίδαυρον· τὸ Τροιζηνικόν

Ἐπίδαυρος (Xen. Hell. VII 1, 13)· πόλις ἐν Ἄργει

ἐπιδαψιλεύσει (Xen. KII II 2, 8)· μεγαλοψυχήσει (ἐπιχορηγήσει πλουσίως)

ἐπιδαψιλευόμενος· μεγαλοψυχούμενος

ἐπιδεᾶ· ἐνδεῆ. ἐλλιπῆ

ἐπιδείκνυται· φανεροποιεῖ

ἐπιδεικτιῶντα· ἐπιδείκνυσθαι μέλλοντα † ἢ θέλων ⟨Θέων?⟩

ἐπίδειξις· ἐπιδεικτικός ....

COD. ⟨56 lege |ῆτας· |ούς bis⟩ 57 ἐπίβληξ 58 τὸν — Μῦσαι — Ὕλλαν 62 cf. ἐπηβολή (Polyb. III 100, 6) 63 ζημιεῖ 66 ἐνορχῆ 74 ἐπιβρίσει — ⟨ἐπιστίξαι vel ἐπισίξαι?⟩ 79 ἐφιππαστῆρι 86 ἐπιγελαστικά (h. e. — CTHC) 88 ἐπιγλώσσω — ἡρακλίδες 90 ἐπιγνάλω 99 ἐξεστηκῶς 4708 λυμικόν 9. 10 Ἐπιδαύριον, τ. T. Ἐπίδαυροι, ἐ. Π. 12 ἐπιχορηγῆ πλ. post 4713

HES. Ad 54: ἢ ῥάκος (Matth. IX 16) 60 ἐπιβόλαια (Ezech. XIII 21)· ἐπιβλήματα Ad 64: λοίδορος ⟨ἐπεσβόλος⟩ 65 ἐπιβόλως· φρονίμως ⟨ἐπηβόλως⟩ 66 ἐπιβότορι (ν 222)· ποιμένι, βοσκήτορι: ἐνόρχει, μὴ ἐκτετμημένῳ, ἐπιβαίνοντι ⟨ἐπιβήτορι⟩ 70 (ἐπὶ βρεχμόν E 586)· ἐπὶ βρέγμα. ἐπὶ στόμα καὶ κεφαλήν 71 ἐπιβρίσει (E 91)· ἐπισχύσει. ἐπιβαρήσει ⟨4648⟩ 72 ἐπιβρίθων (Iob XXIX 4)· ἐπιβαρῶν 73 ἐπιβριμεῖ· ἐπιφωνεῖ (Eur. Bacch. 151) 77 ἐπιβώσομαι (α 378 β 143)· ἐπικαλέσομαι, ἐπιβοήσομαι 78 ἐπίβωτος ⟨—ατός⟩· λεῖος, ὁμαλός 85 ἐπιγεινομένοις (K 71)· ἐπιγενομένοις 91 ἐπίγνωθι (Genes. XXXVII 32)· μάθε, γνώρισον 95 ἐπειγομένων (E 501)· ἐπὶ πάντων σπευδόντων 96 ἐπιγονή (Amos VII 1)· γέννημα 97 ἐπὶ γούνασι (X 500)· παρὰ γόνασιν 7402 ἐπιγράψαι (N 553)· † ἐπιτελεῖν. ἐπιξῦσαι

ἐπιδειπνίς· κώθωνος ἥδυσμα. [ἐθισμός] Μακεδονικῶς (Ath. XIV 658) [19. 20]

ἐπιδεκτικός· ἐπίδεκτος

ἐπὶ Δελφινίῳ· τοῦτο δικαστήριον, ἐφ' οὗ οἱ ὁμολογοῦντες πεποιηκέναι φόνους ἐκρίνοντο

ἐπιδέξιος· καλός, ἀγαθός. εὔμορφος

† ἐπιδεξιπολίης· ἐκ τῶν δεξιῶν μερῶν περιστρέψας

ἐπίδεσον· ἐπίστρεψον ⟨v. δεῖν⟩ [26—29]

ἐπιδεῦσαι· ἐπιστρέψαι [31. 32]

ἐπιδεχόμεθα· προσδοκῶμεν

ἐπὶ Δηλίῳ μάχη (Lycurgus)· Δήλιον, τὸ ἐν Βοιωτίᾳ τοῦ Ἀπόλλωνος ἱερόν, ὃ ἐτείχισαν Ἀθηναῖοι. καὶ περὶ αὐτοῦ Βοιωτοῖς μαχεσθέντες ἡττήθησαν Ἱπποκράτους στρατηγοῦντος

ἐπιδημεύει(ς π 28)· ἐν τῷ δήμῳ ἀναστρέφεις

ἐπιδημία· παρουσία [37. 38]

ἐπίδημον· [39] ἢ τὸν ὑπὸ δήμου τεταγμένον. ἢ ἐν τῷ δήμῳ ὄν

ἐπιδικάζεται· ἀντιποιεῖται

ἐπίδικος· ἥτις οὐκ ἔστιν ἄνευ δικασίας. παῖς, † εἰς πλείους συγγενεῖς † καὶ οὐσίας εἰσὶν δικάζοντες [42]

ἐπιδίφρια (ο 51. 75)· τὰ ἐπὶ τῷ ἁρματείῳ δίφρῳ [44]

† Ἐπίδυαι· πέλειαι ἢ πίλαι ⟨v. πεδιατίδες πύλαι⟩

ἐπίδοκα· προσδοκία

ἐπιδοκίδες· προσδοκίαι

ἐπίδοξα (Herod. I 89)· προσδοκώμενα

ἐπίδοξος (Hippocr.)· προσδόκιμος

ἐπιδορατίς· ὁ σίδηρος τοῦ ἀκοντίου, τὸ ἄνω.....

ἐπιδορπίσασθαι (Comic.)· ἐπιδειπνῆσαι

ἐπιδορπίσματα (Philippid. IV p. 473)· τραγήματα, ἐπίδειπνα

ἐπίδοσις· ἡ προῖξ. καὶ αὔξησις

ἐπιδούριτον· ἐπιπαραστροφίδα ⟨v. ἐπίξυλον et λέγνη⟩

ἐπιδραμέτην (Ψ 418)· ἐπεδίωκον. ἐπήρχοντο

ἐπιδράμωμεν· ἐπιδιώξωμεν

ἐπιδράττονται: κρατοῦνται

ἐπιδρομάδην (Nic. Ther. 481)· παρέργως. κατὰ σπουδήν

ἐπιδρομή· ἔφοδος. ἁρπαγή. ἐπίβασις

ἐπίδρομον· [ad 60] τὸ ἱστίον τὸ ἐν τῇ πρύμνῃ κρεμάμενον, ὃ καλοῦ..σιφάρου καὶ ἔλασσον

ἐπιδυσ(ω)χεῖν· ἐπιτωθάζειν

ἐπιδώμεθα (X 254)· ἐπιδῶμεν θεούς, ἴδωμεν

Ἐπιδώτας· Ζεὺς ἐν Λακεδαίμονι [64]

ἐπιεικέα (Ψ 246)· τὸν ἀστεῖον. ἢ τὸν (ἀ)ψευδῆ. ἄλλοι τὸν ἐγχωροῦντα καὶ πρέποντα

ἐπιεικές (Apoll. 73, 4)· καθῆκον, πρέπον (T 147), προσῆκον (Λ 547), ἱκανόν (Hippocr.). ἐπεοικός. προσηνές. εὔγνωμον. μέτριον. εὐφυές. σπουδαῖον. πρᾶον. ἀγαθόν ⟨ex onomastico?⟩ [68. 69]

ἐπιεικῶς (Xen. Hell. V 4, 50)· πάνυ, λίαν πρᾴως

ἐπιειμένε (Λ 149)· ἠμφιεσμένε, ἐνδεδυμένε [72. 73]

ἐπιείσεται· ἐπελεύσεται

ἐπιείστορε· ἐπιμάρτυρας. δυϊκῶς ἡ λέξις (Greg. Naz.?)

ἐπιέναι (Thuc. IV 96, 5)· ἐπελθεῖν

ἐπὶ ἐπὶ τοῦτο· ὑπέρθεσις

ἐπίεσσαν· ἐπήρχοντο (Λάκωνες) [79]

COD. 18 post 4733 22 post 4732] ἐπιδέλφινος ⟨32 cf. ἐπιχιλές, ὑπερχειλές⟩ 22] 33 [18 34 ἐπιδηλίῳ — μαχησθέντες 39 ἥττον (v. 4742) ⟨41 εἰ — κατ'?⟩ 43 |τίῳ 51 |ήσασθαι bis 52 |ήσματα 63 ἐπιδότας 66 ἐυγνώμων — εὐφυῆ ⟨74 V. ἐπινείσεται⟩ ⟨77 ἐπὶ ἔτι Budaeus⟩ 78 Λάκωνες post 77

HES. 19 ἐπιδεινήσας (H 269)· συστρέψας. συσείσας 20 ἐπιδε κλειοῖδετάνυσεν ἱμάντι (α 442)· τὴν δὲ κλεῖδα παρήγαγε τῷ ἱμάντι 26 ἐπιδευεῖς (N 622)· ἐνδεεῖς, χρῄζοντες 27 ἐπιδεύοιτο (Ω 385)· ἐπιδεής, ἢ ἐλλιπὴς ἦν 28 ἐπιδεύσω (E 816)· ἐπικρύψω 29 ἐπιδέψονται (Δ 63)· ἐπακολουθήσουσιν 31 ἐπίδεκτον· ἐπίσημον. μέγα ⟨ἐπιλ—⟩ 32 ἐπίδιχα· σκύφον τὸν μὴ κενόν ⟨ἐπιχειλῆ⟩ 37 ἐπιδήμιον (α 194)· κοινόν, δημόσιον. ἢ ἐμφύλιον 38 ἐπιδημίου (I 64)· ἐνδήμου. ἐμφυλίου. καὶ πρὸς πολέμους γινομένους Ad 39 ὡς ἐπὶ πολὺ ⟨ad ἐπὶ δηρόν⟩ 42 ἐπὶ δή (I 415)· ἐπὶ πολύ 44 ἐπιδιφριάδος (K 475)· ἐκ τῆς περιφερείας τοῦ ἅρματος ⟨v. ἐξ ἐπιδ—⟩ Ad 60 κατωφερές, καθ' ὅ ἐστιν ἐπιδραμεῖν κατερχόμενον ἀπὸ τοῦ τείχους. ὡς· καὶ ἐπίδρομον ἔπλετο τεῖχος (Z 434) καὶ 64 ἐπίεζεν (Π 510)· ἐξεπίασεν 68 ἐπιεικτά (θ 307)· φορητά, ὑποχωρητά 69 ἐπιεικεύσατο (Esd. IX 8)· ἠγάθυνεν 72 ἐπι(.)είξας· ἐπιδεικτι[κ]ῶν. κενοδοξῶν 73 ἐπιεισαμένη (Φ 424)· ἐφορμήσασα, ὁμοιωθεῖσα 79 ἐπιέπεται· ἀκολουθεῖ

ἐπιέσασθαι γῆν (Xen. KΠ VI 4, 6)· ταφῆναι

ἐπιεσ(σ)άμενος· ἐπιβαλόμενος

ἐπιέψω· ἐπιτελέσω

ἔπιζα· ὄρνεα. Κύπριοι

ἐπιζάξ· ἐπὶ τὰ ἀριστερά. καὶ ἐπ' εὐθείας. καὶ ἐπὶ τὴν σύντομον. καὶ ἐπίτηδες. ἐκ πλαγίου. ἢ συντόμως. Ἀθηναῖοι

ἐπιζαφελές· θυμῶδες, ὀργίλον. χαλεπόν. ἰσχυρόν. ἐπίκοτον

ἐπιζαφελῶς (I 512)· ηὐξημένως. ἄγαν

ἐπιζευκτήρ· σπεῖρα. καὶ σειρά

ἐπιζύγιον· μέρος τῆς νεώς

ἐπιζυγκ(λ)εῖν· ἐπισκαρδαμύττειν. ἐπιστένειν. ἐπικαταχλᾶν ⟨v. ζυγκλεῖ⟩

ἐπιζυγκλοῦσα· ἐπικλείουσα. μύουσα

ἐπιζυγῶν· ἀπολαμβάνων. συνέχων [92]

ἐπίηλεν (χ 49)· ἐπεξέτεινεν. ἔπεμψεν. ἐπήγαγεν. ἐπηύξησεν

ἐπίηρα· τὴν μετ' ἐπικουρίας χάριν μεγάλην, ἢ ἐκ τῆς περιουσίας· ὡς Ἀντίμαχος (fr. XCII)

ἐπιήρανα· ἐπικουρητικὰ τῆς ψυχῆς ‚ποδῶν ἐπιήρανα θυμῷ ποδάνιπτρα' (τ 343)

ἐπιήραν(ος)· ἐπίκουρος. ἐπιθυμητός. (ἐπιμελητής, ἐπίχαρις)

ἐπίηρος· βοηθός. χάριν ἀποδιδούς

†ἐπιήρεα· ἐπιχαρίτια [4800]

Ἐπιθαλαμίτης· Ἑρμῆς ἐν Εὐβοίᾳ

ἐπιθαλπές· τερπνόν ⟨v. ἐπιαλές⟩

ἐπιθαλύνωντι (Dorice)· ἐπιφλεγμαίνωσιν [4. 5]

ἐπιθάνατος (Dem. 1225, 1)· προσδοκώμενος ἀποθανεῖν

ἐπιθεάζει (Pherecr. X p. 314)· θεοὺς ἐπικαλεῖται

ἐπιθε(ι)άσας (Thuc. II 75)· κατευξάμενος. (τὸ θεῖον δεξάμενος. θεοφορηθείς)

ἐπίθεος· σημεῖον ἐν θυτικῇ ⟨cf. θεός⟩

ἐπίθεσις· ὁ τῶν δύο ἀριθμὸς παρὰ τοῖς Πυθαγορικοῖς

ἐπίθετα· τὰ (μὴ) πάτρια ἱερὰ παρὰ Ἀθηναίοις

ἐπίθετον· ἡ στοιβή [13. 14]

ἐπιθέτωσαν· ἀντικείσθωσαν

(ἐπιθήγοντας· ἐποξύνοντας)

ἐπιθήκη· φερνή

μείζων δ' ἐπιθήκη (Hesiod. Opp. 380)

ἐπίθημα (Herod. Hippocr.)· πῶμα [19]

ἐπιθήσοντας· ἐπιφέροντας

ἐπιθιγγάνει· ἐφάπτεται (4800)

ἐπιθλάσας· συντόμως εἰπών

ἐπιθολοῦσιν· ἐπισκοτοῦσιν. ταράττουσιν

ἐπιθορνύμεναι· σπερμαίνουσαι καὶ ζωογονοῦσαι· θόρος γὰρ τὸ σπέρμα

ἐπιθράνιον· μέρος τι τῆς νεώς

ἐπιθρᾶξαι· ἐπιθρύξαι. ἐπινύξαι

ἐπιθρέξαντος (N 409)· ἐπιδραμόντος. ἐπιξύσαντος

ἐπιθριδάκια· ἑορτὴ †Ἀπόλλωνος

ἐπιθρώσκει· ἐφάλλεται, ἐπιπηδᾷ [30. 31]

†ἐπιθυμελίας ἀγῶνα· τὴν τῶν διαφραγμάτων στάσιν

ἐπιθυμίδες· τὰ παντοδαπὰ στεφανώματα [34]

ἐπιθύω· ὥρμημαι

ἐπίθωνται (Thuc. I 64)· σπουδάζουσιν. ἐπιτίθενται

†ἐπιθωτάζοντες· ἐπιχλευάζοντες ⟨—τωθ—⟩

ἐπιθωΰσσειν· ἐπικελεύεσθαι [39—41]

ἐπικαγχάζων· ἐπιγελῶν

ἐπὶ κάρ (Π 392)· ἐπὶ κεφαλήν· δι' οὗ δηλοῖ τὸ κατωφερὲς τοῦ ῥεύματος. ἐπὶ κάρα[ν]

ἐπίκαιρος (Soph. Ai. 148)· εὔκαιρος

ἐπικαρπία· †καρποφορά

Ἐπικάρπιος (Arist. de mund. 7)· Ζεὺς ἐν Εὐβοίᾳ

COD. 81 λαβόμενος 83 ἔπιξα ⟨σπίζα?⟩ 84 cf. ἐξεπιτάξ, ἐπιτάξ 90 ἐπιζύγκουσα 91 ἐπιζητῶν 94 |ρος 95 θυμοποδ| 96 ἐπιθυμητής; cf. 4909 97 ἐπιή.-ρος ⟨4801 Ἔρως Meineke⟩ 2. 3 = 3. 2 3 ἐπιθαλάμοντι, |ένωσι Post 7] 4811 ἐπιθέατα 7 ἐπιθεάψαι 8 cf. post 20 11 cf. 7 16 cf. 20 20 ἐπιθέσοντας, ἐποξύνοντας, ἐπιφ| Post 20 ἐπιθειάσας, τ. θ. δ. θ.; cf. 8 24—26 = 25. 27. 24. 26 ⟨28 Ἀδώνιδος? 33 cf. ὑποθυμίς 37 cf. θωτάζει cf. schol. Plat. Axioch. p. 464 Bkk.⟩ 43 ἐπίχαρ — κατο| 46 προσπ|

HES. 92 ἐπιγορέων· κατηγορῶν 4800 ἐπιθαγγάνει· ἐφάπτεται ⟨4821⟩ 4 ἐπὶ θάτερα (Thuc. I 87, 2)· ἐπὶ τὰ ἕτερα 5 ἐπιθαρσύνων (Δ 183)· προτρεπόμενος 13 ἐπίθεμα· τὸ ἐπιτιθέμενον 14 ἐπιθεῖναι (Θ 395)· κλίσαι 19 ἐπιθήσει (Δ 190)· ἐπιβαλλει 30 ἐπιθρώσκουσιν (E 772)· ἐπιπηδῶσιν 31 ἐπιθρωσμοπεδίοιο (K 160)· ὁδῷ πεδίου μὴ ἐπιδρόμῳ 34 ἐπιθυμῶν (Luc. XVI 21)· ὀρεγόμενος 39 ἐπιιαθέντες· ἐπιχαρέντες ⟨v. ἐπησ—⟩ 40 ἐπιείκελον (Α 265)· ὅμοιον 41 ἐπιΐστορα (φ 26 Gr. Naz.)· ἔμπειρον

†ἐπικάρπον· καρπόν ⟨ἐπίκ— εὔκ—⟩
ἐπικάρσια· ,ἐπικαρσία δὴ προπεσοῦμαι (Anon. com. fr. CXXIX)' πλάγια, οὐ κατ' εὐθεῖαν φερόμενα
ἐπικαρυκεύεται· ἀρτύει
ἐπικαχλάζεται· διακινεῖται [51]
†ἐπικέλια· ἔπεργα, ἱμάτια
ἐπικαταδαρθεῖν· ἐφυπνῶσαι
ἐπικεῖραι· διακόψαι. διαφθεῖραι [55]
ἐπικεκόνημαι· ἐξέφθαρμαι, ἀπόλωλα
ἐπικέλσαντες (ι 138)· ὁρμήσαντες, ἢ ἐπὶ τὸ ξηρὸν ἀγαγόντες τὴν ναῦν [58]
ἐπικεύσω (Ε 816 Aesch. Ag. 766)· κρύψω
ἐπὶ κεφαλήν· ταχέως
ἐπικέφαλον· τὸ ἐπικεφάλιον
ἐπικεχήνασι· προσέχουσιν
ἐπικήδειον (Eur. Tro. 514)· ἐπιθανάτιον
(ἐπικήκαστον· ἐπονείδιστον cf. 4384)
ἐπίκηρα· ἐπίνοσα. †μοῖρα. ἡ ἐπιθανάτια
ἐπικηραίνειν· ἐπιδυσμενεύεσθαι
ἐπικήραν· †ἐπιμοίραν. ἐπιθανατίαν (4998). σαθράν
ἐπικηρότατοι (Theophr.?)· ἐπισαθρότατοι
ἐπικηρυκεύεται (Ar. Thesm. 336)· προ[σ]κηρύσσεται [69]
ἐπικίδναται· ἐφαπλοῦνται
Ἐπικιχράδας· ὁ Ζεὺς ἐν Κῷ
ἐπικλασθῆναι (Thuc. III 59)· συμπαθῆσαι, ἐλεῆσαι
ἐπικλείδια· ἑορτὴ Δήμητρος Ἀθήνῃσι [74]
ἐπικλέπτοιτο· ἐπιθυμοίη
†ἐπικλεσαιδόνα· ἐπικληδόνα
ἐπίκλη· ἡ ἐπίκλησις παρὰ Ἀττικοῖς
ἐπίκλη· ἐπωνυμία
ἐπίκλημα· μέμψις. ἡ ἔγκλημα
ἐπίκληρος· ἐνούσιος. γυνὴ δέσποινα, εἰς ἣν κατήντησαν πολλοὶ κλῆροι
ἐπίκλητος· ἐπίξενος [ad 81]. δαιτυμών (umbrae). καὶ οἱ σύμμαχοι

ἐπικλινείς· ἐπιπίπτων. προσρέπων
Ἐπικλόπειος· Ζεὺς οὕτως καλεῖται
ἐπίκλοπος (Χ 281 ν 291)· δόλιος, πανοῦργος. ἢ ἐπιθυμῶν τοῦ κλέπτειν
ἐπίκλυσις (Thuc. III 89)· ἐπιρροή
ἐπικλυτόν· ἐπονείδιστον. ἐπίδοξον
ἐπὶ κοινῆς· ἀντὶ τοῦ κοινῇ
?ἐπὶ κνάφου ἕλκων (Herod. I 92)· [ad 88] [89]
Ἐπικοίνιος· Ζεὺς ἐν Σαλαμῖνι
ἐπικομπῶν (Thuc. VIII 81, 3)· ἐπικαυχώμενος
†ἐπικόκκουρος· ὁ παρατηρητὴς ἐν σταδίῳ παρὰ Λάκωσιν
ἐπίκοπος· χάραγμα ἐκ δευτέρου πληγέν (Aristot. Oec. II 20)
†ἐπίκορον· ἐπίκοπον. Πάμφιοι (5202?)
ἐπὶ κόρρης· ἐπὶ κεφαλῆς, ἢ γνάθου
†ἐπίκορρι· ἐπὶ κονδυλίῳ
ἐπικόρριστον· κατακονδύλιστον
ἐπίκοτα· ἐπίμομφα, ἃ πᾶς ἄν τις μέμψαιτο. Σοφοκλῆς Ναυπλίῳ καταπλέοντι (fr. 392)
ἐπικότως (Aesch. Prom. 162)†· ἐπιστρεφῶς [4900]
ἐπικουρίας (Thuc. I 32)· βοηθείας, συμμαχίας [2. 3]
ἐπικράδιον· ἐπικάρδιον
ἐπίκρανα· προσκεφάλαια, καλύμ(μ)ατα. ἐπιστύλια ⟨τυλεῖα⟩
ἐπικρανεῖς· ἐπιτελέσεις. ἐπιμεληθήσῃ
ἐπικρανής ⟨—άντης⟩· ἐπιμελητής
ἐπικρᾶναι (Aesch. Suppl. 624)· τῇ κεφαλῇ ἐπινεῦσαι. τελέσαι [9]
ἐπικρατεῖ (Archil. fr. 71)· ἐξουσιάζει
ἐπικρατίδιον (Hippocr. I p. 84 K)· στημονικὸν κάλυμμα [ad 11] τῆς κεφαλῆς
ἐπικρατύνειν· ἐπισχύειν, ὀχυροῦν
ἐπικρήναια· ἑορτὴ Δήμητρος παρὰ Λάκωσιν

COD. 53 ἀφυ| 56 |ιμαι 65 ἐπικηρευνεῖν (75 ἐγκλεπὶς ἐνηλεγεὶς κλέπει) (83 ἐπικλώπειος?) 87 ἐπικοινῆς (ἐπίκοινα?) 88 ἐπικνάφου — τοὺς σωροὺς 90 σαλαμήνη (96 ἐπικορριῶ· ἐπικονδυλιῶ?) 98 ἐπίμορφα ἅπασάν τις — ναυκλίω καὶ πλέοντι 4 ἐπικάρσιον 6 ἐπιτελεῖς 8 ἐπικραῦναι 13 ἐπικρῆναι (5194)

HES. 51 ἐπικελαβῆσιν (Ι 324)· ἐπὰν λάβῃ 55 ἐπικεκλιμένας (Μ 120)· ἐπικειμένας. ἐπικεκλεισμένας 58 ἐπικερτομῶν (Π 744)· ἐπισκώπτων 69 ἐπικίδναται (Β 850)· σκορπίζεται. ἐφορμᾶται ⟨ἐπιπορεύεται?⟩. ἐφαπλοῦται 74 ἐπικλευύσας· ἀπελθὼν λάθρα (4485) Ad 81: ἔξωθεν ἐπεισερχόμενος (gl. mss. XII proph.) Ad 88: διαφθείρων. τὸ γὰρ πρότερον οἱ γναφεῖς ἀκανθῶν σωρὸν συστρέψαντες, τὰ ἱμάτια ἐπὶ τοῦ σωροῦ ἔκναπτον· ὁ δὲ σωρὸς ἐλέγετο γνάφος. ὁ οὖν Κροῖσος τὸν ἐχθρὸν περιέξα(ι)νε ταῖς ἀκάνθαις καὶ οὕτως ἔφθειρεν 89 ἐπικοιμητηριάσασθαι· ὑπηρετικὸν ὄνομα (Byzant.) 4900 ἐπίκουρος (Γ 188)· βοηθός 2 ἐπικουρήσοντας (Ε 614?)· βοηθοῦντας 3 ἐπίκουροι (Hom.)· βοηθοί, σύμμαχοι (4979)· ἐπίσκοποι. καὶ ἧλοι ξύλινοι ⟨ad ἐπίουροι⟩ 9 ἐπίκρανος· ἐπιμελητής. ἐπίχαρις (ἐπιήρανος) Ad 11: χωρίς

ἐπίκρηνον (Eur. Hipp. 201?)· κεφαλόδεσμον

ἐπικρήνωμεν· ἐπιτελέσωμεν

ἐπικριδόν· ἐπίλεκτον

ἐπικρίνασθαι· ἀριθμῆσαι καθ' ἕνα ἕκαστον

ἐπίκροκον· ἐπανθιστόν

ἐπίκρουμα· ἐπίπληγμα, ἢ ἐπιχάραγμα· διὰ τὸ παρωνομάσθαι τῷ Ἄργῳ·
ἐπίκρουμα χθονὸς Ἀργείας
Σοφοκλῆς Ἰνάχῳ (fr. 267)

ἐπικτένια· τὰς ἠλακάτας. καὶ τοῦ ποδὸς τὸ πρὸς τοῖς δακτύλοις μέρος [21]

ἐπίκτητον· ἔξωθεν ἐπανελθόν

ἐπικυδέστερος (Attici)· ἐπικρατέστερος. ἐνδοξότερος

ἐπικύθριον (Iones)· τὸ πῶμα τῆς χύτρας

Ἐπικυλίκειος (Athen.)· Ζεύς

†ἐπικτόλωμα· ἐπικορύφωμα ⟨ἐπικυλ—⟩

ἐπικύψ· ἐπικύψας

ἐπίκωλος τὸν πόδα· σκάζων

ἐπικωμάζω· χλευάζω, μυκτηρίζω

†ἐπικωμάσας· κρατήσας ταῖς θριξίν

ἐπίκωμος (Aristiae fr. 3)· ὁ ἐπᾴδων τῇ φίλῃ. ἢ ἀπὸ οἴνου ᾄδων. ὑβριστής. συγχαίρων

ἐπίκωπα· ἐπίμεμπτα (4898?)

ἐπικωπητήρ· τροπωτήρ

ἐπιλα(μ)φθέντες· φωτισθέντες

ἐπὶ λέαν (Dor.)· ἐπὶ λῃστείαν

ἐπιλεγόμενος (Herod. VII 47)· ἐπιλογιζόμενος

ἐπιλειψάσης· καταλ[ε]ιπούσης. παρελθούσης [38]

ἐπιλεξαμένη (Aesch. Suppl. 47)· ἐπικαλεσαμένη

ἐπιλεξάμενος· διαλεγείς. ἐνθυμηθείς [41]

ἐπιληΐδες· οὕτω τῶν ἑσπερίων τινὲς ἐκαλοῦντο ⟨v. Πλοάδες⟩

†ἐπιλήκητος· ὁ τετυφλωμένος ⟨οὐπικήλητος⟩

†ἐπιχημένος· κατέχων. τετυχηκώς

ἐπιληπτικός· πασχικός. κατεχόμενος

ἐπίληπτος· καταφανής (Soph. Ant. 406). καὶ ὁ τῇ ἱερᾷ νόσῳ συνεχόμενος

ἐπιλήπτῳ· ὑπαιτίῳ. δαιμονιζομένῳ

ἐπὶ Ληναίῳ ἀγών (Ar. Ach. 504)· ἔστιν ἐν τῷ ἄστει Λήναιον περίβολον ἔχον μέγαν καὶ ἐν αὐτῷ Ληναίου Διονύσου ἱερόν, ἐν ᾧ ἐπετελοῦντο οἱ ἀγῶνες Ἀθηναίων, πρὶν τὸ θέατρον οἰκοδομηθῆναι

†ἐπιλησμονείη· ἐπιλαθείη [50]

ἐπιλίγδην (P 599)· [ad 51] (ὅσον) ἐπιψαῦσαι, ἐπιξύσαι, ἐφάψασθαι ἐξ ἐπιπολῆς. ἐπιγράβδην, ἐξ ἐπιγραφῆς

Ἐπιλίμνιος· Ποσειδῶν ⟨—μένιος?⟩

†ἐπιλίημι· ἐπιτρέπω

ἐπιλινᾶν· ἐπιπορεύεσθαι τὰ ἑστῶτα λινὰ καὶ ἐπιβλέπειν

ἐπιλιπές· ἐλλιπές

ἐπιλίτραις· τὸ μέσον τοῦ ζυγοῦ

ἐπιλλίζουσα· καταμωκωμένη (Nic. Th. 163)

ἐπιλλίζουσι (σ 11)· διανεύουσιν. ἐγκελεύονται

ἔπιλλοι· οἱ †πολλοί

ἔπιλλος· παράστραβος, ἡσυχῇ διάστροφος· παρὰ τοὺς ἰλλούς, οἵ εἰσιν οἱ ὀφθαλμοί· (I 180) ‚δενδίλλων ἐς ἕκαστον'

ἐπιλοβίς· μέρος τοῦ ἥπατος

ἐπὶ Λύκ(ε)ιον· ἀρχεῖον τοῦ πολεμάρχου Ἀθήνησιν [63. 64]

ἐπιλυσαμένη· ἐλευθερία [ad 65] [66]

ἐπιλώγεον· τὸ †μέγα ἄχυρον ⟨2254 et λώγη⟩

ἐπιμαίεσθαι· ἐπιζητεῖν. ἐπιλαμβάνεσθαι. ἐπιψαύειν

ἐπίμαλθα· ἀγαθά. προσηνῆ. ἢ μαλακά. ἢ ἀσθενῆ λίαν [70]

ἐπιμασσάμενος (ι 302)· ἐφαψάμενος, ψηλαφήσας

ἐπιμάσσεται· ἐπαύξεται ἐπὶ πλέον, ἀπὸ τοῦ μάσσονος, ὅ ἐστι μακροτέρου [ad 72]

COD. 19 ἔργῳ 22 ἐπίκτιτον — εἰ ἀνελθών 23—26 = 26. 24. 23. 25 24 ἐπικτόριον 26 ἐπικυκλίδιος 27 ἐπικύς 35 ἐπιλεᾶν 39 ἐπιμαλεσο| 48 ἔχων μέγα Post 50] 57. 58 ἐπιλι| 51 ὅσον ἐξ ἐπιπ| ⟨53 ἐπὶ δ' ἵημι? cf. 4628⟩ ⟨58 ἐπὶ λίτραις accus. aeolic.⟩ 61 ἐπιβολίς 59. 60. 61 = 61. 59. 60 60 ἔπιλλο, παράστραμος 62 ἐπιλύκιον 66 Ἀθηνῆθεν 68 ἐπιμάλθα

HES. 21 ἐπικτέρεα (Ω 38)· ἐντάφια 38 ἐπιλείψει (Hebr. XI 32)· καταλείψει 41 ἐπιλελησμένη (Ies. XXIII 16)· ἐπιλανθανομένη 50 ἐπιλήσονται (Η 452)· ἐπιλανθάνονται Ad 51: ἐπιράνδην ἐπιδρομῆς (cf. ἐπαΐγδην) 63 ἐπιλύγεον· ἐπινέφελον, σκοτεινόν ⟨ἐπη—⟩ 64 ἐπιλύς· ξένος ⟨ἔπη—⟩ Ad 65: καὶ μία τῶν Εἰλειθυιῶν. καὶ ἐπώνυμον Δήμητρος, παρὰ Ταραντίνοις καὶ Συρακουσίοις ⟨cf Ἐλευθώ⟩ 66 ἐπὶ Λ(ε)ιψυδρίῳ μάχῃ· οἱ φυγάδες Ἀθήνηθεν, (ὧν) οἱ Ἀλκμαιωνίδαι ἡγοῦντο, κατιέναι θέλοντες, πολλάκις ἔπταιον, καὶ Λ(ε)ιψύδριον τειχίσαντες (χωρίον ὑπὲρ Πάρνηθος, ἐπολέμουν Πεισιστρατείδαις) 70 ἐπιμάσταχα (δ 287 ψ 76)· τὸ στόμα. ἐν τῇ Ὀδυσσείᾳ Ad 72: οἱ δὲ ἐφάψεται, ψηλαφήσει (Δ 190)

ἢ οἷον οὐ λιμώσ(σ)ει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω. Σοφοκλῆς Αἰχμαλώτισιν (fr. 52)

ἐπίμαστον (υ 377)· ἐπαίτην, ἐπιζητοῦντα τροφήν. [ad 73] ἐνδεᾶ τῶν ἀναγκαίων [ ]

ἐπίμαστον κακόν· ἐπισπαστόν, ἐφειλκυσμένον. δεινόν

ἐπίμαστος· ἐπίληπτος. ὀχληρός. † δραπέτης. † ποιεινός, τροφὴν ἐπιζητῶν, ἐνδεής [76. 77]

ἐπιμαχία (sch. Thuc. I 44)· ἡ τοῖς ἀμυνομένοις βοήθεια

ἐπίμαχοι· ἐπίκουροι, βοηθοί

ἐπίμαχον χωρίον (Thuc. IV 31), ᾧ οὐ δύναταί τις προσιέναι μαχόμενος

ἐπιμέλεια· σπουδή [82]

ἐπιμελείας οἶκος· ἔνθα τὰ δημόσια ἔγγραφα ἔκειτο

ἐπιμελῶς· συνεχῶς. σπουδαίως [85]

ἐπιμερής· ἀριθμὸς οὕτω λέγεται, ὅταν ὁ μείζων τοῦ ἐλάττονος ὑπερέχῃ μέρει τινί ⟨cf. ἐπιμόριος⟩

ἐπίμερος μοιχεύεται (Ionice)

ἐπίμεστα· πλήρη, τουτέστιν ἐπὶ κεφαλῆς, καὶ μὴ ἀπεψημένα. Φερεκράτης (fr. XXXIV p. 530)· βριθομένης ἀγαθῶν ἐπίμεστα τραπέζης [89]

ἐπιμετρίδα· τὸ ἐπίμετρον, ὃ προσάπτεται τῷ χιτῶνι ⟨χοίνικι?⟩ [91]

ἐπιμηλίς· πόρπη. καὶ ἀπίου γένος

ἐπιμήνιοι· οἱ ἱεροποιοί. Ἐκαλεῖτο δὲ καὶ θυσία τις ἐπιμήνια, ἡ κατὰ μῆνα τῇ τουμηνίᾳ συντελουμένη ⟨2288⟩ [94. 95]

ἐπιμίξ (Δ 525)· ἀναμεμιγμένως

ἐπίμονοι· κάτοχοι [98]

ἐπιμόριος· ἀριθμὸς ὑπερέχων ἑτέρου μέρει

ἐπίμορτος· σπόριμος γῆ. [ἡ] ἐπιμεριστή. λέγεται οὕτω καὶ ὁ (ἐπὶ) μέρει ἐργαζόμενος. **Μορτὴ** γὰρ τὸ μέρος ἐκαλεῖτο καὶ ἑκτήμοροι οἱ τὸ ἕκτον τελοῦντες

ἐπιμορφάζονται· σχηματίζονται [5001]

ἐπιμοχθῆσαι (Callim. Dian. 61)· σὺν μόχθῳ ἐπιπονῆσαι

(ἐπιμύζει· ἐπιστενάζει, ἐπιγογγύζει) cf. 4578

ἐπιμυλίδας· ἐπιγονατίδας

ἐπίμυξις· στεναγμός

ἐπιμύσας· καμμύσας. κλείσας [7]

ἐπινάξαι· ἐπιπακτῶσαι

ἐπίνακτον· τὸν ἐπιδιδόμενον ἔξωθε ναύτην

ἐπινειμάτω· ἐπαναγνώτω

(ἐπίνειον Thuc. I 30· προσορμιστήριον, τόπος παραθαλάσσιος) cf. 4583

ἐπινείσεται (Callim. Iov. 13?)· ἐπελεύσεται

ἐπινέμησις· ἐπιμερισμός

ἐπινέναξαι· (......

........·) τέτρωται, συντέτριπται τὰς φρένας

ἐπινενύχθαι· παραφρονεῖν

ἐπινενυγμένον· τὸ ἐπίτριπτον ⟨—νυχ—⟩ [17—19]

ἐπὶ νέωτα· εἰς ἕτερον ἔτος

† ἐπινήαται· ἐφέλκεται

ἐπινήιον (Herod. VI 116)· μικρὸς λιμὴν καὶ αἱ περὶ αὐτὸν στοαί

ἐπίνητρον· ἐφ' ᾧ τὴν κρόκην τρίβουσιν

ἐπινίκιον· νικητήριον. βασιλέως σύμβολον

ἐπίνοια· ἐπιτήδευμα

ἐπινομίς· ἐν τοῖς ναυτικοῖς λέγεται

ἐπίνομοι· κληρονόμοι ⟨C. I. II p. 23, 37⟩

† ἐπινυκτίς· φυλακὴ δοκοῦντι ἀδικεῖν

ἐ†πινύσκειν (Callim. Dian. 152)· διδάσκειν

ἐπίνυσεν (Ξ 249)· ἐσωφρόνισεν

ἐπιξενοῦμαι (Aesch. Ag. 1320)· ξενοδοκοῦμαι. ἐπιμαρτύρομαι

† ἐπίξενος· ἐπιχθόνιος

ἐπιξενοῦσθαι· μαρτύρεσθαι. πορεύεσθαι. Σοφοκλῆς Ἀχαιῶν Συλλόγῳ καὶ Αἰσχύλος Κρήσ(σ)αις (fr. 115)

ἐπίξηνον· ξύλον, ἐφ' οὗ τὰ κρέα τιθέντες ἔκοπτον, οἷον τὸ κρεωκόπον ξύλον(. καὶ τὸ παρ' ἐνίοις ἐπικόπανον)

COD. 77 αἰχμαλώτησιν 88 ἀπηγμένα — βριθομένων — ἐπὶ τρ| ⟨89 ἐπιμύξας?⟩ 90 ᾧ 93 ἐπίμηνον, οἱ — τις. ἐπιμηνία ⟨v. ἱεροποιοί⟩ 98 μόρον Cyr. Dr. 99 μέρους 5004 ἐπιμύλας, ἐπιγυνατίας 9 ἐπίνακτιν ⟨—άκτην?⟩ ἐξωναύτην 12 ἐπινέμεσις 20 τρίτον 22—24 = 23. 24. 22 22 ἐπίνιον — λιμὴν λίμναι — παρ' αὐταῖς 28 ἐπινεκτίς 31 ἐπιξενοδόκευμαι· ἐπιμ| 34 ἐπίξεινον — κρεόκοπτον

HES. 82 † ἐπιμελύξαι· δοῦναι ⟨ἐπιβλὺξ δοῦναι?⟩ 85 ἐπιμέμφεται (Α 65. 93)· ἐγκαλεῖ. ἐπιδεῖται. ἐπαιτιᾶται 89 ἐπιμάξας· ἐπισπάσας ⟨4972⟩ 91 ἐπιμηδεακήρει (Π 120)· τὰ βουλεύματα ἐπικόπτει. ἢ τὰ ἔργα ἐπιτέμνει χειρί 94 ἐπίμηρον (Genes. L 23)· .... 95 ἐπιμίλεια καὶ δώσω (I 147)· τὰ ἀπόθετα χρήματα ⟨4982⟩ 98 ἐπὶ μοῖραν· ἐπὶ θάνατον ⟨4866⟩ 5001 ἐπίμοχθον· ἐπίπονον (Sapient. XV 7 Greg. Naz. C. LVIII 71 p. 45 Dr.) 7 ἐπιμωρέων· ἀδικουμένοις ἐβοήθουν ⟨ἐτιμώρεον⟩ 17 ἐπινεφρίδιον (Φ 204)· τὸ ἐπὶ τῶν νεφρῶν λίπος 18 ἐπὶ νῆας (Α 12)· ἐπὶ τὰς ναῦς 19 ἐπὶ νηόν (Α 39)· ἀπὸ τὸν ναόν

†ἐπιξενοδίκη· ἡ συνηγορία, καὶ ἡττηθεὶς ἀπόλλυται

ἐπίξομεν (Megaric.)· ἐφήξομεν

ἐπίξυλον· τὸ ἐπὶ παραστροφίδα τοῦ ὑφαινομένου ἱματίου ⟨cf. ἐπιδούριτον⟩ [38]

ἐπὶ ξυροῦ· ἐπὶ κινδύνου (K 173 Aesch. Cho. 883). ἢ ἐπὶ τοῦ ὀξυτάτου, ἢ ἀκροτάτου [40]

Ἐπίορα· χωρίου μέρος ἐν Σικελίᾳ

†ἐπιοραντές· τερπνόν. ἁρπαλέον

ἐπιορκία· ψεῦ(σ)μα

ἐπίορκον· ὅρκον (Ar. Ran. 150) μὴ φροντίζοντα

†ἐπιορεξάμενος· ἐπιδών

ἐπιόσσομαι· ἐφορῶ. προσαγορεύω. ἐπισημαίνομαι [47]

ἐπίουροι· ἐπίσκοποι. καὶ ἧλοι ξύλινοι ⟨4903⟩

ἐπίουρος (ν 405 ο 39)· εἰ μὲν προπερισπωμένως περισσὴ ἡ πρόθεσις· οὖρος γὰρ ὁ φύλαξ. εἰ δὲ προπαροξυτόνως πάλιν ὁ φύλαξ, ἀπὸ ξυλίνου ἐπιούρου [50]

ἐπιοψάμενος· ἐπιδών. ἐπιλέξας

ἐπιόψονται· προχειρίσονται. προΐδωσιν. ἐπιλέξονται

ἐπίπαγος (Attici)· τὸ ἐπὶ τῶν ἑψομένων, ἡ γραῦς

ἐπιπαίζειν· τὸ μὴ θύειν φρατρίαν [Λάκωνες

†ἐπίπαιμα· ἐπίπταισμα, πρόσκομμα

ἐπιπαιωνίζουσα· ἀλαλάζουσα

ἐπὶ Παλλαδίῳ· δικαστήριον, ἔνθα ἐδίκαζον οἱ ἐφέται τοῖς ἀκουσίων φόνων δικαζομένοις

ἐπι(πα)ματίδα· τὴν ἐπίκληρον

ἐπιπάξ (Com. inc. LXXI Callim. fr. CCCXXVII ἐπιτάξ)· συντόμως. ἐπίτομος ὁδός, καὶ ἡ ἐπ' εὐθείας. καὶ εἰκῇ (Eur. fr. 294). ἢ ἐπὶ τὰ ἀριστερά

ἐπίπαππος· ὁ τοῦ πάππου πατήρ

ἐπὶ παρατάξεως· ἐν πολέμῳ (Thuc. V 11, 2?)

ἐπιπαστάς· ἑταίρας ἐπώνυμον

ἐπίπαστα (Ar. Eqq. 103)· τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλφιτα. οὕτως γὰρ ἤσθιον αὐτά

(ἐπίπαττορ· πλακοῦντος εἶδος) cf. 5081 [64]

ἐπίπεδον· ἐπὶ τὴν γῆν. χαμόγαιον. ἰσόπεδον [66. 67]

ἐπὶ πείρᾳ (Ar. Avv. 584 Menand. fr. II p. 101)· ἐπὶ διαπείρᾳ. ἢ ἐπὶ λῃστείᾳ καὶ πειρατικῇ βλάβῃ

†ἐπιπείρει· μοιχεύεται, ἢ μοιχεύει

ἐπιπελάνιαι (-α?)· ὀλαί. καὶ πόπανα [71]

†ἐπίπεται· φθείνει. καὶ συμπίπτει

ἐπίπετρον· εἶδος βοτάνης παρὰ Θεοφράστῳ (VII 7, 3)

ἐπίπηχυ· τῶν πηχῶν τὸ ἄνω

ἐπιπίσσειν· ἐπιπάσσειν [76. 77]

ἔπιπλα (Soph. fr. 6)· ἱμάτια γυναικεῖα. ἢ χρήματα, ἢ σκεύη, τὰ μὴ ἔγγ(ε)ια, ἀλλ' ἐπιπόλαια

†ἐπίπλαδον· φέρεσθαι [80]

ἐπίπλατορ (Lacones)· πλακοῦντος εἶδος

†ἐπιπλέγοι· ἐπόψεται ⟨v. 5051. 52⟩

ἐπιπλεῖ· ἐπιπλέει

ἐπίπλευρα· τὰ παρὰ τοῖς μαστοῖς ὑπὸ τὰς μασχάλας [85]

ἔπιπλον]· ἐπίπλοιον (Philetaer. fr. II p. 298)· ὁ πιμελώδης ὑμὴν ἐπὶ τῆς κοιλίας καὶ τῶν ἐντέρων, ἐπίπλους λεγόμενος ⟨5101⟩

ἐπιπλομένων (Hesiod. Scut. 87)· κυκλουμένων. ἐπερχομένων [88]

ἐπιπνείηται· ἐπιθυμῇ

ἐπιπνείουσι· ζῶσι. πνέουσιν (Callim. Del. 318)

ἐπιπνεῦσαι· ἐφορ†ᾶν, ἐπισκοπ†εῖν

ἐπιπνεύων· ἐπιβλέπων. Αἰολικῶς. καὶ Ἀλκαῖος (fr. 66)· ἠπουσυναγανδρωνδασμένον στρατὸν νομισμένοι πνέοισα

COD. ⟨35 ἐπὶ ξενίᾳ δ— ἐπωλεῖτο?⟩ 36 ἐπίξομεν, ὑπείξομεν Post 37 καὶ — ἐπικόπως, cf. 5034 42 ΕΠΙΘΑΛΛΠΕC? 46 ἐπιώπομαι ⟨προα—?⟩ 54 Λάκωσιν? 57 ἐπιπαλλαδεία — ἐδικάζομεν 59 ἐπίπαξ 62 ἐπιπάστας 68 ἐπιπεῖραι, ἐπιδιαπεῖραι ἢ ἐπιλῃστεῖαι — |κὴ⟩ 72 ἐπίπετε Dor. pro ἐπέπεσε? 73 ἐπίπτερον 74 ἐπιπηχῇ — τῶν ἄνω ⟨77 Fallitur. Schneidew. Beitr. 100⟩ ⟨81 ἐπίπαττορ⟩ 86 ὑμὴν 89 ἐπιθυμεῖ

HES. 38 ἐπιξυνῷ (M 422)· ἐπικοινῷ †γάρ ἐστιν τὸ ξανθόν 40 Ἔπιοι (B 619)· οἱ Ἤλιοι 47 ἐπιούρια (K 351)· οὔρια 50 ἐπιοῦσα (Prov. XXVII 1)· ἐπερχομένη ⟨cf. ἡ ἐπιοῦσα⟩ 64 ἐπίπαστον· τὸν βρόχον (Eur. Hipp. 783)· ὅταν γὰρ ἐπισπασθῇ σχοινίον, συνάγεται καὶ ἀποπνίγει 66 ἐπιπείθη (A 218)· πισθῇ 67 ἐπιπεῖν· καταλαβεῖν 71 ἐπιπελοήσει (M 168)· ἐπὶ τραχείᾳ 76 ἐπιλίσσασα· δείσασα ⟨σει—⟩. διατινάξασα 77 ἐπιπειθείη· ἀναπεισμονῆσα 80 ἐπὶ πλακός (Proverb. III 3)· ἐπὶ μνήμης πάσης 85 ἐπιπλήξειν (Ψ 580)· ἐπελθεῖν. ἐπιτιμῆσαι. ὑβρίσαι 88 ἐπιπλώσας (Γ 47)· πλεύσας

ἐπιπνοίας· ἐπιπνεούσης

ἐπίπνοι (Plat. Conviv. 181 C)· οἱ ὑπὸ θεοῦ κατεχόμενοι [95]

Ἐπιπόλα· οὕτως ἐν Λακεδαίμονι ἡ Δημήτηρ ἱδρυμένη τιμᾶται

ἐπιπολάζει· ἐπιπλέει

ἐπιπολαιοτέρων (cf. Hippocr. III p. 371 K)· τῶν μὴ βαθέων

ἐπιπολάσαντες· ἐπάνω τοῦ ὕδατος περιφερόμενοι [5100]

ἐπιπολῆς (Alexis, Thuc. VI 96, 2)· ἀνωτάτω, [ad 1] ἐπιπλέον

Ἐπιπολιαῖος· Ἑρμῆς ἐν Ῥόδῳ, ὡς Γόργων ἱστορεῖ ⟨5105. 7⟩

†ἐπιπολῃίδες ⟨—πορπίδες⟩· αἱ περόναι, αἷς αἱ γυναῖκες περονῶνται

ἐπιπόλισον· ἐποικοδόμησον

ἐπίπονον· καματηρόν. [ἢ Ζεὺς ἐν Μιλήτῳ

Ἐπιποντία· ἡ Ἀφροδίτη

ἐπιπόρπωμα ⟨—αμα?⟩· τὸ ἐπάνω τῆς πόρπης (Plat. Com. p. 617). καὶ τῶν ἱππέων ἡ τὰς χλαμύδας συνέχουσα πόρπη. [ἐπειδὴ] τῆς πόλεως

ἐπὶ ποσόν· ......

ἐπὶ πότμῳ· ἐπὶ θανάτῳ

ἐπιπρηνές· ἐπικάτω κα(τε)στραμμένον

ἐπιπρηνής· ἐπὶ στόμα. λοξός. ἐπικλινὴς ἐπ' ὄψιν

ἐπιπρητήν· αἰγὸς ἡλικία

ἐπιπρίων· τοὺς ὀδόντας τρίζων [14]

ἐπίπροικος· ἐπὶ προικὶ ἐκδοθεῖσα

ἐπίπροικα· τὸ δεύτερον ἐπὶ προικὶ δῶρον [17]

ἐπιπροσθεῖ· ἀντιπ(ίπτ)ει [19]

ἐπιπρώρους· τὰς μὴ κατὰ πρύμναν προσεσχηκυίας

ἐπιπτάρ(ν)υμαι· μετακαλῶ. κατέχω. ἐπισχετικὸν γὰρ ὁ πταρμὸς πολλάκις [22]

ἐπιπτύξαι· ἐπερεῖσαι

Ἐπιπυργῖτις· ἡ Ἀθηνᾶ οὕτως ἐν Ἀβδήροις ἐκαλεῖτο [25]

†ἐπίρεγμα· ἐπιθυμία

†ἐπιρέκων· ἐπισπεύδων [28]

Ἐπιρνύτιος· Ζεὺς ἐν Κρήτῃ

ἐπιρρέξαι (Theocr. XXV 97)· ἐπιθῦσαι. ἐπαγαγεῖν [31]

(......)· ἐμβριθεστέρα

ἐπιρρεπής· ......

ἐπίρρημα· ποιημάτιον τετράμετρον

ἐπιρρήματα· οὕτω προσαγορεύεται τὰ μετὰ τὴν παράβασιν τασσόμενα τετράμετρα, ὑπὸ τοῦ χοροῦ λεγόμενα μηδέποτε τοῦ ἑξῆς μέλους ἐπεληλυθότος. ἄλλοι δὲ ἐπῴδια μεταξὺ τῶν χορικῶν μελῶν ἰαμβεῖα βραχέως ἐπιλεγόμενα καὶ ἐφύμνια

†ἐπιρρήξας· ἐπαγαγών [36]

ἐπιρρήσσει· ἐπικλείει

ἐπιρρήσ.εσκον (Ω 454)· ἐπε(σ)πῶντο. ἐπεβάλλοντο. ἐπέκλειον μεθ' ὁρμῆς

ἐπίρρησις (Archil. fr. 40)· ψόγος [40]

ἐπίρρητα (Callim. fr. CXX?)· ἐπίτακτα

ἐπίρρητον· ἐπίψογον. αἰσχρόν

ἐπιρρήτως· ἐπὶ κακῷ λεγόμενος, ἐπ' αἰσχρότητι [44]

ἐπιρροήν· ἐπίρροιαν ὑδάτων

ἐπιρροίζειν· ἐπισίζειν. ἐπισεύειν. ἐπεγκελεύειν

ἐπιρρόθησαν (Eur. Hec. 553)· ἐπήχησαν, ἐπεβόησαν

ἐπιρρόθητα· ἐπίψογα

ἐπίρροθος· ἰσχυρός. ἐπίκουρος. βοηθός (Δ 390)

ἐπιρρόχανον· ἀπόμακτρον ⟨v. ῥόχανον⟩

ἐπὶ ῥροπῆς· ἐπὶ μικροῦ

ἐπιρρύσασα· ἐπιθεμένη (Soph. OT. 1244?) †. ἐπιστάξασα

ἐπιρρωγολογοῦσι· καλαμωμένοις τὸν ἀμπελῶνα

ἐπιρρωννύς· ἐπισχυρῶν, ἐκ τῆς ῥώσεως ἢ ῥώμης

ἐπιρρώννυσιν· ἰσχυροποιεῖ

ἐπίρρωσις· βεβαίωσις. διόρθωσις. ὑγεία

COD. 94 ἐπιπνοι 96 ἐπιπολλά 98 ἐπιπολαιω| ⟨5100 Com. V p. 83⟩ 3 περώνονται 8 ἐπίποσον 9 ἐπίποτμα 13 ἐπιπρήων ⟨30 cf. ἐπιβρέξαι, ἐπιρρῆξαι⟩ 34 ἐπιληλ| ἴαμβια 39 ἐπίρρεσις 41 ἐπίρρηται, ἐπικάτακτα 50 ἐπιρρόγανον ⟨52 ἐπιρρύξασα· ἐπιστίξασα?⟩ 53 καλαυῶμοι 54 ἐπισχύων 57 ἐπιρρυμίζει

HES. 95 ἐπιποθῶ (Rom. I 11)· ἐπιθυμῶ 5100 ἐπιπόλαιον· τὸν ἐπίπλουν ὑμένα ⟨5086⟩ Ad 1: ἐπάνω ⟨Moeris⟩ 14 ἐπιπροῆλθεν (Δ 627)· ἐξέτεινε. παρέθηκεν 17 ἐπακούῃ· ἐπικαλοῦ (λ 108: ἐπὶ Ἡλίου?) 19 ἐπιπρύμνεισιν (Ν 762)· ἐπὶ ἄκραις 22 ἐπιπτέσθαι (Δ 126)· ἐπιπτῆναι 25 ἐπιπωλεῖται (Γ 196)· ἐπιπορεύεται 28 ἐπιρέξεσκον
κ
(ρ 211)· ἐπετίθεσαν. ἔθυον 31 ἐπιρρεπεῖ· ἐπιβαρεῖ (Ξ 99). ἐπικρατεῖ. ἐπιστῇ. ἐπικρέμηται 36 ἐπιρρηγμίνῃ (Δ 437)· ἐπὶ τῷ αἰγιαλῷ 40 ἐπιρρήσσεσκοντο (Ω 454)· ἐπά(κ)τουν. ἐπέκλειον 44 ἐπιρριείσκοντο (Ω 454)· ἔπραττον ⟨ἔφραττον⟩

ἐπιρυσμίζει· διατυποῖ. ἐπανορθοῦται
ἐπιρύσμιον ⟨—σιμον?⟩· ἐπι(ρ)ρέον
ἐπιρύζειν κύνας (cf. Ar. Vesp. 705)· ἐπαφιέναι. καὶ παρορμᾶν
ἐπὶ ῥώπια· ἐπ' εὐτελῆ
† ἐπιρρωσθῆναι· ἐπιθέσθαι. ἐπισωθῆναι ⟨ad ῥυσθῆναι?⟩. ἐπείγεσθαι [62]
† ἐπισαλονήεξ· ἐπικενουμένη
ἐπίσαμον (Eur. Phoen. 805?)· λευκόν
ἐπισαχθής ⟨—είς?⟩. χρεωφειλέτης
ἐπισείειν· ἐκφοβεῖν. ἀνατείνεσθαι
ἐπισειούσης· ἐπικελευομένης, ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων. Σοφοκλῆς Ἀχαιῶν Συλλόγῳ (fr. 151)
ἐπίσειον (Archiloch. fr. 139)· [ad 68] τὸ αἰδοῖον ἀνδρός τε καὶ γυναικός
ἐπίσειστος· εἶδος κουρᾶς (Poll. IV 146)
† ἐπισέπτυλον· ἐπίταξον
ἐπισέληνα (Plat. com. p. 674)· πόπανα μηνοειδῆ
ἐπίσημα· τὰ ἐπὶ προσώπῳ σημεῖα· ἢ εὔφωνα. ἢ εὔμορφα ⟨v. ἄσημα⟩
ἐπίσημος· ἐπιφανής ⟨v. διαφανής⟩. ἔνδοξος. προφανέστερος [74]
ἐπισθ(μ)ιον· σκέπασμα περὶ τὸν τράχηλον
ἐπίσιγμα· ἐπεγκέλευ(σ)μα κυσίν [77. 78]
ἐπισινές· βλαβερόν
ἐπισινής· ἀσθενής
† ἐπισίνιος· ἐπίβουλος
ἐπισῖξαι (cf. Ar. Vesp. 704)· ἐφορμῆσαι
ἐπισίξας· ἐπαφεὶς ἐπὶ ὁρμήν [ad 83]
ἐπισίτιος (Eubul. fr. I p. 216)· ὁ τροφῆς χάριν ἐργαζόμενος
ἐπισιτισμόν (Dem. 280, 11)· ἐφοδιασμόν
ἐπισίττειν (Boeot.?)· κυνηγετικῶς παρορμᾶν
ἐπίσιφλον· αἰσχρόν. μωμητόν
ἐπισκαλμίς· τὸ ὑπὸ τῷ σκαλμῷ σανίδιον (Poll. I 87)
ἐπισκαφεύς· ὁ μετὰ τὸν ἀροτῆρα ἐπισκάπτων

ἐπισκάφεια· ἑορτὴ παρὰ Ῥοδίοις
ἐπὶ σκέλος· εἰς τὰ ὀπίσω
ἐπισκέπτει· ἐπιβλέπει, ἐφορᾷ [93]
ἐπίσκηνα· ἑορτὴ ἐν Λακεδαίμονι
ἐπισκήνιον· τὸ ἐπὶ τῆς σκηνῆς καταγώγιον
ἐπισκήπτει· σημειοῦται. μέμφεται. προνοεῖται. ἐντέλλεται. ἐπιτιμᾷ
ἐπισκηπτέτω· ἐπιμεμφέσθω
ἐπισκήπτω (Soph. OT. 252)· ἐπαρῶμαι. καὶ ἐνερείδω τὴν γνώμην, ἐπισκηρίπτω
ἐπισκήψασθαι· ἐπιβαρῆσαι
ἐπισκηψάμενον· ἐπισημειωσάμενον
ἐπισκιασμόν· κάλυμμα
ἐπίσκο(ι)ος· ἐπίσκοτος
ἐπίσκοπα (Herod. III 35)· τυγχάνοντα τοῦ σκοποῦ [4]
ἐπίσκοπος· βασιλεύς. ἐπήκοος [ad 5] [6—8]
ἐπισκύνιον (P 136)· τὸ ἐπάνω τῶν ὀφθαλμῶν ὀφρύδιον, ἢ τὸ μεσόφρυον
ἐπίσκυρος· ὁ μετὰ πολλῶν σφαιρισμός. καὶ ἄρχων, βραβευτής. βοηθός. ἐπίσκοπος, ἔφορος, ἐπήκοος (Callim. fr. CCXXXI) [11]
ἐπισμῇ (Ar. Thesm. 396 Cratin. p. 71)· ἐπιτρίβει, ἐπὶ τοῦ σμήχειν ἢ τρίβειν ἢ πλύνειν· λοιδορεῖ, πλήττει· σμῶξαι γὰρ τὸ πατάξαι· ἔνθεν σμῶδιξ αἱματόεσσα (B 277)
ἐπι(σ)μυγερῶς (γ 195)· ἐπιπόνως
ἐπισμυκτόν (Cyprii —ύν?)· ἐπιμυκτηρισμόν [15. 16]
ἐπισπάσει· ἐπιτεύξεται. Σοφοκλῆς (fr. 138) Ἀτρεῖ ἢ Μυκηναίαις, ἀπὸ τῶν τοῖς λίνοις λαμβανόντων [18]
ἐπίσπαστον (σ 73)· αὐθαίρετον, ὅπερ ἑαυτῷ τις ἐπισπᾶται κακόν [20. 21]
ἐπίσπαστρον (Eur. Hipp. 723?)· βρόχον
ἐπὶ σπεῖρα· σχοινίον τὸ ἀναγκαιότατον. ἐν γὰρ χειμῶσι τοῖς σχοινίοις πιστεύουσι. δηλοῖ οὖν τοὺς ἀναγκαίους φίλους
ἐπισπέρχειν· (Soph. El. 467)· ἐπείγειν

COD. 59 ἐπιρύξειν 60 ἐπιρρώπια, ἐπιτελῆ 67 |λέντων 76 ἐπίσηγμα 86 ἐπισιττεῖν 87 ἐπισίφλιον 90 |φια 604 |μονίοις 5202 ἐπίσκοος, ἐπίσκοπος 9 ἐπισκήνιον 10 σκαρισμός 12 |ώεσσα 15 ἀνθερετινον 18 Μυκήναις ἐπὶ 23 ἐπισπεῖραι

HES. 62 ἐπίσακτον· ἀλλότριον ⟨v. ἐπεισ—⟩ Ad 68: ἐφήβαιον. καὶ ⟨Moeris⟩ 74 ἐπισθέντες· ἐπιχαρέντες ⟨cf. ἐπησθέντες⟩ 77 ἐπισίδιον· ἐπισιτιζόμενον 78 ἔπισιν· ἐπέρχεται (N 482). ἐπιτρέχει. ἐπινικᾷ Ad 83: ἢ ἐπιστάξας ⟨Moeris⟩ 93 ἐπισκευασάμενοι (Act. Ap. XXI 15)· εὐτρεπισθέντες 5204 ἐπισκοπή (LXX)· ἐκδίκησις Ad 5: φύλαξ (Ω 729). ἐπόπτης (θ 163). κατάσκοπος (K 342) 6 ἐπισκύζονται (I 370)· ὀργίζονται 7 ἐπισκυκλεῖν· εἰσφέρειν. συνάπτειν 8 ἐπισκυκλίσας· συνάξας 11 ἐπισμηγεῖν· ἐπικόπτειν. ἐπικωλύειν ⟨ἐπιτμ—⟩ 15 ἐπίσομαι (Δ 367)· ἐπελεύσομαι 16 ἐπὶ σοί (E 244)· κατὰ σοῦ 18 ἐπισπάσθω (I Cor. VII 18)· ἑλκυνέτω τὸ δέρμα 20 ἐπισπᾶται 21 ἔπισπε (δ 642)· εἰπέ

ἐπισπέρχουσαι· ἐπισπεύδουσαι. ἐπειγόμεναι

ἐπισπερχῶς (Xen. KII IV 1, 2)· μετὰ σπουδῆς

ἐπισπέσθαι (Ξ 521)· ἐπακολουθῆσαι

ἐπισπομένη· ἐπακολουθοῦσα [29]

ἐπίσπορα (Theophr. VII 1, 2)· τὰ λάχανα

ἐπισ(σ)α· ὕστερον γενομένη. νεωτέρα

ἐπισσεύσας (ξ 399)· ἐφορμήσας

ἐπισσεύουσα· παρακελεύουσα

ἐπισσον· τὸ ὕστερον γενόμενον

† *ἐπίσσου*· ἐφομήσας ⟨—σοῦ· ἐφόρμησαι⟩

† *ἐπίσοχον*· ἀκόλουθον

ἐπισσυτέρη· ὁρμητικωτέρα. ταχεῖα. (συν)τομωτέρα

ἐπίσσωτρα (Ε 725)· τὰ ἐπικείμενα τοῖς τροχοῖς σιδήρια, ἐπὶ τὴν γῆν σοούμενα

ἐπισταδόν (μ 392)· ἐφεστῶτες. ἢ ἐφιστάμενοι ἐμπείρως. ἢ κατὰ τάξιν ἑστῶτες [40]

ἐπισταθμ(ε)ία· ὑποδοχὴ ξένων

ἐπίσταμαι (υ 207 Soph. fr. 803)· δύναμαι. οἴομαι [43]

ἐπισταμένως· ἐμπείρως. δυνατῶς. ἐπιστημόνως (Π 317), συνετῶς [45]

ἐπίστασις· γνῶσις. ἢ μέρος τι τῆς νεώς

ἐπιστατέον· ἐπανοδευτέον. γνωστέον

ἐπιστάτῃ (ρ 455)· μεταίτῃ. ἀπὸ τοῦ *ἐφίστασθαι τῇ τραπέζῃ*

ἐπιστατήρ· τὸ στόμα τῆς νεώς

ἐπιστατῆρες· ἀγορανόμοι. καὶ οἱ τῶν πλοίων *νομεῖς* ⟨q. v.⟩

Ἐπιστατήριος· Ζεὺς ἐν Κρήτῃ

ἐπιστάτης· ἐφέτης ἢ ἐπαίτης, ἀπὸ τοῦ *ἐφίστασθαι*. ἢ ἐπίτροπος. ἢ διδάσκαλος (Antiph. Com. fr. LXXXI). καὶ ὁ τακτικός (Aelian. c. 5). καὶ ὁ βραβευτής (Xen. Lac. VIII 4). καὶ ἄρχων τις Ἀθήνησι (Demosth. 696, 4). καὶ ὁ ἐφεστηκώς

ἐπιστῇ· ἐφιστῇ

ἐπιστείβοντες· πατοῦντες

ἐπιστελεῖ· [ad 55] πέμψει

ἐπιστέφει· κεραννύει. οἰκοδομεῖ

ἐπιστεφέας οἴνοιο (Θ 232)· ἐπεστεφανωμένους

ἐπιστεφές· πλῆρες κεκραμένον

ἐπίστῃ· εἰδῇς [60]

ἐπίστημα· στήλη (sepulcralis)

ἐπιστήμης· γνώσεως

ἐπιστημονικώτατος· ἀκριβής. εἰσηγητής. ὑφηγητής

ἐπιστήμων (Xen. An. II 1, 6)· σοφός

ἐπιστῆναι· φανῆναι † ἐπικήδει

ἐπίστηται (Π 243)· γινώσκηται

ἐπιστίγματα· ἐπικελεύσματα. Σοφοκλῆς Ἀθάμαντι (fr. 8). ἐπιστάλματα

ἐπιστίξαι· ἐφορμῆσαι [69]

ἐπίστιον (Herod. V 72. 73)· οἴκημα. κατάλυμα [71]

ἐπιστολαί· ἐντολαί, ἐπι[σ]ταγαί. Αἰσχύλος Προμηθεῖ (3). διαγράμματα. καὶ ἐπιστάλσεις

ἐπιστομίζων· φιμῶν. ἐλέγχων

ἐπιστιχθεῖσαν· παρασημειωθεῖσαν † ἀγμή

† *ἐπίστρα*· τὰ ἀποπίπτοντα τῶν πεμμάτων. καὶ ἕρματα

ἐπὶ στράβης ὄχημ' ἀκινδύνως φέρων (trag. inc. fr. 170) [77. 78]

ἐπιστρέφομαι· πλανῶμαι. φροντίδα ποιοῦμαι [80]

ἐπιστροφαί· διατριβαί. δίαιται. Αἰσχύλος Φρυξίν (fr. 265)

ἐπιστροφίς· τρίχες συνεστραμμέναι. ἢ ὅταν ἡ ὀσφὺς ᾖ στρεβλή [83]

† *ἐπιστυνιής*· ἐπισυνιής. ἢ ἐπιμελητής

ἐπισυρόμενοι· προκυλινδούμενοι [86. 87]

ἐπισφαλής· βλαβερός. ἐπικίνδυνος

ἐπίσφατον· ἐπιμωμητόν. ἢ † συνομιλητόν. ἢ ἐπὶ κακῷ ὠνομασμένον

COD. 25 *ἐπει*| 28 |*ωμένη* |εῖσα 53 *ἐπιστεῖ*, ἐφιστεῖ 55 *ἐπιστείλει* 57 οἴνῳ ἐπι| 58 κρεμάμενον 59 οἶδες 66 γινώσκεται 67 *ἐπιστήγματα* — ἐπισκαλάματα 68 *ἐπιστῆξαι* 70 κόλυμα ⟨72 schol. Plat. p. 463⟩ 73 *φιμόνων*, cf. φιμοῖ 74 *ἐπιστη*| 75 *ἐπίστρατα*, ἀπ| 76 .πιστράβ..χημα 78 ἢ μὴ ⟨82 Eustath. 1561, 38⟩

HES. 29 *ἐπίσπῃ* (Β 359 al.)· ἐπισπάσηται. πληρώσῃ. καταλάβῃ 40 *ἐπισταδόν* (σ 425)· ἐφεστηκώς. [ἢ προστασία.] ἢ κατὰ τὸ ἑξῆς 43 *ἐπιστάμεθα* (Ν 223)· δυνάμεθα 45 *ἐπιστασίαν* (Greg. Naz. Arc. VI 24 p. 204)· προστασίαν. παραμονήν Ad 55: [μέμψει. ἢ] 60 *ἐπίστηθι* (gl. sacr.)· γνῶθι 69 *ἐπίστιχας* (Γ 113)· κατὰ τάξεις. ἢ κατὰ τὸ ἑξῆς 71 *ἐπιστόδιον* (ζ 265)· ἐποίκιον 77 *ἐπιστρατόν* (Hom.)· ἐπιστρατιάν 78 *ἐπιστροφάδην* (Κ 483) ἐπιστρεφόμενος ἰσχυρῶς. ἢ μετὰ ἐπιστροφῆς τοῦ σώματος, οἷον ἐπεστραμμένως. καὶ ἐνεργῶς 80 *ἐπίστροφος* (α 177 θ 163)· ἐπιστροφὴν ποιούμενος, καὶ φροντίζων. ἢ εἰς ἑαυτὸν ἐπιστρέφων τοὺς ἀνθρώπους. ἢ ἐπιμελητής 83 *ἐπιστύξῃ*· ἐπαφῇ ⟨ἐπιστίξῃ pro ἐπισίξῃ⟩ 86 *ἐπισύστητε* (Ierem. XX 10)· συνάχθητε 87 *ἐπιστώθη* (Ps. LXXVII 8)· ἐπείσθη. ἐπληροφορήθη

ἐπισφελίτης· ὁ θρανίτης· σφέλας γὰρ τὸ ταπεινὸν διφρίον, τὸ ὑποπόδιον. τοιοῦτος δὲ καὶ ὁ θρᾶνος, ἔχει δὲ τὴν ἄνω ἕδραν [91]
ἐπισφραγίζω· σφραγίζω
ἐπισφύρια (Γ 331 al.)· τὰ καλύπτοντα τὰ σφυρά [94. 95]
?ἐπίσχεο· ἐπέχου
?ἐπίσχες
ἐπισχεδόν· σύνεγγυς. (ἀγχοῦ h. Apoll. 3)
ἐπισχερώ (Λ 667 al.)· ἐφεξῆς, κατὰ τὸ ἑξῆς
ἐπισχεσίη (φ 71)· πρόφασις [5301. 2]
ἐπισχύρους (Cretice)· ἐπικούρους [4. 5]
ἔπιτα (Boeoti)· εἶθ' οὕτως. ἢ μετὰ ταῦτα
ἐπιτάδηος· ὁ ἐραστής (C. I. 1840, 3. 2060, 21) [8]
[ad 8] τοῖς ἐπιτηδείοις
†ἐπίταλον· πολυχρόνιον
ἐπιταλαιπωρεῖν (Thuc. I 123)· ἐπικάμνειν. ἢ ἐπιπονεῖν
ἐπὶ τὰ Μανδραβούλου· [ad 11]
(ἐπιτάξ· συντόμως — ἀριστερά) cf. 5059
†ἐπιταξίδις· σιδηραῖ τινες, ὡς ἄγκυραι
ἐπιτάρροθος (Ε 808 al.)· ἰσχυρός. βοηθός, σύμμαχος
ἐπὶ τὰ πρόσω· ἐπὶ τὰ ἔμπροσθεν ⟨v. τὰ πρ.⟩
ἐπίταρχον· ἐπιτάφιον [16—20]
ἐπιτεθυ(μ)μένων (cf. Plat. Phaedr. p. 280 A)· ἐκκεκαυμένων [22]
ἐπιτεῖναι· μεγαλῦναι, μακρῦναι
ἐπιτείνεται (Nic. Th. 325)· ἐπὶ τῷ ὄντι πλεονάζει, ἢ αὔξει, ἢ εἰς ἐπίδοσιν ἄγεται
ἐπιτειχίζουσιν· ἐποικοδομοῦσιν
ἐπιτεχταντῆρες· οἱ παρασκευασταί
ἐπιτέλλει· ἐντέλλεται. ἐπέρχεται
ἐπιτέλλειν· ἐντέλλεσθαι [29]
ἐπιτελέωμα (Lycurgus)· τὸ ἐπὶ θυσίᾳ γινόμενον
ἐπιτελεῶσαι· ὅπερ νῦν ἀφιερῶσαι λέγομεν
?ἐπιτελείωσις· αὔξησις
†ἐπίτερα· ἐκπιάσματα ἐλαιῶν
†ἐπιτέρεναι· εἶδος ἄρτων
ἐπιτέρμιον· ἐπὶ τοῦ τέρματος, οἷον ἐπὶ τοῦ τέλους
Ἐπιτέρμιος· Ἑρμῆς
ἐπιτετανύσθαι· ἡπλῶσθαι ⟨v. περιτετάσθαι⟩ [38]
ἐπιτετράφαται (Β 25)· ἐπιτετραμμένοι εἰσίν
ἐπιτέταται· αὔξει (λ 19?)
ἐπιτέτατο· ηὔξανεν. ἤκμαζεν (Ο 413?)
ἐπιτέτροφεν· ἐπιπέπηγεν (ψ 237?) [43]
ἐπίτευγμα· ἐπιτυχία
†ἐπίτευκται· ἐν ἐπιτυχίᾳ ἔστω
ἐπιτευξόμενος· ἐπιτυχών
ἐπιτεχνήσεως (Thuc. I 71, 3)· μηχανῆς
ἐπίτηδες (Thuc. III 112, 4)· ἑκούσιον. ἐπιμελές. ὀξυτόνως δὲ καὶ ἐπιτηδείους (Α 142)
ἐπιτήδειον· ἕτοιμον. ὠφέλιμον
ἐπιτήδειος (Thuc. IV 78)· ὁ φίλος· ἀνεπιτήδειος ὁ ἐχθρός
ἐπιτηδείως (e. c. Thuc. I 19)· ἐπιμελῶς. ἁρμοδίως
ἐπιτήδευμα· ἐπίνοια. ἔργον (Xen. Cyn. II 2), ποίημα
ἐπὶ τῇ ἐμῇ αἰτίᾳ· ὃ νῦν τῷ ἐμῷ κινδύνῳ
(ἐπιτιθασσεύοντες· ἡμεροῦντες) 5389)
ἐπιτιμᾷ· τιμωρεῖται. ἢ τὴν τιμὴν αὔξει
ἐπιτιμή(τορ)α· βοηθόν (cf. Aesch. Suppl. 42). τιμωρόν [56]
ἐπιτίμιον· [ad 57] τιμωρία (Antipho)
ἐπίτιμον (Dem. 534, 15)· πλούσιον. τιμωρόν. τιμητόν
ἐπιτμήγειν· ἐπιτέμνεσθαι. σπεύδειν
ἐπίτονος (μ 423)· δέρμα, ᾧ κατησφάλισται τὸ ἱστίον τῆς νεώς [61. 62]

COD. 97 ἐπίσχες, ἄγχου 99 cf. ἰσχερῷ 5303 cf. ἐπισκύρους ⟨6 ἔπιτα Cyr. Brem.⟩ ἔπειτα 7 |διος 10 ἐπικαμύειν 11 ἐπιταμυναβούλου — μανδρὸς βούλου 26 ἐπιτεχν| 39 |φανται 44 ἐπίτδμα ⟨ἐπίτεγμα Cyr. Br.⟩ 46 corr. ex. περιτευξόμενος 60 cf. περιτόνεον. τὸν ἱστὸν

HES. 91 ἐπισφοραῖς· δῶρα, ξένια. καταδίκαι ⟨v. ἐπεισφ| et ἐπιφ—⟩ 94 ἐπισφρήσας· ἐπ(ε)ισενεγκών ⟨v. ἐπεισ—⟩ 95 ἐπισχεῖν (Ρ 465)· κρατεῖν. ἢ κωλύειν 5301 ἐπισχοίης (Ξ 241)· ἐπιβάλοι(ς) 2 ἐπισχόμενον (χ 15)· κατασχολαζόμενον ⟨—στοχ—⟩ 4 ἐπισχών (Ι 489)· προσάγων 6 ἐπίσωτρα (Ε 725)· ἡ ἔξω τοῦ τροχοῦ ἐπιφάνεια ⟨v. ὀπ— et σωστρεύματα⟩ Ad 8: ἐπὶ τὰ κανά ⟨5317⟩· Ad 11: παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον τρεπομένων, ἀπὸ Μανδραβούλου τινός 16 ἐπίταυρον· ἰσχυρόν ⟨4683⟩ 17 ἐπὶ τὰ χείρονα· ἐπὶ τὰ κακά (Λ 576) 18 ἐπιτελής· ὡραία γαμεῖσθαι 19 ἐπιτεῖλαι (Δ 64)· ἐντείλεσθαι 20 ἐπίτειλον (Ω 112)· ἔντειλον, ἐπίταξον, πρόσταξον 22 ἐπιτειμήτωρ (ι 270)· ἔκδικος, τιμωρός 29 ἐπιτέλλεο (Λ 295)· ἐντέλλου 38 ἐπιτέτραπται (Ε 750)· ἐπ' ἐξουσίας ἐστίν 43 ἐπιτετυφωμένον· ἐπικεκαυμένον ⟨Moer.⟩ 56 ἐπίτειλον (Ω 112)· παράγγειλον Ad 57: πρόστιμον ⟨Moer. p. 150⟩ 61 ἐπὶ τὸ αὐτό (Act. Ap. II 1 non Thuc. VII 101, 1)· ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον 62 ἐπιτοθάζει· κολακεύει. χλευάζει, ἐπιγελᾷ ⟨ἐπιτω—⟩

ἐπιτολή· ἀνατολὴ ἄστρου, ἢ †φανερώσεως

ἐπὶ τοῦ ἐνεστῶτος· ἐπὶ τοῦ παρόντος, ἢ τοῦ ἐνισταμένου

ἐπὶ τούτοις· πρὸς τούτοις

ἐπιτραπεζώματα (Plat. Com. p. 641)· τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα

ἐπιτραπεζίδιος· ὁ παράσιτος [68]

ἐπιτρέχων· συντόμως

ἐπιτρέψαι (φ 279 χ 289)· ἐπιτροπὴν δοῦναι [ad 70]

ἐπιτρίβεται· ἐπιφέρεται

ἐπιτριβόμενοι· ἐπαιρόμενοι

ἐπιτρίμ(μ)ατα· †κοιλίσματα [74. 75]

ἐπιτροπάδην· ἐπιθέτως. οὐκ ἐκ ψυχῆς [ad 76]

ἐπιτροπή· †ἔφοδος

ἐπίτροπος (Thuc. II 80, 6)· ὁ προστατῶν χωρίων καὶ ὅλης τῆς οὐσίας καὶ ὀρφανῶν [79]

ἐπιτρόχαλον· πυκνῶς. καὶ ταχέως

ἐπίτροχον· ῥᾴδιον. ἕτοιμον. γοργόν ⟨onom.⟩

ἐπιτρύζουσιν· ἐπιγογγύζουσιν. ἐπιλέγουσιν

†ἐπιτρύσσειν· ἐπίμεινον. Λάκωνες

ἐπιτυφῇ (Ar. Lys. 221. 22)· ἐπικαῇ. ἐπιπυρωθῇ

ἐπιτύφω· ἐπαπολύω. Συρακούσιοι

ἐπιτυφῶσαι· ἐπιπυριάσασα ⟨—ᾶσαι⟩

ἐπιτυχόντων· εὐτελῶν

ἐπὶ τῷ δήμῳ (Ar. Eqq. 236)· ἐπὶ τῇ τοῦ δήμου καταλύσει

⟨ἐπιτωθάζει· κολακεύει χλευάζει ἐπεγγελᾷ⟩ cf. 5362

ἐπιτωθάζοντες· χλευάζοντες ⟨cf. ἐπιθω—⟩, ἐπεγγελῶντες [ad 89]

ἐπὶ Φαληνίου (Ar. fr. XIII p. 1161)· τὸν Ἀλκιβιάδην φησὶν ὁ Ἀριστοφάνης ἐπὶ Φαληνίου γεγενῆσθαι, σκώπτων παρὰ τὸν φάλητα· ἐπασχητία γὰρ [ὁ φαλῆς]

ἐπιφάμεναι συγκαταθέσθαι· ....

†ἐπίφατος· ὁ πρὸς εὐμορφίαν φαινόμενος. ἐπιθέτης

ἐπιφάτνιος· ὁ ἑωσφόρος ἀστήρ [94. 95]

ἐπιφερομένους· ὡρμηκότας

ἐπιφέρει· προσήκει

ἐπιφέρεται· ἀλαζονεύει ⟨v. περιφ—⟩

ἐπιφημητῆρες· οἱ εὐφημοῦντες. ἢ ἐπιφωνοῦντες. ἢ συγκατατιθέμενοι

ἐπιφημίζουσα· εὐφημουμένη. ἐπιφημιζομένη

ἐπιφημίσμασιν (Thuc. VII 75)· οἰωνίσμασιν [5402. 3]

ἐπιφοιτᾷ (Herod. II 73)· παραγίνεται

ἐπιφοιτήσεως· ἐπελεύσεως. παρουσίας

ἐπιφοράς· καταδίκας ⟨v. ἐπισφ—⟩

ἐπιφορήματα (Aristoph. CLXIV)· τραγήματα μετὰ τὸ δεῖπνον

ἐπιφόρινα· ἐπίδερμα

ἐπίφορον· τὴν φέρουσαν †σύγγονον Λάκωνες καὶ †ἀμπέλου ὄνομα

ἐπίφορος· τοῦ τεκεῖν ἐγγὺς οὖσα

ἐπιφράγματα· τὰ ὑπὸ τὸ στόμα ⟨ἐπιστόμια?⟩

ἐπιφραδέστερον· †συντομώτερον. συνετώτερον [13]

ἐπιφράσασθαι (Herod. I 48 V 9)· ὑπονοῆσαι. ἢ ἐπινοῆσαι

ἐπιφράδμων· ψευδολόγος

ἐπίφρενα· ὑποχόνδρια [17]

ἐπίφρονα (π 242)· φρόνιμον, συνετόν [19]

ἐπιφροσύνη (ε 437?)· σωφροσύνη. ἐπιλογισμός

ἐπίφρων· φρόνιμος

ἐπιφυέσθω· βλαστησάτω

ἐπιφυ(λ)λίς (Ar. Ran. 92)· βοτρύδιον μικρόν, ἐπὶ τέλει βλαστάνον

ἐπιφύοιντο· ἐπιγίνοιντο

ἐπιφωνεῖ· βοᾷ, κράζει

†ἐπιχαλᾶ· τὴν τὸ κανοῦν φέρουσαν εἰς τὰς θυσίας †θεραπαίνας

ἐπιχαλκῖται· ὁπλῖται

COD. 67 |είδιος 72 ἐπερόμενοι 76 ἐπιτροπάδες 83 cf. εὐτρόσσεσθαι 85 |υφῶ 89 ἐπιγελ| 90 ἐπιφαλινίου — ἀρίσταρχος ἐπὶ φαλινίου — περὶ τὸν σφάλητα — γὰρ ὁ φαλῆς 99 ἐπιφημητέρες 5408 ἐπιφόριμα, ἐπὶ δέρμα 23 βοτρίδιον — ἐπιτέλει |νων

HES. 68 ἐπιτραφερήν (Ξ 308)· ἐπὶ τὴν ξηρὰν γῆν Ad 70: ἢ ἀπολέσαι ⟨ἐπιτρῖψαι⟩ 74 ἐπιτριμμοί (Σ 211)· ἀλλεπάλληλοι 75 ἐπιτρέψεις (Ps. XCII 3 gl.)· συντρίψεις. συντελέσεις Ad 76: ἐπεσπευσμένως (79) 79 ἐπιτροχάδη(ν) (Γ 213)· ταχέως Ad 89: ἢ ἡμεροῦντες (ad ἐπιτιθασσεύοντες) 94 ἐπιφαύσκοντα (Iob. XXXI 26)· ἀνατέλλοντα, φαίνοντα 95 ἐπιφημισμοῖς· ὀδυρμοῖς 5402 ἐπ' ἰφθίμῳ (Γ 336)· ἐπὶ τῇ ἰσχυρᾷ 3 ἐπιφλέγει (Β 455)· ἐπικαίει 13 ἐπιφρασαίμεθα (Ν 741)· σκεψαίμεθα 17 ἐπὶ φρεσί· σὺν ταῖς διανοίαις 19 ἐπιφρονεύουσιν (α 351)· ἐπακούουσιν

ἐπίχαλκον· τὸ στόμα τῶν αὐλῶν, διὰ τὴν φορβειάν, οἱονεὶ ἐπιστομίδα

ἐπίχαλκος ἀσπίς (Ar. Vespp. 18)· ἔχει γὰρ χαλκῆν τὴν ἐπιβολήν· ἔνιαι δὲ βόειαί εἰσιν

ἐπὶ Χαριξένης (Cratin. fr. IX p. 98)· (ἐπεὶ) ἐπὶ μωρίαις ἡ Χαριξένη διεβεβόητο, ἀρχαία οὖσα αὐλητρίς· ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν ἐρωτικῶν λέγουσιν. Ἔστι δὲ καὶ παροιμία οἷα τὰ ἐπὶ Χαριξένης

ἐπίχαρις· ἡ παρὰ Ἀττικοῖς ἅβρα

ἐπίχαρμα· [ad 32] ὁ ἐπίχαρτος (Posidipp. fr. XVII p. 528) [33]

ἐπιχατέες· ἐνδεεῖς

ἐπίχειρα· τὰ ὑπὲρ τὸν μισθὸν διδόμενα τοῖς χειροτέχναις [36]

ἐπιχειρεῖ· τολμᾷ [38. 39]

†ἐπιχερία· χάριν ἐπιφέρουσα

ἐπιχητία (Cretice?)· ἐνδεῆ

†ἐπιχιλάδιον· τὸ χιλιοστόν

ἐπιχιλές·. [ad 43]

ἐπιχιλοῦντες· πληροῦντες ⟨v. περιχ—⟩

ἐπίχνουν (Hippocr. I p. 329 K)· ἐπεσκοτισμένον

†ἐπιχθεῖσθαι· βεβαιοῦσθαι [47]

ἐπιχόα· κατάχυσις

†ἐπίχρονος· ἐπίχαρτος

ἐπιχρίσας· περιχέας

ἐπίχριστοι· αἱ ἐπιχριόμεναι

ἐπιχρῶ· χρίω ⟨v. ἐγχρώσας⟩

ἐπίχυσις· κονίασις

ἐπίχυτον (Nicoph. fr. II p. 852)· εἶδος πέμματος, καὶ νομίσματος ἐξ ἀργύρου ἢ μολύβδου κεχυμένον

ἐπιχώνια· κάρυα

ἐπιχώρησον· ὑπάγ(αγ)ε. μείωσον

ἐπιχώρια (Ar. Ach. 522)· συκοφαντικά. εἰς τοῦτο γὰρ Ἀθηναῖοι κωμῳδοῦνται [58—60]

ἐπιψαῦσαι· ἐφάψασθαι

ἐπιψαύσῃ (θ 547)· ἐπιθίγῃ, ἅψηται

ἐπιψίσει· ἐπιψιεῖ. ἐπιψωμιεῖ

ἐπιψηφιεῖται·

ἐπιψηφιζόμενος· ἐπικρίνων. (ψῆφον παρέχων καὶ νίκην)

ἐπιωγαί (ε 404)· οἱ ἀνειμένοι τόποι καὶ ἀλίμενοι, ὑπαγωγὰς δὲ ἔχοντες καὶ ὑποσκέπην καὶ καταγωγάς

ἐπιωγάς· ἀνειμένοι τόποι, ἐφ' οὓς δύναται ἡ ναῦς ἐπέρχεσθαι [68]

ἐπλάγχθην (cf. Aesch. Sept. 784)· ἐπλανήθη

ἐπλαζόμην· ἐπλανώμην

ἐπλάδα· κατέδευεν

ἐπλακίζετο· τὰς κοιλίας εἶλεν ⟨v. πλάκας⟩

ἐπλατάγησεν· ἐψόφησεν, ἔνθεν τὸ πλαταγώνιον παίγνιον ξύλινον, ᾧ ψοφοῦσιν

ἔπλει· ἐπορεύετο [75]

ἔπλετο (Β 480)· ἐγένετο. ἠνύετο. ὑπῆρχεν (Κ 531) [77]

ἐπλήγην· ἐμάνην [79. 80]

ἐπλινθεύθησαν· οἱ αἰχμάλωτοι πλίνθους ἐβάσταζον, ἕως τοῦ λύτρα εἰσενεγκεῖν [82—84]

ἐπόγδοον· τόνος μουσικός

ἐπόγκιαι· αἱ τοῦ πλοίου παραθῆκαι [87—89]

Ἐποικιδία· Δημήτηρ ἐν Κορίνθῳ

ἐποικτίσας (Soph. O.C. 1473)· οἰκτείρας [92]

ἐποίνασεν ⟨ἀποι—⟩· λύτρον ἀπέδοτο. ποινὴν ἔλαβε τοῦ νεκροῦ [94]

ἐποισθήσεται· ἐπενεχθήσεται

ἐ ποιπνύοντα (inc. epic.)· ἐνεργοῦντα

ἐποίχεται· ἐπ[ο]ιπορεύεται. ἐργάζεται [98]

ἐποιχόμεναι· διακονοῦσαι. ἐπιπορευόμεναι. ἐργαζόμεναι. ὑφαίνουσαι. αἱ γὰρ ἡρωΐδες ὀρθαὶ ὕφαινον

ἐποιχνεῖ· ἐπιφοιτᾷ

COD. 30 ἡ Χ. διαβ| 31 ἅβρα 34 ἐπιχαταί 41 ἐνδεής 43 cf. 4730 45 ἐπιχνοῦν 56 ἐπιχώρισον 61 ἐφαύσασθαι 63 ἐπιψίση Post 64] ψῆφον — νίκην 66 καὶ ἄμμενοι 69 ἐπλαγγέην 70 ἐπλανόμην 79 ἐπλήνετο 90 ἐποικιδίη

HES. Ad 32: χάρμα, ᾧ τινι χαίρει τις (Sirac. XVIII 31). καὶ ὁ 33 ἐπιχαίρειν (Ar. Pac. 1015. 1311)· συγχαίρειν 36 ἐπεχείρεον (ω 385)· ἐπετίθεσαν 38 ἐπίχειρον· ἀνταπόδοσις ⟨cf. φίχειρον h. e. τοὐπίχειρον⟩ 39 ἐπιχειρενομοῦντες (Philo II p. 371, 41)· ταῖς χερσὶν ὡς νόμοις ξρώμενοις ⟨sic⟩ Ad 43: τὸ ἐλλιπές ⟨4957⟩ 47 ἐπὶ χθονί (Α 88)· ἐπὶ γῇ 58 ἐπὶ χώρας (Exod. XIV 27)· ἐπὶ τόπου 59 ἐπιχωρεῖ· ἐπιγειτνιᾷ 60 ἐπιψάμοις (Α 486)· ἐπὶ ταῖς παραθαλασσίαις ψάμμοις 68 ἐπιών (Σ 546)· ἐπιπορευόμενος 75 ἔπλεο (Α 418)· ἐγένου 77 ἔπλευ (Ι 54)· ἐγένου 79 ἔπληνετο (Δ 449)· ἐπλησίαζον, ἤγγιζον 80 ἐπλήσθη (Υ 156)· ἐγεμίσθη 82 ἐπνύθη· ἠγέρθη. ἀνεβίωσεν ⟨2492. 2931⟩ 83 ἔπνυτο (Χ 475)· ἐφρόνησεν 84 ἐποβελία (Plat. Legg. XI 921 D)· τόκος ⟨ἐπω—⟩ 87 ἔποι· λόγοι 88 ἐποίθετο· ἠρώτα 89 ἐποιθόμην· ἠρώτων. ἐμάνθανον 92 ἐποιμνέον (Σ 421)· διηκόνουν. ἐπορεύοντο. ἐθεράπευον. ἐνήργουν 94 ἐποίσει (Α 89)· ἐπενέγκαι ⟨—κῃ⟩ 98 ἔποιτο (Γ 255)· ἀκολουθείη

ἐποκεῖλαι· ἐπὶ τὸ ξηρὸν ἐλθεῖν
ἔπολμις· εἶδος μάντεως ⟨3251⟩ [5502]
ἐπολολύζει· θρηνεῖ [4]
ἑπόμενοι· ἀκολουθοῦντες [6]
ἔποπος· ὄρνεον
ἐπόπται· θεαταί [9]
Ἐπόπτης· Ζεύς. ἢ θεατής [11]
†ἐπορβεῖται· φθονεῖ [13. 14]
ἐπ' ὀργῇ· ἐπὶ τρόπῳ
ἐπορεξάμενος (Ε 335)· ἐφορμήσας. ἐπελθών. ἐπιλαβόμενος
†ἐπόρησεν (Soph. El. 1267)· διεπέρασεν
ἐπόρθμευεν· ἔπλεεν [19]
ἐπορθ(ρ)εῦσαι· ἐπαγρυπ(ν)ῆσαι [21. 22]
ἐπορσύνετο· ἡτοιμάζετο
ἔπος· ῥῆμα, λόγος. φωνή [25]
ἐποσσύμενος· προσορώμενος
ἐποστρακίζειν· ὀστράκοις παίζειν
ἐ ποτούδιξε· κατέβαλεν ἐπὶ γῆν ....
ἐπ' ὅτευ (Herod. IV 45)· διατί. ἢ ἐπὶ τίνος [30]
ἕπου (Aesch. Eum. 142)· ἀκολούθει
ἐπ' οὖδας· ἐπὶ τὸ ἔδαφος
ἐπουδαῖοι· ἐπιχθόνιοι [34]
ἐπούρισας (sch. Eur. Andr. 601)· ἐφορμήσας
ἐπούρισεν· ὥρμησεν. ἐπέπεμψεν
ἔπουρος· εἶδος ἰχθύος [38]
ἐπούσῃ· πονουμένῃ. φοιτώσῃ [ad 39] [40]
ἐπουτίς· οὐσία ⟨θυ—⟩ παρὰ Ῥοδίοις
ἐποφρύδιον· μέτωπον
ἔποχοι· οἱ ἐπὶ τῶν ὀχημάτων διαβαίνοντες [44. 45]
ἔποχος (Xen. ΚΠ I 4, 4)· ὁ ἐπὶ τοῦ ὀχήματος
ἐποχούμενος· βασταζόμενος
ἔποψ· ἐπόπτης. δυνάστης. καὶ εἶδος ὀρνέου
Ἐπόψιος· Ζεύς. καὶ Ἀπόλλων
ἐπόψομαι· θεωρήσω (non Ps. CXVII 7) [51]
ἔπραθεν· ἐπόρθησεν ⟨v. πραθεῖν⟩
ἐπράνισε ⟨—ωσε⟩· κατέβαλεν
ἔπρασεν· ἐπραγματεύετο
ἐπρέσβευε (Herod. VII 2)· †πρεσβύτατος ἦν [56]
⟨ἔπρησας⟩· ἐφύσησας. ἐκύρτωσας [57. 58]
ἐπρυτάνευεν· διῴκει
ἔπρωσεν· ἐμοίρασεν
ἑπταβόειον (Η 220)· ἑπτάβυρσον
ἑπταγράμματα· τὸ ὀργίλον. ἢ σκληρόν. καὶ Σάραπιν ⟨Artemid. V 26⟩
†ἑπτάγρυτο· ἐπτάρνυτο
ἑπτάενον (Callimachi?)· ἑπταετῆ
ἐπταικότα· πεσόντα ⟨v. πταίει⟩
ἐπταικώς· σφαλείς. ἢ πεπτωκώς
ἐπτακέναι· κεκρυφέναι
ἑπταπόδην (Ο 729)· τηλικοῦτον τῷ μεγέθει, ἑπτὰ ποδῶν, ἔσχατον [69]
ἑπτάπους σκιά (Aristoph. fr. inc. CIX)· τοῖς ποσὶ κατεμέτρουν τὰς σκιάς, ἐξ ὧν τὰς ὥρας ἐγίνωσκον
ἑπτάστομον (Eur. Phoen. 287 Soph. fr. 778)· ἑπτάπυλον
ἔπτατο (Π 469?)· διεφορήθη. ἠφανίσθη
ἑπτάτονος (Trag.)· ἑπτάχορδος
ἕπταχα (ξ 434)· εἰς ἑπτὰ μέρη
ἑπτάχορδα· παλαιὰ μέλη δι' ἑπταχόρδου ᾀδόμενα
ἑπτάπεκτος· ἡ βαθείας τρίχας ἔχουσα [77]
ἐπτερύγη· ἀνέπτη
†ἐπτερύξατο· προσετρίψατο

COD. 5500 ἐποκίλαι — ξυρόν ⟨1 EM. 344, 37⟩ 7 ἔποτος ⟨sch. Ar. Av. 58⟩ 15 ἐπόργῃ, ἐπιτρόπῳ 16 περιελθών 26 ἐπισσόμενος 28 ἐποτούδιξε 29 ἐπότευ 35 ἐφορμήσας 36 ἀπέπεμψεν ⟨41 cf. ὑπόθευτον⟩ 42 ἐποφρυδῶν, μετώπων 53 |ωσε ⟨—ιξε?⟩ Post 55] 5580 ἔπρηξεν 62 Σαράπην, cf. γράμμαθ' ἑπτά 66 ἐπτωκώς 75 δεπτάχορδον ᾀδόμενα 76 ἐπταπέκτιος 78 |ύγει ⟨79 Ad τερύσκομαι?⟩

HES. 5502 ἐπολυώρησας (Ps. XI 9)· πολὺ ἐφύλαξας 4 ἐπόλια (Β 474)· αἰγίδια 6 ἐποπίζε⟨ο ε 146⟩· ἐντρέπου. ἐπιστρέφου. κατασκεύαζε. φυλάσσου 9 ἐποπτεύοι ⟨ὑπο—⟩· ὑπολάβοι. νομίζοι 11 ἐποπτήσαντες (I Petr. III 2)· θεωρήσαντες 13 ἐπ' ὄρει (Greg. Naz. C. I 2 p. 31)· ἐπὶ τῷ ὄρει 14 ἔπορεν (Ζ 168)· ἔδωκεν, ἐχαρίσατο 19 ἐπόρθουν· κατέσκαπτον (Δ 308). ἐδίωκον (Galat. I 13) 21 ἐπόρκιον (Γ 279)· ἐπορκίσει, ἐπιορκία 22 ἔπορσον (Ε 765)· ἐφορμῆσαι ποίησον 25 ἐποστέφας ἐκ τ' ὀνόμαζε· τόν τε λόγον εἶπε καὶ τὰ μέρη αὐτοῦ διεξείη 30 ἐποτρύνει· παροξύνει (Υ 171). παρορμᾷ (Ζ 439) 34 ἐπ' οὔρει (Greg. Naz. I 2 p. 31)· ἐπὶ τῷ ὄρει 38 ἔπ ρυσεν· ἐπ' εὐθείας ἤγαγεν ἤπερ οὖσαν ⟨ἐπίθυσεν⟩ Ad 39 ποιουμένῃ 40 ἕπουσιν (Ο 555)· ἐνεργοῦσιν. ἀκολουθοῦσιν 44 ἐποχωτέρα· ἐπιμονωτέρα 45 ἐπόχεται· ἐπιπορεύεται ⟨εποί—⟩ 51 ἐποσίνεσθαι ⟨ἐπὶ τὸ σ—⟩· ἐπὶ τὸ βλάπτειν 56 ἔπρηξας (Σ 357)· ἐτέλεσας, ἐπλήρωσας 57 ἐπρατο (Prov. XXXI 16)· ἠγόραζεν 58 ἔπρησεν (Θ 217)· ἔκαυσεν 69 Ἑπτάπορος (Μ 20)· ποταμὸς ἐν Τροίᾳ 77 ἐπτέρνισεν (Genes. XXVII 36)· ἐσκέλισεν

ἔπτηξεν· ἔπεσεν, ἐκρύβη ⟨v. πτήσσων⟩ [81]
ἔπτης· [ad 82] [83]
ἐπτόημαι· πεφόβημαι [85]
ἐπτόκασεν (Salaminii)· ἐκάλυψεν
ἔπτυσκλυ (Boeoti)· ἀνδρεῖον ὑπόδημα
ἐπτύσσοντο (N 134)· ἐκραδαίνοντο [89]
ἐπύκασεν (Sapph. fr. 96 Ahr.)· ἐνεκάλυψεν
ἐπυλλίοις (Ar. Ran.)· στίχοις
ἐπυστιᾶτο· ἐπυνθάνετο
ἐπῳάζουσι (Cratin. fr. II p. 82)· νεοττευουσιν. ἐπὶ τοῖς ᾠοῖς βοῶσιν
(ἐπωβελία· τόκος) cf. ἐποβ—
ἐπωβελία· παραβόλιον τῆς δίκης. ἔστι δὲ τὸ ἀκόλουθον τῷ τῆς καταδίκης τιμήματι ὄφλημα, ὡς Δίδυμος, τὸ ἕκτον μέρος τοῦ τιμήματος· οἱ δὲ τὸ † ιϛ'
ἐπῳδός· ἡ ἐπᾴδουσα τοῖς νοσοῦσι παισίν (.ἐπώνυμος Eur. Hec. 1272)
ἐπῴζειν· ἐπικαθῆσθαι τοῖς ᾠοῖς ⟨sp. Moer. p. 151⟩. Αἰσχύλος Νιόβῃ (fr. 152) μεταφορικῶς·
ἐφημένη
τάφον τέκνοις ἐπῳζε τοῖς τεθνηκόσιν
ἐπωμάδιον· τὸ ἐπὶ τῷ ὤμῳ [98]
ἐπωμίδα· ὡς λέντιον, ἱερατικὸν περιβόλαιον [5600]
† ἐπώνασθαι (cf. Pind. Nem. V 87)
ἐπώνυμοι (oratores)· οἱ τῶν φυλῶν ἐπώνυμοι ἥρωες, οἵπερ ἦσαν δέκα
ἔπωπα (Aesch. fr. 297)· ἀλεκτρυόνα ἄγριον
ἐπωπᾷ (Aesch. Eum. 275)· ἐφορᾷ, ἐποπτεύει
ἐπωπάζει· τὰ αὐτά
Ἐπωπετής· Ζεὺς παρὰ Ἀθηναίοις
† ἐπώπει ⟨ἔποπι?⟩· ἐπόπτῃ, ἐφορῶντι
ἐπωπίδες· ἐπίσκοποι. ἀκόλουθοι. παρὰ Λακεδαιμονίοις
Ἐπωπίς· Δημήτηρ παρὰ Σικυωνίοις [ad 9]
ἐπώρεον· ἔθαπτον (4451. 57) [11]
ἐπωρεύει· ὡραῖα συντελεῖ
ἐπωριάζειν· μεριμνᾶν
ἐπώρουσαν (Δ 472)· ἐφώρμησαν
† ἐπωρυδόν· ἐπιρρέοντος
ἐπωρύετο· ἐπένθει. ἡ φωνὴ θηρίων
ἐπωροράχαται ⟨l. ἐπορωρέχαται cf. Π 834⟩ [18]
ἐπωστρίδες· αἱ κατὰ Σάμον ταῖς γυναιξὶ τὴν δεξιὰν χεῖρα ἐπέχουσαι κατὰ τὴν ὀσφῦν
ἐπωφέλης· ὁ καλούμενος ἐφιάλτης ⟨4625⟩
(ἐπώχατο)· ἐπικεκλιμμέναι ἦσαν (M 340) [21]
ἐρᾷ εἰσπνεῖ. ἡ κοιλία. γῆ καλή, γῆ ποθεινή. ἐπιθυμεῖ [23]
ἔραδος· παρὰ τὸ ἐρίζειν. † παιδίονα. νεῖκος. συνδρομή. λοιδορία. ἀνεξικακία [25]
ἔραζε (Callim. fr. CII)· χαμᾶζε. εἰς τὴν γῆν (Π 459). χαμαί [27. 28]
ἔραμαι· ἐρῶ (Γ 446), ἐπιθυμῶ (Eur. Hipp. 219)
ἐράμενος· ἐπιθυμήσας
ἔρανα· ἐκ συνεισφορᾶς δῶρα. ἡ δόσις πολλῶν † αὐτῶν γινόμενα συμπόσια
† ἐράναι· βωμοί
ἐρανέμπολοι· οἱ ἐξ ἐράνων ἐμπολῶντες
ἐρανίζεται· συλλέγει [35]
ἐράνιον· ἐκ συνεισφορᾶς δῶρον. (ἡ ἀνταπόδοσις)
ἐραννῆς (I 527. 573)· ἐπεράστου. καλῆς. τιμίας
ἔρανον· συνεισφορά. δῶρον. εὐωχία. ἡ ἀνὰ μέρος δεῖπνον. ἡ ἐκ συμβολῆς δεῖπνον (Callim. ep. LXX 2)
ἐράνου· συλλογῆς ⟨v. ἐξ ἐράνου et δίαιτα τοὐράνου⟩ [40]
† ἐραπίδα (ἐράπεδα)· ἃ ἡμεῖς ἐλαπέδα ⟨h. e. γήπεδα⟩ [42]
† ἐραπτήρ· θηρευτής ⟨βραπτήρ⟩ [44]
ἔρας· γῆς

COD. 80 cf. 55 84 πεφόβισμαι 87 ἐπτύσκυ 90 ἐπύκλισεν 94 |ἔλεια, περι| τὸ τ. κ. τίμημά τι ὄλημα 95. 96 = 96. 95 95 cf. 5601 96 ἐφιμένη 99 ἐπωμίδια — ἱερᾶται 5603 ἀλεκτρύωνα 6 περὶ 7 ἐπόπτει ⟨15 ἐπιρρυδόν, ἐπιρρεόντως⟩ 16 ἐπορύετο, ἐπέθη 19 ἐπέχουσαν 22 Ad ἐρᾷ, ἀραιή, ἔρα ⟨ἧς τις ἐπιθυμεῖ⟩ 24 αλεξ| 30 ἔραμος ⟨Welcker. Mus. Rhen. VI p. 88. 89⟩ 36 ἡ d. post 37

HES. 81 ἔπτηξαν (Θ 190 Iob. XXXVIII 17)· ἐκρύβησαν. ἔπεσαν. ἐφοβήθησαν Ad 82 ἔπτηξαν 83 ἐπίστην· ἐξεπλάγην ⟨ἐξέστην⟩ 85 ἐπτολίσθαι· τὸ ὄργανον πρὸς συνουσίαν ⟨v. πτοιᾶσθαι⟩ 89 ἐπύθετο (P 408)· ἤκουεν. ἠρώτα. ἔμαθε. † τὸ αὐτὸ καὶ τὸ † ἐπιθμός 98 ἐπώκ(ε)ιλαν (gl. Act. Ap. XXVII 41)· ἐπανέπαυσαν 5600 ἐπ' ὤμων (A 46)· ἐπὶ τῶν ὤμων Ad 9: καὶ ἐπωτίς ⟨cf. EM. ἐπωτίδες⟩ 11 ἐπωρεῖν· πενθεῖν, κλαίειν ⟨πωρεῖν⟩ 18 ἐπωρώθησαν (Rom. XI 7)· ἐτυφλώθησαν 21 ἐπῴχετο (A 50)· ἐπορεύετο 23 ἐράσθε (Π 208)· ἐπιθυμεῖτε 25 ἐραδιούργησεν· ...... 27 ἔραζεν· ἔθαζεν. ἐποίησεν ⟨ἔρεξεν· ἔθυσεν⟩ 28 ἐραίσθη (Π 339)· ἀπώλετο. διεσκεδάσθη. διεχωρίσθη 35 ἐράνιζε (E 155)· ἀνῄρει. ἐσκύλευεν 40 ἔραζε· εἰς γῆν. χαμαί 42 ἐράπτομεν (π 379)· ἐβουλεύομεν

ἐρᾶσαι· κενῶσαι
ἐρασιχρημάτους (Xen. Mem. I 2, 5)· φιλαργύρους
ἐράσμιον (Aesch. Ag. 583)· ἐπίδοξον, ἐπέραστον, ἀγαπητόν, ἐπιθυμητόν
ἐραστής· φίλος. ἐπιθυμητής. ἢ (τὸν) παρὰ τὸν μικρὸν τοῦ ποδὸς δάκτυλον
ἐρατά· ἐραστά. [ad 50] ἐράσμια
ἐρατίζων (Λ 550 P 660)· ἐρῶν. ἐπιθυμῶν
ἐρατεινή· ἐρασμία. ἐπιθυμητή
†ἐρατεινεύειν· στρατεύεσθαι. ἢ δυσφορεῖν
Ἐρατινοί· ἔθνος ὑπεράνω Ἀράβων
ἐρατινόν (Boeoti)· ἐπέραστον. ἔνδοξον
ἐρατόν (h. Ap. 380)· ἐράσμιον. ἡδύ. ποθεινόν, ἐπιθυμητόν
ἐράτοθεν (Cyprii B 99)· ἀνεπαύσαντο
ἐραχᾶτη (Boeoti)· οἱ δεσμεύοντες
ἔραχος· τὸ δράγμα. Βοιωτοί [60]
†ἐρθει· φθέγγεται
ἔρβως (Cyprii?)· εὐρώς [63. 64]
Ἐργαῖος· ἀέριος Ζεύς (Ἐρσαῖος?)
ἔργανα (Boeoti)· ἐργαλεῖα, σκεύη χειρῶν
ἐργαλεῖον· ἐργαστήριον παρὰ Ταραντίνοις
Ἐργάνη· ὡς δαπάνη. ἐργασία. ἐργατική. †δόρυ. τεχνῖτις. ἐργάτις. παρὰ δὲ Σαμίοις ἡ Ἀθηνᾶ †ἔλεως
ἐργαστῖναι· αἱ τὸν πέπλον ὑφαίνουσαι
ἐργάται· οἱ παρ' ἡμῖν ἐργαστικοὶ παρὰ Ἀττικοῖς. τοὺς παρ' ἡμῖν ἐργάτας ἐκεῖνοι μισθωτούς
ἐργάτ(ε)ια· ἑορτὴ Ἡρακλεῖ τελουμένη παρὰ Λάκωσιν
ἐργατῖναι (Theocr. X 1)· ἐργάται [73]
ἐργάτις (Archiloch. fr. 184)· τὴν Νεοβουλείαν λέγει, ὡς παχεῖαν
ἐργατῶνες· οἱ ἐν τοῖς ἀγροῖς τόποι, ἔνθα οἱ οἰκέται κοιμῶνται, οἱ παρὰ Ἀττικοῖς ἐρχατῶνες· παρὰ δὲ Κρησὶν ἐργάτωνες (ἐργματῶναι?) οἱ ἐπὶ τῆς ταφῆς τῶν τεθνηκότων τεταγμένοι
ἔργει· κωλύει
ἔργεσθαι· κωλύεσθαι [78]
†ἐργέτην· ἐργασίαν
ἔργετος· φραγμός (v. ἔρχατος)
ἔργμασι (non Herod. V 77)· κωλύμασι. περιφράγμασιν
ἔργματα (Hesiod. Th. 823 Callim. Iov. 92)· πράγματα
ἐργνύει· κρύπτει. κατακλείει
ἐργομωκῶν· ἐμπαίζων
ἔργον· [ad 85] ὁ [δὲ] ποιητής, ὅταν ψιλῶς λέγῃ μηδενὸς συμφραζομένου ...., τὸ κατὰ γεωργίαν δηλοῖ
ἔργον· δυσχερές, δύσκολον. ἢ ποίημα
ἐργότρυς· κατάσκοπος ἔργων
ἐργύλον· στάτην. Ἴωνες
ἐργῶδες· ὀχληρόν. δύσκολον
ἐργωδέστερον· ἀκαταληπτότερον. σπουδαιότερον. ἢ πλέον τι
ἔρδε (Δ 29)· πράττε
ἔρδοι (K 503 Ar. Vesp. 1431)· πράτ(τ)οι
ἔρδειν (Hom. Soph. El. 83)· πράττειν. θύειν. πράσσειν
ἐρδόμενον· θυόμενον
ἐρδόντων· †πλουτούντων. θυόντων. τελούντων. πρασσόντων [96]
ἐρέας (ἔρεα?)· τέκνα. Θεσσαλοί [98]
ἐρέβη· ....
ἐρέβινθος (Comici)· τὸ αἰδοῖον
ἐρεβίνθινος Διόνυσος· οὐδενὸς ἄξιος. παρά τινα παροιμίαν ἐρεβίνθινος ζωμός
ἔρεβος· σκότος, ζόφος, νύξ [5702—5]
ἐρεείνω· ἐρωτῶ [7]
ἐρέεσφι· τέκνοις (5697) [9]
ἐρέθει· ἐρεθίζει, παροξύνει [11—13]
ἐρεθίζει· παροξύνει. [ad 14] λυπεῖ: μηρύεται (ἐριθεύει?)

COD. (46 recte, cf. etiam κεράσαι· ἐνῶσαι) (53 cf. ἀρατειχεύειν, ῥατιχεύειν; ἐρατειχεύειν Phot. 12, 7) 55 ἐράτινον 58 ἐραχάται 62 εὔρως 68 τέχνησις 70 ἐκείνοις (83 v. ἐριγνύειν) 90 εὔχατα] 97 cf. ἐρέεσφι

HES. Ad 50 καλά. ἐαρινά (ad ἐάρτερα). ἐπέραστα (Γ 64) 60 ἔραται (I 64)· ἐπιθυμεῖ. ἐρᾷ 63 ἔργα (Exod. XX 9)· ποτὲ μὲν τὰ περὶ τὴν ταλασιουργίαν· ποτὲ δὲ τὰ κατὰ τὴν γεωργίαν. ἢ ἐργάζει (ad ἐργᾷ) 64 ἔργαθεν (Λ 437)· ἐκώλυσεν 73 ἐργᾷ (Exod. XX 9)· ἐργάζῃ 78 ἐργεῖ...· οἱ ἐπ' ἀγρὸν οἰκέται (v. ἐρκῆται) Ad 85 διόρθωμα. στήριγμα. βάσις. ἐνώτιον. ὄχημα (omnia ad ἕρμα) 96 ἔρεσαι (α 405)· ἐρεύνα 98 ἐρεβεννή (E 659)· σκοτεινή 5702 ἔρει· ἀνιᾷ. ἀπολλύει (τείρει?) 3 ἐρέειν· ἐρωτᾶν. ζητεῖν (ad ἐρεύνειν): ἄγειν (sc. φῶς) 4 ἐρέεινεν (δ 137)· .... 5 ἐρεεινῶν (λ 233)· .... 7 ἔρεξεν (B 400)· ἔθυεν. ἔπραττεν 9 ἔρεθε (Γ 414)· ἐρέθιζε 11 ἐρεθέντα (Φ 282)· ἐν ὕδατι ἀποπνιγέντα (ἐρχθ—) 12 ἐραθέντι· ληφθέντι (αἱρεθέντι) 13 ἐρέθιζε (Λ 32 Ω 560)· παρόξυνε Ad 14 [νηρύεται]

ἐρεθισμός· παροξυσμός

Ἐρεθύμιος· ὁ Ἀπόλλων (Robigus) παρὰ Λυκίοις. καὶ ἑορτὴ Ἐρεθύμια

ἐρέθοιμι· ἐρεθίζοιμι [ad 17] [18. 19]

ἐρεῖ· λέγει. ἐρωτᾷ

ἔρειδε· συντόνως ἔσθιε (Ar. Pac. 32). ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων

ἐρείδει· ἐπιστηρίζει, ὑποστηρίζει [23. 24]

ἐρεικόμενος (Ν 441)· περι(σ)χιζόμενος [26]

ἐρείσματι· ὑποβαστακτῆρι

ἐρεῖσαι (Eur. Rh. 487)· ἐπερεῖσαι, ἐπιστηρίξαι [29—31]

Ἐρεμβοί· νομάδες ⟨ad ἔρημοι⟩. Αἰθίοπες, Ἄραβες, Ἰνδοὶ Ἀράβιοι

ἐρεμνή (Δ 167)· σκοτεινή. μέλαινα. οἱ δὲ ἐρεβεννὴ παρὰ τὸ ἔρεβος. καταπληκτική [34]

ἔρεξα (Ι 453)· ἔπραξα. ἔθυσα (δ 352) [36]

ἐρέοι· εἴποι [38—40]

ἐρεπτόμενοι (Β 776)· ἐσθίοντες. ἀπὸ τοῦ τῆς ἔρας τουτέστι τῆς γῆς ἅπτεσθαι. ἐπὶ γὰρ τῶν νεμομένων τετραπόδων τάσσεται ἡ λέξις [42. 43]

†ἐρεσιμήτρην· τὴν γεωμετρίαν

Ἐρέσιος· Ἀπόλλων [46]

ἐρεσμεῖ· καταπλεῖ

†ἐρεσμεί· κώπη

†ἐρεσμίονες· αἱ χεῖρες (Eur. Med. 4?)

π

ἐρέσ(σ)ει· [54] ἐλαύνει κώ

ἔρεσσον (ι 490)· ἤλαυνον. ἐκωπηλάτουν

ἐρεσχελεῖ· ἀηδίζει. ἀδολεσχεῖ. χλευάζει, [παίζει ⟨Moer.⟩], σκώπτει. διαμάχεται

ἐρεσχελία· φιλονεικία. φλυαρία. ἔνστασις

(ἐρεσχελοῦντες· φλυαροῦντες)

ἐρετή (Aeoles?)· ἐπιθυμητή

ἐρέταις· κωπηλάταις. † κατασκόποις

ἐρετάν (Callim. Iov. 75)· ναύτης [58]

ἐρετμόν (λ 77)· κώπη. καὶ τὸ ἀνδρεῖον αἰδοῖον

ἔρετο (Boeoti?)· ὡρμήθη ⟨v. ἔρσεο. ἔρση⟩

ἐρετμῶσαι (Eur. Med. 4)· κώπαις ὁρμῶσαι

Ἐρέτρια· πόλις

ἐρετριάζει· σκώπτει· ἢ παίζει

Ἐρετριακὸς κατάλογος· ἐπὶ Διφίλου (Ol. 84, 3) ψήφισμα ἐγράφη ἐξ Ἐρετρίας καταλέξαι ὁμήρους τοὺς τῶν πλουσιωτάτων υἱούς. τοῦτο οὖν τὸ ψήφισμα ἔχει ἐπιγραφὴν Ἐρετριακὸς κατάλογος

Ἐρετριέων ῥῶ· Ἐρετριεῖς τῷ ρ̄ κατακόρως χρῶνται

ἔρεττε τὰν νᾶν· ἤλαυνε (ἔ—) τὴν ναῦν [67. 68]

ἐρευγομένη· βράττουσα

ἔρευε· ἐρεύνα ⟨v. ἐξερεύειν⟩

ἐρεύθει (h. Apoll. 211)· ἐρυθρὸν ποιεῖ [72]

ἐρεύθεται· πίμπλαται (luna). λάμπεται

ἐρευθιῶντες· ἐρυθριῶντες

ἔρευθος (Callim. LM. 27)· ἐρύθημα. αἰδώς. ἄνθος [76]

ἐρευνᾶν· ζητεῖν

ἐρεῦσαι (Σ 329)· ἐρυθρὰν ποιῆσαι τῷ αἵματι, ἢ βρέξαι

ἐρεύσομεν· ζητήσομεν

Ἐρεχθεύς (Lycoph. 158)· Ποσειδῶν ἐν Ἀθήναις [81. 82]

ἔρεψα (ψ 193 Α 39)· ἐστεφάνωσα, ἔστεψα. ἐστέγασα. ᾠκοδόμησα. ὠρόφωσα

ἐρέψιμον· στεγάσιμον. ἢ βοσκηματῶδες χωρίον

ἐρέψομεν πρὸς αἐτόν (Ar. Av. 1110)· στεγάσομεν πρὸς αἔτωμα [86]

COD. 5716 ἐρεθυμία 20 ἐρωτῶ 21 ἐρειδὲ συντόμως ἐσθείς 32 Ἴνδιοι 37 εἴπει ⟨44 ὀρεσιμετρίην?⟩ 45 |ειος 51 ἐρέσειον 52 ἐρεσκλεῖ 57 post 66: ἐρετάνης 66 ἐρέτανεν 71 ἐρευθεῖ 83 ὀρόφησα 85 προσαιετόν — προσαέτωμα

HES. Ad 17: ἐρωτήσοιμι (λ 228) 18 ἐρέθονται (Γ 108)· κρέμονται 19 ἐρέθων (ε 83. 157)· διακόπτων. κατεπείγων. ἐπὶ τούτου καὶ ἐρεχμὸς ὁ κύαμος ὁ διακεκομμένος 23 ἔρειδε (Ν 131)· στηρίζει 24 ἔριθος· ἐρεθιστής. παροξυντικός 26 ἔροιο (Λ 610)· ἐρώτησον 29 ἐρεισάμενος· ἐπερεισθείς (Μ 457), ἐπιστηριχθείς (Θ 496) 30 ἐρεκρούων· στηρίζων 31 ἐρείομεν (Λ 62)· ζητήσομεν. ἐρωτήσομεν 34 †ἐρέμοισιν· ἀποκλείσμασιν ⟨ἔργμασιν⟩ 36 ἐρέοντο (Λ 332)· ἠρώτων 38 ἐρέουσα· ἐροῦσα, λέξουσα (Λ 419), φέρουσα. ἀγγέλλουσα (Β 49) 39 ἔρεπτα· τροφεῖα ⟨θρ—⟩ 40 ἐρεπτεῖ· τρέφει ⟨θρέπτῃ· τροφεῖ⟩ 42 ἐρεσσάμεναι (Ι 361)· κωπηλατεῖν 43 ἔρεσθαι (α 405)· πυνθάνεσθαι. ἐρωτᾶν 46 ἐρεσκίη· θρησκία ⟨θρησκηίη· θρήσκεια⟩ 58 ἐρετμαῖς ⟨οἷς⟩· κώπαις. ἐρετμαί 67 ἐρεύγεται (ε 438)· ἀναβάλλει 68 ἐρεύγετο (ι 374)· ἐβρύχετο. ἔβρυεν 72 ἐρεύξεται (Oseae XI 11)· βρύσεται 76 ἐρεύθων (Λ 394)· ἐρυθριῶν, φοινίσσων, ἐρυθραίνων 81 ἐρεχθομένη· σαλευομένη. [ἐ]λαμβανομένη. βαρυνομένη ὑπὸ τῶν ἀνέμων (Ψ 317), ταρασσομένη 82 ἐρέχθων (ε 83)· διακόπτων ⟨5719⟩ 86 ἐρέω· λέξω (Ε 816). ἀπαγγελῶ (Ν 735). σημαίνω (Ψ 326). ἐπερωτῶ

ἐρέων· μαντευσόμενος ⟨χρέων?⟩. ἐρωτήσων. ζητήσων (Apoll. lex. 76, 1) [88]

†ἔρημαι· βούλομαι, ἐρωτήσω

ἐρήμη· μονομερὴς δίκη, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν διαιτηθῇ

ἐρήμησιν· νομάσιν

Ἐρημήσιος· Ζεὺς ἐν Λέσβῳ

ἐρήμησον ⟨—ωσον⟩· ἀποσκέδασον

ἐρημία (Eur. Tro. 26)· ἡ ἐκπύρωσις [96]

ἐρημόθωκος· ἐρημο†λόγος

ἔρημον· μάταιον. καὶ τὸ πλανᾶσθαι

ἐρήμους· ἀπεριστάτους

ἐρήμους λόγους· τοὺς ἀπόρους. ματαίους

ἐρηρέδαται (Ψ 284. 329)· ἐρηρεισμέναι εἰσί

ἐρηρεῖσθαι· ἡρμόσθαι. ἠσφαλίσθαι

ἐρηρεισμένος· ἀσφαλής, πεπηγμένος

ἐρήρεισται (Tim. Locr. 97 E)· πέπηγεν καὶ ἐνήρμοσται [5805. 6]

ἐρήριπται· πέπτωκεν (cf. Ξ 15)

ἐρήρι(σ)ται (Hesiod.)· ἐρίζει [9]

ἐρήσαιο· ἐρωτήσειας

ἐρήσομαί σε (Ar. Nub. 1409)· ἐρωτήσομαί σε [12]

ἐρητύειν (B 75)· παύειν. κωλύειν. πραΰνειν. κατέχειν

ἐρήτυθεν (B 99. 211)· διακατέσχον [15]

ἐρητῦσαι· πραῦναι. ἀνακόψαι. ἀναπαῦσαι. κωλῦσαι

ἐρι· πολύ. μέγα. ἰσχυρόν

ἐριαύχενες (Λ 159)· [ad 18] γαῦροι. μεγαλαύχενες. μεγάλοι, ἀπὸ μέρους

ἐριβρεμέτης· μεγαλόψοφος, μεγαλόηχος [20]

ἐρίβοια· νύξ. καὶ μεγάλως τιμωμένη

ἐρίβρομον (Anacreo)· μεγαλόηχον [23]

ἐρίβωτος· μεγαλόψοφος [25]

ἐριγδούποισι· μεγαλοκτύποις [27]

ἐρίγηρυς· μεγαλόφωνος

ἐριγνύειν· κρύπτειν. κατακλείειν ⟨ἐργ—⟩

†ἔριγεν· ἔφριττον [31]

Ἐριδάντας· Ἡρακλῆς παρὰ Ταραντίνοις [33]

†ἐρίδεται· μανθάνει. ἐξετάζει [35. 36]

Ἐριδίμιος· Ζεὺς ἐν Ῥόδῳ [38. 39]

ἐριδμαίνουσιν (cf. Theocr. XII 31)· ἐρεθίζουσιν

ἐριδόμενος· ἐπιστηρίζων. ἐπακολουθῶν

ἐρίδων· βαστάζων

Ἐριέντης· Ἀφροδίτης ἐπώνυμον [44]

ἐριζώοισι· πάνυ ζῶσιν

ἐρίηρες· μεγάλως τιμώμενοι. ἀγαθοί. πρόθυμοι. εὐχάριστοι, [ ] μεγαλωφελεῖς [ad 46]

ἐριθάκη (Aristot. HA. V 22)· ἡ ὑπὸ τῶν μελισσῶν (....) παρατιθεμένη τροφή. καὶ τὸ ἐγκοίλιον τῶν ἰχθύων τῶν μαλακῶν. καὶ τὰ τῶν ὑῶν ἔμβρυα

ἐριθαλίς· εἶδος δένδρου

ἐριθάλλων· πολυθάλλων (cf. Simonid. fr. 64)

ἐριθαλεῖς· μεγάλως θάλλοντες

†Ἐρισαθεύς· Ἀπόλλων ἐν τῇ Ἀττικῇ

ἐριθεύις εἰκῇ (Boeoti)· ἐργάζῃ μάτην

ἐριθεύς· ὁ ἐριθακός, τὸ ὄρνεον

ἐριθηλέα (Theocr. XXV 132)· μεγάλως θάλλουσαν [55—57]

ἔριθοι (Σ 550?)· οἱ γεωργοί. παρὰ τὸ τὴν ἔραν ἐργάζεσθαι, ἥτις ἐστὶ γῆ. καταχρηστικῶς δὲ καὶ οἱ ἐριουργοί. ἢ μισθωτοί [59]

ἐρικάνην· φραγμόν ⟨v. ὀρικάνην⟩

COD. 88 δειλεί 90 διετηθῇ 5801 ἐρηρεδαπαί Post 1] καὶ ἐνήρμοσται cf. 5804 2 ἡρμόσθη ἠσφαλεῖσθαι 3. 4 legebantur post 7: ἐρηρίσθαι· πέπηγεν. ἐρηρισμένος κτλ. 14 cf. ἐράτοθεν 21 ἐριβοιανύξ 24 |λος 28 ἐριγήροις |ώνοις ⟨30 ἐρρίγειν?⟩ 32 ἐριδανάτας ⟨37 Bergk Monatsk. 68⟩ 38 cf. ἐριωδία, ἐρωδία 41 ἐριζ| ⟨43 Ἀρέντης Lycoph. 832? ἐριέντις?⟩ 45 ἐρίζωοισι 46 εὐάρμογοι. μεγαλωφελεῖν ⟨47 cf. κήρινθος⟩ 49 |αλλῶν 52 |θεύμ 54 ἐριθαλέα 58 ἱερουργοί

HES. 88 ἔρημα (E 140)· ἀφύλακτα. δειλά. οἰκτρά 96 ἐρημικῷ (Ps. CI 6)· εἰς τὰς ἐρήμους διάγοντι 5805 ἐρίηρες (Γ 378)· εὐάρμοστον 6 ἐρηρετλᾶται (Ψ 284)· ἐρηριασμένοι εἰσίν 9 ἐρίσαντες (N 109)· φιλονεικήσαντες 12 ἐρήτυε (B 164)· [παρεσκεύαζεν] 15 ἐρήτυον (B 97)· ἐπεῖχον. ἐκώλυον Ad 18 [μεγάλοι] 20 ἐριβρεμέτης (N 624)· μεγάλα βροντῶντος 23 ἐριβώλακι (Λ 155)· μεγάλῳ, βόλῳ. εὐγείῳ 25 ἐρίγδουποι (Λ 152)· μεγαλόψοφοι 27 ἐρίγδουπος (Π 411)· μεγάλους ψόφους ποιῶν, διὰ τῶν βροντῶν 31 ἔριδα (E 861)· ἔριν. μάχην 33 ἐριδαίνωσιν (Π 260)· ἐρίζωσι. φιλονεικοῦσιν 35 ἐριδήσασθαι (Ψ 792)· ἁμιλληθῆναι. φιλονεικῆσαι 36 ἔριδι (Λ 8)· φιλονεικίᾳ 38 ἐριδίαν· ἅμαξα 39 ἔριδας· τὰς ἐν οὐρανῷ ἴριδας. Ἀττικῶς ⟨v. ἐρίσκηπτα⟩ 44 ἐριζέμεναι (Λ 277 al.)· ἐρίζειν. φιλονεικεῖν Ad 46 εὐάρμοστοι (Γ 378). μεγάλως θάλλοντες 55 ἐρίθηλες (P 53)· μεγάλως καὶ καλῶς ἢ πάνυ θάλλον[τες] 56 ἐριθηλέων (E 90)· μεγάλως θαλλουσῶν 57 ἐριθῆαι (II Cor. XII 20)· ἐργασίαι. ἐρεθισμοί 59 ἐρίθοισιν (Σ 560)· ἐργάται, γεωργοί

ἐρικάς· ὁ ἐρεγμός, Κρῆτες †δὲ ἀστριμάς· λέγουσι δὲ οὕτω (Hippocr.) καὶ τὰ ἴτρια, τὰ ὑπό τινων λάγανα

ἐρικέα· φράγματα

ἐρίκει· σχίζει. πρίζει. ῥηγνύει. ἐσθίει

ἐρίκεος· φραγμοῦ

ἐρικευθές· πυθμήν

Ἐρίκη· θυγάτηρ τοῦ Ἀναύρου [67. 68]

ἐρίκη· εἶδος φυτοῦ [70]

ἐρικτόν· κοπανιστόν

ἐρικυδέα· λίαν ἔνδοξα, μεγάλως ἔνδοξα (Γ 65)

†ἐρίμη· ἔξοδος ⟨v. ἐξίσμη, ἐρμή⟩ [74]

ἐρινάδες· ὄλυνθοι (Macedones). ἢ συκαῖ.. ἄρρενες

ἐρινάζειν· συκᾶς περιάπτειν τοῖς ἐρινοῖς εἰς τελεσφορίαν

ἐρινάς· νέας βοῦς ⟨ἐαρινάς?⟩

[ad 78] ἐρινάσαι· ἀπὸ (τῶν) λεγομένων (ἐρινεῶν). οὕτω δὲ λέγεται συκῇ φέρουσα ὀλύνθους, ἐξ ὧν οἱ ψῆνες γίνονται. Ψῆνες δέ εἰσι †τὰ ἄνθη ⟨αἱ ἀνθρῆναι?⟩ τῶν ἐρινῶν. γίνονται δὲ (καὶ) ἐπὶ τῶν φοινίκων ἐρινοί

†ἐρινάσει· ἐρωτήσει. ἐρευνήσει

†ἐρίνεμος· ἄνεμος μετὰ συστροφῆς [81]

ἐρινεός· ἀγρία συκῆ [83]

ἐρινός· †θεός. ἢ σῦκον ἄρρεν (Soph. fr. 183)

ἐρινύας· τὰς ἁμαρτίας νῦν

Ἐρινύς· δαίμων καταχθόνιος. ἢ Ἀφροδίτης. ἢ εἴδωλον [87]

ἐριοῖ· ἐργάζεται

ἐριούνης (Υ 34. Θ 322)· μεγάλως ὠφελῶν, ἢ μεγάλην ὄνησιν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις παρέχων

ἐριούνιον πόρον· τὸν ὑποχθόνιον

ἐριούνιος (Υ 72)· πολυωφελής. ἀγαθός

ἐρίπει· καταβάλλει

ἐριπεῖν· καταπεσεῖν

ἔριπες· δαλοί

ἐρίπεσθαι· φθίνειν [96]

ἐρίπια (Eur. fr. 268)· σκηνώματα ἐπίπεδα. καὶ τὰ ἐπὶ τὴν ἔραν καταπεσόντα

ἐρίπιον· τὸ ἡμίπτωτον οἴκημα. ἢ πτῶμα

ἐριπίων (Aesch. Pers. 425)· πτώσεων τῶν τειχῶν

ἐρίπνας (Eur. El. 210)· ὑψηλὰ μέρη [5901. 2]

ἐρίπναι· αἱ ἀπερρωγυῖαι πέτραι

ἐρίπνη· κορυφή. ἄκρα. κρημνός

ἐρίπων· ἀνατρέπων [ad 5]

ἔρις (Apoll. 76, 18)· φιλονεικία. μάχη [7]

ἐρίσει· ὑποστηρίξει, στερεώσει: παίξει: φιλον(ε)ικήσει [9]

ἐρισθενέος (Ν 54)· μεγαλοσθενοῦς. †μεγαλοδυναμίᾳ ⟨ad ἐρισθενείᾳ?⟩

ἐρισθενές· μέγα. ἰσχυρόν [12. 13]

ἐρίσκηπ(τ)α· ἱερὰ βοτάνη, εἰς ἣν ἂν ἔρις ἐπισκήψῃ

ἐριστάφυλον· καλλιστάφυλον. πολύν. ἢ τὸν ἐξ εὐγενοῦς σταφυλῆς ἢ μεγάλης [16]

ἐρισύβη· ὁ ὡς κονιορτὸς καταχεόμενος καὶ ἀφανίζων τὸν σῖτον

ἐρισφάραγος (Pindar.?)· μεγαλαύχην. ὑψηλόφρων

ἐριταρβής· μεγάλως δειλός

ἐρίτιμον (Β 447)· ἰσχυρ†όν τετιμημένον, ἄγαν ἔντιμον, μεγαλότιμον [21]

ἐριφέας· χίμαρος

ἐριφιήματα· ἔριφοι. Λάκωνες

Ἐρίφ(ι)ος· ὁ Διόνυσος [25]

Ἐριφύλης· τῆς χρυσίῳ προδεδωκυίας τὸν ἴδιον ἄνδρα

Ἐρίφυλλον· τὸν Ἀπόλλωνα καὶ τὸν Ἑρμῆ

ἐρίφυλλος δρῦς· ἡ πλατύφυλλος. καὶ ἡ καλουμένη φελ(λ)ός

†ἔριψ· σωμάτιον

ἐρῖψαι· ἀφανίσαι. [30] καταρ(ρ)ῖψαι

COD. 61 κρῆται 65. 66 = 66. 65 73 cf. gl. δ 347 ⟨76 συκαῖς — τοὺς ἐρινούς?⟩ 92 ἐριπεῖ, καταβάλει 93 ἐρίπεια 96 φθονεῖν Post 92] 5897 ⟨5901 ὄρη?⟩ 10 |νέας 14 cf. κύπειρος 15 πολύνητον 17 κατεχόμενος 18 ὑψηλοφόρος 22 χείμαῤῥος 26 χρυσίου προσδ| 27 ἐριφύλλιον 30 ἐρίψαι

HES. 67 ἐρικνωμένον· ῥυτίδας ἔχον ⟨v. ἐρρ—⟩ 68 ἐρικόμενος (Ν 441)· σχιζόμενος 70 ἐρικτά (Levit. II 14)· σῖτος πεφρυγμένος καὶ κοπτόμενος, ὡς ἄλφι(τ)α, σχιστὰ ἄλευρα 74 ἐριμῶν (Υ 497 Ψ 775)· μεγαλοφώνων. ἢ μυκώμενος, μεγάλως μυκῶν Ad 78 [ἐρινάξαι· τὸ λεγόμενον] 81 ἔρινε (Soph. Ai. 586)· ἐρώτα ⟨an Π 31?⟩ 83 ἔρινον (ε 281)· νέφος 87 ἐρίξει (Φ 62)· κωλύσει 96 ἐριπεσοῦσα (Ε 357 al.)· πεσοῦσα 5901 ἐριποῦσα (Ε 357 al.)· καταπεσοῦσα 2 ἔριπε (Ε 68)· κατέπεσεν Ad 5: καταπεσών ⟨ad ἐριπών Ε 309⟩ 7 ἐρίσαι· πνῖξαι ⟨ἔρσαι⟩ 9 ἔρισεν· ἔπεσεν ⟨ad ἔριπεν⟩. ἤρεττεν ⟨ad ἔρεσσεν⟩ 12 ἐρίσμασιν (Theocr. XXI 12)· εἰρεσίαις 13 ἔρισμα (Δ 38)· στήριγμα 16 ἐριστήρ· μαρσίπιος, σάκκος ⟨ad δερριστήρ⟩. ἢ ἔρκτης καὶ πράκτης ⟨ad ἐρκτήρ⟩ 21 ἐρίτω· λαμβανέτω ⟨αἱρείτω⟩ 25 Ἔριφος· ὁ μικρὸς αἴξ, ὁ ἐν τῷ ἔαρι φαινόμενος, ἤγουν ὁ πρώϊμος· χίμαρος δὲ ὁ ἐν τῷ χειμῶνι margo. Ad 30: στεγάσαι ⟨ad ἐρέψαι⟩

ἐρίψιμα· πτώσιμα

† ἐριωδία· ἅμαξα (v. ἐριδίαν)

ἐριώδυνον· μεγαλώδυνον

ἐριώδων· μεγάλους ἔχων ὀδόντας

ἐριωλαί· ἀνέμων συστροφαί, αὖραι, πνοαί

ἐριώπιδος· εὐώπιδος [37]

Ἐριῶπις· μεγαλόφθαλμος. καὶ ἡ Ἀγχίσου γυνή (schol. N 429)

† ἔρκα (ἔρκος? ἕρμα?)· τεῖχος ἔπιπτεν

ἐρκάζειν· σκώπτειν

ἐρκατή (—άνη?)· φυλακή

ἔρκατος· φραγμός [43—45]

ἐρκείου Διός (χ 334 Plat. Euthyd. 302 D)· τοῦ ἀσφαλίου. ἢ τοῦ κατὰ τὴν οἰκίαν. ἔστι δὲ ἕρκειος Ζεὺς παρὰ Ἀθηναίοις (Eur. Tro. 16. Ar. fr. IV p. 1048)

ἔρκεσι· δικτύοις. Σοφοκλῆς Ἀθάμαντι β' (fr. 2)

ἔρκη· ὅπλα. Σοφοκλῆς Τρωΐλῳ (fr. 568)

ἐρκίον· κύκλος αὐλῆς (σ 102). οἰκία. τειχίδιον. στεφάνη δώματος

ἐρκῖται (Macedones)· οἱ ἐν ἀγρῷ οἰκέται

ἐρκόπεζα· τὰ † τῷ νεῶν ἔξωθεν περιτιθέμενα πρὸς τὸ μὴ ὑπερβατὰ εἶναι ἀκανθώδη ξύλα

ἔρκος· ἀσφάλεια. τεῖχος. περίβολος. περίφραγμα· ὡς τῶν ὀδόντων τὰ χείλη ἔρκος ἤγουν φραγμός ,ω' (204)

αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἔρκος
καὶ λίνον·

ἔρκει ἐνιπλήξωσιν (χ 469)

Ἐρχύνια· ἑορτὴ Δήμητρος

ἕρμα· ἔρεισμα. [ad 53] ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον, ὥστε μὴ βλέπειν, τόπον τῆς θαλάσσης· καὶ Ἀνακρέων (fr. 39)

ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι

καὶ τὸ τὴν ναῦν στηρίζον ἔρεισμα. καὶ τὸ † σκήνωμα τῆς νεώς

(ἕρμα· διόρθωμα, στήριγμα, βάσις, ἐνώτιον, • ὄχημα) cf. ἔργον

ἑρμαί· παραφυάδια δένδρων ἄχρηστα, οἷς παίζοντας ἑρμομαχεῖν λέγουσιν

(ἑρμαῖα· παίδων ἀγὼν παρὰ Συρακουσίοις schol. Plat. Lys. p. 319)

ἕρμαιον· εὕρημα, ἢ κέρδος [57]

ἕρμακες· αἱ ὕφαλοι πέτραι [ad 58]

ἕρμακον· ὄρνεον (ἐρίθακον?)

ἑρμάσαι (Hippocr. p. 808 G?)· ἐλαφρῶς περιελίξαι

ἑρμάσει· † μαλάσσει στηρίξει

ἕρματα· περιφράγματα. ὑπερείσματα (B 154). ἐνώτια, ἀπὸ τοῦ εἴρεσθαι (σ 297). καὶ ὕφαλοι πέτραι

Ἕρμειος· ἀπὸ δήμου. λέγονται γάρ τινες Ἕρμειοι τῆς Ἀκαμαντίδος φυλῆς

ἑρμεών· σωρὸς λίθων

† ἑρμή· ἔξοδος (v. ἐρίμη) [66]

† Ἕρμηνοι· Σειληνοί

Ἑρμῆς· κῆρυξ

Ἑρμῆς ἀμύητος· Ἀθήνησιν ἐν τῇ ἀκροπόλει

Ἑρμῆς (Strattis fr. I p. 771)· τὸν Ἑρμῆν ἐπὶ πόσεως ἰδέας ἔλεγον, καθάπερ Ἀγαθοῦ δαίμονος καὶ Διὸς σωτῆρος. καὶ ἐν τοῖς κλήροις· οἷον ἀγαθὸς οἰωνός. καὶ πέμματος εἶδος κηρυκ(ει)οειδές

Ἑρμῆς τρικέφαλος· Ἀριστοφάνης ἐν Τριφάλητι (fr. XI p. 1166) τοῦτο ἔφη παίζων κωμικῶς, παρόσον τετρακέφαλος Ἑρμῆς ἐν τῇ τριόδῳ τῇ (ἐν) Κεραμεικῷ ἵδρυτο

Ἑρμῆς στροφαῖος (Ar. Plut. 1154)· ὁ παρὰ στρόφιγγι τῆς θύρας ἱδρυμένος [73]

ἑρμῖνα (ψ 198)· πόδα κλίνης. ἀπὸ τοῦ ἐνείρεσθαι τῷ ἐνηλάτῳ. ἢ ἀπὸ τοῦ Ἑρμᾶς ἐγγεγλύφθαι

Ἑρμιόνη· καὶ ἡ Δημήτηρ καὶ ἡ Κόρη ἐν Συρακούσαις [ad 75]

ἑρμίς· τόρνος. πούς κλίνης

ἑρμοκοπίδαι (Ar. Lys. 1094)· οἱ περικόψαντες τοὺς Ἑρμᾶς Ἀθήνησιν, ἐπὶ Ἀριμνή-

COD. 31 ἐρίψημα 34 ἐριόδων (40 εἰκάζειν? an ἐρκάζειν = σερκάζειν, σαρκάζειν?) 42 cf. ἔργετος ἔρχατος 49 ἔρκιον 50] post 47 ἐρκῆται; cf. ἐργεῖται et Ath. VI 267 C 51 τῶν (νεῷ an νεῶνι?) 52 ω' 53] post 50: ἐρκήνια (Lycoph. 153) 54 ἔρισμα νέργμα — ἀσίμων — ἔρισμα στηρίζων 55 οἷς παίζοντες ἑρμομάχην 64 ἕρμεον 70 πτώσεως — διοσώτηρος 72 περὶ 74 ἕρμινα

HES. 37 ἐριωπιζόμην· ἢ τεχνητευόμην. ἢ σύμμικτα σχήματα εἶχον (v. ἐρρωπίζομεν) 43 ἔρκεϊ χαλκείῳ (O 567)· τῷ τῶν ἀσπίδων κυκλώματι 44 ἐρκεῖαι· οἰκίαι. τείχη. φραγμοί. σκηναί 45 ἐρκίοις· τειχίοις Ad 53 [ἢ ἔργμα] 57 ἑρμαῖος λόφος (π 471)· τοὺς σωροὺς τῶν λίθων ἑρμᾶς, τοὺς ἐν ταῖς ὁδοῖς γινομένους εἰς τιμὴν τοῦ θεοῦ· ἐνόδιος (q. v.) γάρ Ad 58 ἢ αἱμασιαί (Ducang. app. c. 74) 66 ἑρμηνεύοντες· φράζοντες 73 ἕρμια· πόδες κλίνης Ad 75 καὶ πόλις ἐν Ἄργει (B 560). καὶ ἡ θυγάτηρ Μενελάου (δ 14)

στου ἄρχοντος, τοῦ Πελοποννησιακοῦ συνεστῶτος πολέμου
Ἕρμος ἢ Ἕρμοι· δῆμος Ἀττικῆς. καὶ ποταμός [ad 78]
Ἑρμοῦ κλῆρος (Eur. fr. 40)· ὁ πρῶτος ἑλκόμενος κλῆρος Ἑρμοῦ νομίζεται
Ἑρμοχοίνιος γῆ· ἡ Αἴγυπτος τὸ πρότερον οὕτως ἐκαλεῖτο
Ἑρμοῦ ψῆφος· τὰ ἐν ταῖς ὁδοῖς ἕρμαια
Ἑρμών(ε)ιος χάρις· παροιμία [post 82]
ἔρνατις· ἀναδενδράς
ἔρνη· κρέα ⟨κέρατα?⟩. ἢ βλαστήματα
ἐρνοκόμων· παραδεισαρίων
ἔρνος· κλάδος. στέλεχος. δένδρον εὐθαλές (P 53? Call. Del. 262). βλάστημα. φυτόν
ἔρνυτας (Aristot. Poet. XXI 9)· ἔρνη. βλαστήματα. κλάδοι
ἔρξεν (ψ 312)· ἔπραξεν
† ἔρξιν· ἡ ἕδρια ⟨ἐλξίνη· περδίκιον?⟩
ἔρξον· ποίησον, πρᾶξον (Δ 37). δῆσον. πνῖξον. θῦσον. κώλυσον
ἐρόεντα (Eur. fr.)· ἐπέραστα
† ἔριοι· καινοί
ον
† ἐρόδανα· ἔργ ἐρινάξει
Ἐροιάδαι· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς [95]
ἐρόμενος (Ar. Eqq. 574)· ἐρωτῶν, πυθόμενος
ἐρομένῳ· [ ] ἐρωτῶντι [98]
† ἐρόντι· μάλα, λίαν, πάνυ
ἔροτιν (Eur. El. 625)· ἑορτήν [6001a]
ἔροτις· ἑορτή, πανήγυρις
ἐροῦα (B 179)· πορεύου. ἀναπαύου (X 185. Κύπριοι)
ἔροψ· ὄρνις ποιός

ἕρπε (Callim. ep. XLII 6)· βάδιζε
? ἑρπεδό(ε)σσα (aeol.?)· ἐπίπεδος
ἕρπει· βαδίζει (P 447). τῇ κοιλίᾳ περιπατεῖ (Nic. Th. 481). παραγίνεται (Callim. LP 3) [7]
ἑρπύζει· ἑρπυστάζει· [παρὰ τὸ πορεύεσθαι.] ἐκ μεταφορᾶ, βαδίζει ἢ πορεύεται
ἑρπυλλίς· τέττιξ
ἑρπύσῃ· βαδίσῃ
ἑρπυσμός· ἡ φωνὴ τῶν χοίρων
† ἔρυγξ· τὸ ἕρκος τῶν πρασιῶν [13—15]
ἐρράγη· ἐσπάσθη. ἐσχίσθη [ad 16] [17—19]
ἐρραθάγει· ἐκρότει
ἐρραθάμιζε· † ἐρόφα
ἐρράθαινεν· ὕγραινεν, κατέβρεχεν [23—25]
ἔρραος (Callimach. fr. CCCXXXV)· κριός
ἐρράχιζον· διέκοπτον [28]
ἐρραχώθης· ὑβρίσθης, ἐρραπίσθης
ἔρρε· φθείρου (Θ 164). ἀπαλλάσσου
ἔρρει (ex Aesch. Ag. 419)· ἀπόλωλεν, ἔφθαρται. οἱ δὲ ἔρρα (6019) [32]
† ἐρρεγένοντο· ἔρεψαν
ἔρρεις (Eur. I. T. 379)· ἐφθάρης [35—37]
ἐρρετός· φθόρος
ἐρρέτω· ἀπίτω. οἰμωζέτω. ὀζεσάτω
† ἐρρέξομαι· φθέγξομαι
ἐρρήεντα· δροσώδη. καταψυκτικά
ἐρρήσει· ἥξει, εἰσελεύσεται
Ἐρρηφόροι· οἱ τῇ Ἕρσῃ ἐπιτελοῦντες τὰ νομιζόμενα
ἐρρίγασι· φοβοῦνται, εὐλαβοῦνται [45]
ἐρρίγοι· φοβηθείη, φρίξειεν [47. 48]
ἐρρικνωμένον· ἐσπιλωμένον. (ῥυτίδας ἔχον)
ἔρρ' ἰών (Eur. fr. 1009)· εἰς φθόρον, εἰς ὄλεθρον

COD. 77 ἐνεστῶτος ⟨80 ἑρμοχήμιος vel |χύμιος St. Byz.⟩ ⟨87 ἔρνυγας Ar., sed cf. ἐπιρνύτιος⟩ 6000 ἐροτήν 1a λέγοντες Κύπριοι 1] post 4 ἐροτή 5 cf. ἀπεδόεσσα 20 ἐκράτει 22 cf. ῥαθαίνεται 26 ἐρράς; cf. schol. Lyc. 1316 44 ἐρρήγασι 49 cf. ἐρικνωμένον 50 ἔρριον

HES. Ad 78: Λυδίας Post 82: ἀπὸ Ἕρμωνος, ... τῆς Λήμνου τυράννου, ὃς ἐπελθόντων τῶν Ἀθηναίων, μὴ δυνάμενος αὐτοῖς ἐναντιοῦσθαι, ἔφη τὰ προστασσόμενα ὑπ' αὐτῶν διὰ χάριν ποιεῖν. τάσσεται οὖν ἐπὶ τῶν κατ' ἀνάγκην τι ποιούντων, καὶ προσποιουμένων χαρίζεσθαι 95 ἔροιτο (α 135 γ 77)· ἐρωτήσειεν, ἐπύθετο Ad 97: φίλῳ 98 ἔρον (Δ 469), ἐπιθυμίαν (B 432), Αἰολικῶς. ἔρωτα 6001a (ἐροῦντες· λέγοντες) cf. εἰρεῦντες 7 ἑρπετά (Philopon. Genes. I 20)· τὰ ἄποδα, παρὰ τὸ εἰς τὴν ἔραν πεπτωκέναι· καταχρηστικῶς δὲ καὶ τὰ λοιπὰ τῶν ἀλόγων ζώων καὶ ἄνθρωποι· γήϊνα γὰρ καὶ ἐπίγεια πάντα 13 ἔρυμα· φρούριον, ἀσφάλισμα. κώλυμα 14 ἐρυμία (Δ 137)· ἀσφάλεια 15 ἔρρα· ζιζάνια ⟨αἶρα⟩ Ad 16: ἠνοίχθη (IV Regg. XXV 4) 17 ἐραδᾶται (υ 354)· ἐρραμένοι εἰσίν 18 ἐρράδατο (M 431)· ἔρραντο. πέφυρτο 19 ἔρραδε ⟨6031⟩· ἔρεε δέ. ἐλθὲ ὧδε ⟨ἔρρ' ὧδε⟩ 23 ἐρραίσθη (Π 339)· διεφθάρη 24 ἐρρεῶς· ταχέως 25 ἐρραγέως· ταχέως ⟨ὀτραλέως⟩ 28 ἐρράπτομεν (π 379)· ἐβουλεύομεν ⟨v. ἐράπτομεν⟩ 32 ..είδων· τύπτων 35 ἔρεξα (I 453)· ἔπραξα 36 ἐρρέσθη (Π 339)· διεφθάρη 37 ἔρρεται (Ω 239)· φθαρεῖται (Greg. Naz. Arc. I 35) 45 ἔρρηγε (H 114)· φοβεῖται, φρίττει 47 ἔρριχεν· ἥκει ⟨v. ἤρρηκεν⟩ 48 ἐρρίζονται (η 122)· ἵδρυται

ἔρριπτο· ἔκειτο (Ξ 15?)

ἔρρον· ......

ἔρροντι (Dores)· ἀπολώλασιν

Ἔρρος· ὁ Ζεύς [55]

ἐρρύθμισμαι schol. Aesch. Prom. 241 [57]

ἐρρύξει (Arist. Eqq. 294)· κράξεις [59—61]

? ἔρρωμαι· ὑγιαίνω. νήφω

? ἐρρωμενέστερον [64]

ἐρρωγότες (Comic. fr. CCLXV)· διεσκορπισμένοι. διεστῶτες [66. 67]

ἐρρωπίζομεν (ἠτεχνιτεύομεν ἢ σύμμικτα χρώματα εἴχομεν)· Ἴων Ὀμφάλῃ (fr. 31). Τινὲς ῥωπίζειν ἀπέδοσαν τὸ ἀτεχν(ιτ)εύεσθαι καὶ ἀμαθεύεσθαι, κακῶς· ἔστι γὰρ ῥῶπος ὁ λεπτὸς φόρτος καὶ ποικίλος καὶ † βέβαιος, καὶ τὰ ἐκ τῶν ῥωπῶν πλέγματα, κανᾶ καὶ σῆστρα κυρίως [68b]

ἐρρῶσθαι φράσας (Dem. 419, 12)· οἰμώζειν εἰπών [70]

ἕρσαι (ι 222)· οἱ ἐν τῷ χειμῶνι γινόμενοι ἔριφοι. καὶ τὰ ἁπαλὰ τῶν προβάτων, καὶ αἱ δρόσοι

ἐρσαῖα· ἐαρινά. νέα. ἁπαλά. δροσώδη

ἐρσαίη· δροσώδης

(Ἐρσαῖος· ἀέριος Ζεύς) cf. 5665

ἔρσεο (Boeoti)· διεγείρου (v. ἔρετο)

ἔρση· δρόσος. νοτία. ὁμίχλη

ἔρσῃ (Boeoti)· ὁρμήσῃ [77]

ἐρσῆεν· ἁπαλόν. δροσῶδες. (νεαρόν) [79]

ἔρτις· κρημνός

ἐρυγαί· ἐρεύξεις

ἐρυγάστωρ (HP Nic. Al. 344)· μεγαλογάστωρ

ἐρυγγάνοντα (Eupol. fr. XIV p. 505)· ἐρευγόμενον

ἐρυγεῖν· φωνεῖν φωνῆσαι

ἐρυγή· ἔκβρασις

ἐρυγήτωρ· βοητής

† ἐρυγεία· ζῶον. στάχυς. βοτάνη

ἐρυγηλή (com.?)· ἐπίθετον ῥαφάνου

ἐρυγμαίνουσα· ἡ βοῦς. καὶ ὁ ταῦρος ἐρυγμαίνων, ἀπὸ τῆς ἐρυγμῆς

ἐρύγμηλον (Σ 580)· ἐρευγόμενον. καὶ μεγάλως μυκώμενον, μεγαλόφωνον (6114). καὶ μέγα πρόβατον τέλειον

† ἐρυγμός· πόλεμος (v. ἐρυσμός)

ἐρύεσθαι· σώζειν [ad 91]

ἐρύειν· ἕλκειν [post 92] [93]

ἐρυθαίνει (Theoph. III 15, 3)· πυρρὸν ποιεῖ. ὅθεν καὶ ἐρύθημα ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον [95. 96]

Ἐρυθῖνοι· πόλις καὶ χώρα ἐν Παφλαγονίᾳ (B 855). καὶ εἶδος ἰχθύος (Henioch. Com. III p. 561) [98—6100]

ἐρυθραίνετο· ἐρυθρὰ ἐγένετο, πυρρά [2]

ἐρυθρόπους (Ar. Avv. 304)· ὀρνέου εἶδος

ἐρυΐσκετο (Archil. fr. 141)· ἔρρεεν. ἐχεῖτο

ἐρύκειν (Herod. IV 125)· κατέχειν. κωλύειν [6—8]

ἔρυμα (Δ 137 Callim. fr. CXLII 2)· ὀχύρωμα. φυλακή. κάλυμμα. φύλαγμα

Ἐρύμανθος· πόλις Ἀρκαδίας. καὶ ποταμός (Callim. Iov. 18). καὶ ὄρος (ζ 103)

ἐρυμνόν (Thuc. V 65)· ἰσχυρόν. μέγα. ὑψηλόν, καὶ ὀχυρόν, οὗ ταχέως οὐδεὶς ἐπιβαίνει [ad 11]

† ἐρυμνῶδις· λύπην καὶ φλεγμονὴν παρέχων. ἢ ὑπερήφανον

Ἐρυμός· Ζεύς. καὶ ζυγός. καὶ ζεύγλη [14—18]

COD. 53 ἔρρωτι (cf. Anth. Pal. VII 692) 68 ἀματεύεσθαι — χόρτος — ἔσω — σί- σ στρα 69 φράσαι 72 ἔρσεα, cf. ἐρινάς 76 ὅρμη (cf. Hom. Il. I 699) 78 (νεαρόν) post 77 78 ἐπαλόν 83 ἐρρύγανον 88 ἐρύγαινον 97] post 92 ἐρύθινοι 98 |μησεν 6103] post 7 4 ἐρυΐκετο, ἔρεεν εἴχετο

HES. 55 ἐρρύησαν (Prov. III 20)· ἔβρυον 57 ἐρυθρά· πυρά 59 ἐρρυσάμενος (M 190)· σπασάμενος 60 ἐρρύσομεν (A 141)· ἑλκύσωμεν. φυλάξομεν, σώσομεν 61 ἐρρώγασιν· ἐσχίσθησαν (Ios. IX 19 [13]). ὑγιαίνουσιν 64 ἐρρῶσθαι· ὑγιαίνειν 66 ἔρρων· μετὰ φθορᾶς παραγινόμενος (Θ 239). ἢ μόλις παραγινόμενος (Σ 421). ἢ φθειρόμενος 67 ἐρρώοντο (Ψ 367)· κίνησιν ἐλάμβανον 68b ἐρρώσαντα (Ω 616)· ἐτάχυναν 70 ἔρρωσο (Actt. Ap. XXIII 30)· ὑγίαινου (—νε) 77 ἐρσήεις (Ω 757)· δροσώδης 79 ἐρσήεντα (Ξ 348)· καλόν (ἁπαλόν?). ἐνίημον (ἔνικμον). δροσινόν (v. ἐρρήεντα) Ad 91 σῶσαι (ad ἐρῦσθαι) Post 92 πλήθειν (ad βρύειν) 93 ἐρύετο (Z 403)· ἐφύλασσον 95 ἔρυθηλα (Ies. LXIII 1)· βαφή 96 ἐρυθήμας (Sapient. XIII 14)· βάψας 98 ἐρύθμισεν (Ies. XLIV 13)· ἐκανόνισεν 99 Ἐρυθρά (B 499)· πόλις ἐν Βοιωτίᾳ 6100 Ἐρυθραί· πόλις Ἰωνίας (e schol. B 499) 2 ἐρυθροδανόμενα (Exod. XXV 5)· πυρρά. κόκκινα. πυροειδῆ 6 ἐρυκέμεν (Θ 206)· τὰ αὐτά 7 ἐρύκοις (δ 599)· ἀποκωλύοις 8 ἐρύκεσθαι (ρ 17)· κωλύειν Ad 11 ἢ σκοτεινόν (ἐρεμνόν) ἐπιβαίνει 14 ἐρύμυλον· τὸν μεγάλως μυκώμενον ταῦρον (ἐρύγμηλον) 15 ἐρυνόν· σκοτεινόν (ἐρεμνόν). ἠσφαλισμένον (ἐρυμνόν) 16 ἐρύξας· ποιήσας (σ 196). κωλύσας 17 ἔρυξας· κατέσχον (Z 217). ἐκώλυσας 18 ἐρύοντα (Δ 467)· ἕλκοντα. κυρίως λύοντα

ἐρύουσιν (O 351 X 67)· ἐρύσουσιν. ἑλκύσουσιν. ἐξ οὗ τὸ κατέδονται· οὕτω γὰρ οἱ γῦπες ⟨κύνες?⟩ ἐσθίουσιν [20—26]
ἐρύσειεν· ἑλκύσειεν [post 27]
ἐρυσίβη (Plat. Civ. X 609 A)· νόσος τις (ἐξ) ἀέρος ἐπιγινομένη τοῖς φυτοῖς καὶ καρποῖς
ἐρύσιμον (Theophr.)· κάρδαμον ἄγριον
ἐρυσίπτολις· σωσίπολις [31]
†ἐρυσμός· πόλεμος ⟨cf. ἐρυγμός⟩
ἐρύσονται· περιποιήσονται. ἑλκύσωσιν
ἔρυσος· σπυρίς, κάλαθος
ἐρύσταζεν· εἷλκεν [36]
†ἐρύφαζε· κατεπάτησεν. ἐτόξευσεν [38]
ἐρχανήεντα πυλῶνα· τὸν πεπυκνωμένον, καὶ συνεχόμενον
ἔρχαο (Arcad.?)· ἔρχου. πορεύου [41]
ἔρχατος· φραγμός
ἐρχατόωνται (cf. ξ 15)· συνέχονται
Ἐρχεία· δῆμος φυλῆς τῆς Αἰγηΐδος [45]
ἐρχθέντα (Φ 282)· ἐν ὕδατι πνιγέντα ⟨v. ἐρεθ—⟩
ἔρχομαι· ἀπέρχομαι: λέξω. μέλλω λέγειν (Herod. I 5. II 11)
ἐρῶ· λέξω, εἴπω, λέγω
ἐρωάζει· ἡσυχάζει
†ἐρωγάς· [ἐρωδιός]
ἐρῳδιός (K 274)· εἶδος ὀρνέου
ἐρωή· [ad 52] ὑποχώρησις. ῥεῦσις. κώλυσις
†ἐρωδία· ἅμαξα
ἐρωῆσαι· ἡσυχάσαι. χωρῆσαι. κωλῦσαι [post 54] [55. 56]
†ἔρωι· ἔχοντι ⟨ἔρωτι σ 212?⟩
ἐρωΐα· ἐρωμένη (Theocr. IV 59)
ἔρωκε (Cyprii)· κώλυε
ἔρωμαί σε· ἐρωτ(ήσ)ω σε [61]
ἐρωμένη· ἀγαπωμένη, ἀγαπηθεῖσα
ἐρώμενος· ἀγαπώμενος [ad 63]
ἐρωμένους· [ad 64] ἠγαπημένους
†ἐρωμήσει· ῥωμαλέως βαδίσει
ἐρῶν· ἐρωτῶν. ποθῶν. λέγων
ἐρωπεύομεν· ἐρρωποπωλοῦμεν
ἔρως· πόθος. ἀγάπη. φιλία [69]
†ἔρωσις ⟨ἐρόεις⟩· ἐρώμενος
ἔρωτι (Callim. passim)· προθυμίᾳ
ἐρώτιον· ἐρώμενον. Ταραντίνοις
ἐς· εἰς. ἐν. ἐκ (Boeoti). πρός. ὑπέρ
ἐσαθρεῖν· ἐνατενίζειν
ἐσα†θυύριζεν· ἤκαλλεν
ἐς ἀεί· διαπαντός [77]
ἐσαλάλαζεν· ἐποτνίαζεν
ἔσαμ†εν· ἐθεωροῦμεν. Λάκωνες [80. 80a]
ἐς ἅπασαν· εἰς ἅπασαν [82]
ἐς ἀῶ (Eur. Or. 1004)· εἰς μίαν ἡμέραν [84]
ἐσαώρας (cf. Anacr. fr. XXXI)· εἰς καιρούς [86. 87]
ἔσβηκε· πέπαυται πνέων. ἐσβέσθη
ἔσβηνες· εἶδος ποτηρίου (.... Ταραντίνοις)
ἐς βόθυνον (Cratin. fr. VII p. 138)· εἶδος παιδιᾶς [91—95]
ἐς δῆριν· εἰς μάχην
ἐς δόκον· εἰς ἐνέδραν
ἐσδραμύλιξον· εἰσδραμε [99. 6200]
ἐσεμάσ(σ)ατο θυμόν (P 564)· καθήψατο τῆς ψυχῆς· ἐλύπησεν εἰς τὸν θυμόν. ἐμάστιξεν
ἐσεμάχθην· ἐβλάβην. ἐκολάσθην

COD. 28 ἐπιγε| 30 |λος ⟨32 ἐρισμός⟩ 34 ἄρυσος Theognost. 35 ἐρύστασεν 42 cf. ἔργετος, ἔρκατος 44 Ἔργεια 52 κόλλησις 53 cf. ἐριδίαν, ἐριωδία 60 ἐρωτῶσαι 67 προεπωλοῦμεν 90 ἐσβοθύν, ἐ. π. Ταραντίνοις 97 δοκόν 6201 ἐσεβάσατο

HES. 20 ἐρυπομένη ⟨ἐρυκ—⟩· κατεχομένη. κωλυομένη 21 ἐρῦσαι (P 419)· καθελκύσαι. [κατασχεῖν ⟨ad ἐρύξαι⟩] 22 ἐρύσαιτο (Ω 584)· φυλάξαιτο 23 ἐρυσ.άμενος· ἐκσπάσας (Λ 190), ἑλκύσας (M 190) 24 ἐρυσάρματες (Π 370)· ταχεῖς. ταχεῖαν. καὶ οἱ ἕλκοντες τὰ ἅρματα 25 ἐρύσατο (Y 450)· ἔσωσεν 26 ἔρυσεν (N 598)· εἵλυβεν Post 27 [φυλάξειεν] 31 ἐρυσίπτολι· ῥυομένη τὴν πόλιν (Z 305), καὶ φυλάσσουσα 36 ἔρυτο· ἐρύσατο (E 23). ἔσωσεν. ἐφύλαξεν (P 518) 38 ἔρχατο (P 354)· καθειργμένοι ἦσαν 41 ἔρχαται (κ 283 Π 481)· πέφρακται. συνέχονται 45 ἔρχεο (Z 270 al.)· ἀπέρχου. ἔρχου Ad 52 ὁρμή (O 358) Post 54 ὑποχωρῆσαι (N 776) 55 ἐρωήσει· χωρήσει. ῥεύσει (Λ 303). καὶ τὰ ὅμοια 56 ἐρώει· ὑπεχώρει (μ 75?). ὑποχώρει (B 179) 61 ἐρώμεθα (θ 133)· ἐρωτησομεθα, πυθώμεθα. ἀγαπώμεθα Ad 63 ἐρωτήσας Ad 64 ἐρωτῶντας 69 ἐρώσει· ῥεύσει ⟨ἐρωήσει⟩ 77 ἐσάκουσεν (Θ 97)· εἰσήκουσεν 80 ἔσαν· ἦσαν (Λ 321). ἐπορεύοντο 80a ἔσα· εἱμαρμένη ⟨αἶσα⟩ 82 ἐς Αὐλίδα (B 303)· ἐς τὸν λιμένα 84 ἐσαῶθεν (γ 185)· ἐπώθην 86 ἐσάωσεν (O 290)· ἔσωσεν 87 ἔσβη (γ 182)· ἐσβέσθη 91 ἐς γεμίας (B 379)· κατὰ τὸ αὐτό 92 ἐς δ' ἄγε (Λ 646)· εἰσήγαγε δέ 93 ἐς δέ· εἰς δέ 94 ἐς δεκάδας (B 126)· εἰς δεκανίας 95 ἐς δ' ἐρέτας (Λ 142)· εἰς ταύτην δὲ κωπηλάτας 99 ἐσεβάσθησαν (Rom. I 25)· σεβάσμασι προσεκύνησαν 6200 Ἐσεβών (Num. XXXII 3)· διαλογισμός. καὶ πόλις Μωαβιτικῆς. χωρία ἄκαρπα (Basil. Esai. XVI 611 E)

ἐσένας· εἰς τρίτην
ἐσεργνῦσι (Herod. II 86)· ἐγκλείουσιν [5. 6]
† ἔσευαν· ὤρχηντο. ἐσπούδαζον
† ἐπεσφάσσεται· λαθεῖν. Λάκωνες
ἐσέφθην· ἐσεβάσθην. ἡσύχασα. ᾐσχύνθην. Σοφοκλῆς Δαιδάλῳ (fr. 168) [10. 11]
ἐς ἠγάθεον (Ζ 133?)· ἄγαν θαυμαστόν
ἐσήκασθεν (Θ 131)· συνεκλείσθησαν, κατὰ σηκοὺς ἠλάσθησαν. κυρίως ἐπὶ προβάτων
ἐσήλατο· εἰσῆλθε λαθών. ἢ ἔσεισεν. κατέβαλεν. ἐτίναξε. κατέπεσεν (Μ 438?) [15. 16]
ἐς θατύν (Dor.)· εἰς θεωρίαν
ἔσθενεν· ἴσχυεν
ἐσθήματα· ἱμάτια [20—22]
ἐσθλαί· ξύλινα παίγνια. Ἀμαθούσιοι [ad 23]
[24. 25]
ἔσθος (Ω 94)· περίβλημα. ἱμάτιον. οὐδετέρως
ἔσθ' ὅτε· ἔστιν ὅτε. ἢ ἴσως. ἐνίοτε. πολλάκις [28]
ἐσιάλλοντι (Boeoti)· ἐκτείνουσιν. ἐκπέμπουσιν
ἐσιγάθη (Eur. Phoen. 349)· ἐσιωπήθη
ἐσιναμώρεον (Herod. VIII 35)· ἐσίνοντο. μεμωρημένοι ἦσαν
ἐσίνετο (Herod. IX 13)· ἔβλαψεν
† ἐσίνευσεν· ἐσίμηνεν
ἐσιτήριον· τὸ ἐν μέσῳ αὔλημα [35]
† ἐσίχναι· συγχαράξαι καὶ συμπυκτεῦσαι. Λάκωνες
ἐσιώθην· † ἐσώθη ⟨ἐθεώθην? an ἐσαώθη?⟩
ἐς ἰωνιάν· εἰς κοπρῶνα
ἔσκαζεν· ἐχώλαινεν
ἐς καιρόν (Herod. VII 144)· εὐκαίρως
ἐσκάλευεν· ἐκινεῖτο. ὤρυσσεν. ἀνελογίζετο [42]
ἐς κάλλος γράφειν· καλλιγραφεῖν
† ἐσκατάμιζεν· ἐσκάριζεν ⟨6313⟩
ἔσκεν (Γ 180)· ἦν, ὑπῆρχεν
ἐσκέψαντο· ἔγνωσαν
ἐσκευώρησεν· ἔβλαψεν. ἐπεβούλευσεν [48]
ἐσκήνιψε (Nic. Ther. 193)· διέφθειρε. διεσκέδασεν
† ἐσκίδαμαν· ἐπέτυχον. Λάκωνες [51]
ἔσκιμψεν· ἐνέσκηψεν
ἐσκί(μ)ψαντο· ἐστηρίχθησαν
ἐσκλείει· εἰσάγει
ἔσκλεπεν· διέτριβεν ⟨ἔσκληκεν?⟩
ἐσκληκότα· ἀντὶ τοῦ προσλιπαροῦντα (προσεσκληκότα. μετῆκται δὲ) ἀπὸ τῶν προσξηραινομένων· † οἱ δ' ἀφινήσονται νέδαν ἐσκληκότα [ad 56]
† ἐσκλόπτηρ· ὁ δοκιμαζόμενος
† ἐσκλητός· ἡ τῶν ἐξόχων συνάθροισις ἐν Συρακούσαις
ἐσκνᾶσαι (Boeoti?)· ξυρῆσαι
ἔσκον (Η 153)· ἤμην, ὑπῆρχον
ἐσκολυμμένον· ἀποσεσυρμένον
ἐς κόρακας· εἰς ἔρημον. εἰς τὸ σκότος. εἰς ὄλεθρον
ἐσκοράκισεν· ἐλοιδόρησεν
ἐσκορδινήθη· ἐχασμήσατο
ἐσκοροδισμένος· σκόροδα βεβρωκώς. Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι (165) παίζει ἅμα μὲν ὅτι σκοροδοφαγοῦσιν οἱ Θρᾷκες, ἅμα δὲ ὅτι παροξύνονται οἱ ἀλέκτορες πρὸς τὰς μάχας, ὅταν ἐμφάγωσι τῶν σκορόδων
† ἐσκόροδοι· τόρμοι ⟨v. σκόρθοι⟩ [67]
ἐσκύζοντο· ἐμέμφοντο
ἐσκυθισμένης· κεκαρμένης
ἐσκύ[κ]ληνται· διεσκεδασμένοι εἰσίν
ἐσκύλατο· διεσπάσατο
ἐσκύλευον (Herod. IX 80)· ἐγύμνουν τῶν ὅπλων
ἐσκύλευσεν· ἐρήμωσεν ⟨ἠρ—⟩
ἐσκύλωσεν· ἀπὸ τοῦ σκυλοῦν. τὸ κεκαλύφθαι ⟨ἐσκυλῶσθαι?⟩
ἐσλῶν (Dor.)· ἀγαθῶν
ἐσμασσόμενος (Hippocr. III p. 198 K)· ἐμβαλλόμενος

COD. 4 εἰσερνούει 9 παιδάλῳ 12 ἐσηγάθεον 14 v. εἰσήλατο, σήλατο 17 εἰς θάτυν ⟨v. θατύς⟩ Post 30] 37. 38 31 ἐσιμαμώρευον ⟨36 ἐσιχνάαι· ἐγχ|?⟩ 39 |νον 43 ἐσκαλλοσγράφειν ⟨v. εἰς κ.⟩ 46—49 = 49. 47. 48. 46 46 ἐσκή| 47 ἐσκεβ| 49 ἐσκε| 56 ἐπὶ τ. 57 v. ἐστιατήρ 59 |σθαι 66 L. σκόροδοι 75 ἐσθλῶν

HES. 5 ἔσεσθαι (Ε 644)· γενήσεσθαι 6 ἔσευα· ὥρμησα. (ῥυῆναι) ἐποίησα (Ε 208). ἐδίωξα. εἰς φυγὴν ἔτρεψα (Υ 189) 10 ἐσέχυντο (Μ 470 Φ 610)· ἀθρόως προσῆσαν ⟨προῆσαν cod.⟩ 11 ἔσῃ (τ 254)· γίνῃ ⟨ἐσηγίνη cod.⟩ 15 ἐσημείσαντο (Η 175)· ἐφανεροποίησαν 16 ἐσημειώθη (Ps. IV 7)· ἐτυπώθη 20 ἐσθητά· ὁρατά ⟨αἰ—⟩ 21 ἔσθιε (ξ 80. 443)· ἀνάλισκε, τρῶγε 22 ἐσθλά (Hom.)· ἀγαθά Ad 23 καιλαίεσθλά, ὀρθά 24 ἔσθοντο· ἔγνωσαν 25 ἔσθορεν (Μ 462)· εἰσεπήδησεν 28 ἔσθων (Ω 476)· τρώγων 35 ἐσιτίσκοντο (ω 209)· ἐμέτρουν τὸν σῖτον. ἤσθιον ⟨cf. σιτέσκοντο⟩ 42 ἔσκαλλον (Ps. LXXVI 7)· ἀνεζήτουν. ἀνηρεύνουν 48 ἐσκήνωσεν (Genes. XIII 12)· ᾤκησεν 51 ἐσκίδνατο· ἐσκορπίζετο (Θ 1). ἐσκεδάζετο Ad 56 ἐπὶ τῶν προσξηραινομένων 67 ἐσκουλεόν (Λ 220)· εἰς τὴν ξιφοθήκην

ἐσματευόμενον (Hippocr. III p. 183)· ζητοῦντα, ἐρευνῶντα. κακοπαθοῦντα ⟨κατωθ—⟩ [78—80]
ἐς μέσον συνίεσαν (trag. inc. fr. 171)· εἰς τὸ φανερὸν ἀλλήλοις ὡμολόγησαν ⟨ὡμίλησαν⟩ [82. 83]
(......·) ἀθροίσμασιν
ἔσμιον· νόστιμον (dulce)
ἐσμόνω (Boeoti)· ἐξελεύσομαι
ἑσμός· ὄχλος. πλῆθος. συναθροισμός. κυρίως δὲ ἐπὶ μελισσῶν (Xen. Hell. III 2, 20)
ἐσμός· † ὁδός. † δεσμός. πλῆθος. [Κρῆτες
ἔσμυξα· ἔφθειρα
ἐσμυριγμέναι (Archil. fr. 29)· μεμυρισμέναι [90]
ἐσμυρνισμένον· χρίσματα ἔχον. σμύρνῃ ἐπεστυμμένον
ἔσμωξεν· ἐπάταξεν, ἔπαισεν [93]
ἔσο (Boeoti)· ἐξ ὅσου
ἐς ὄβδην (Callim.)· εἰς ἐμφάνειαν
ἐς ὄλεθρον (Timocr. fr. 1 8)· εἰς ᾅδην [97]
ἐσομένους· γενησομένους [99]
ἔσοπτρον (Pind. Nem. VII 14?)· κάτοπτρον
ἐσόρα· ὄπισθεν, ὀπίσω (βλέπε) [6302]
ἐς οὗ ἄν (Herod. II 143 Sancroft.)· μέχρις ὅτου. ἄχρι
ἐσοφισάμεθα· ἐτεχνασάμεθα
ἐσπάθα (Ar. Nubb. 53)· ..... τὸ μὲν γάρ ἐστι σπάθῃ καθυφαίνειν· τὸ δὲ διαφορεῖν τὰ οἰκεῖα. ἔστιν οὖν διέφθειρεν. ἢ ὕφαινεν, ἀπὸ τῆς σπάθης
ἐσπαθημένος· πεπυκνωμένος
ἐς πάνδοκον· εἰς τὸν πάντας δεχόμενον
ἐσπάραξαν· διέφθειραν [9]
ἐσπάργων· ἐν περιστάσει ἦσαν
ἐσπάρθαι· οὐ συγκεκρίσθαι
ἐσπάριξεν· ἔσπαιρεν [13]
ἐσπασμένη· γεγυμνασμένη
(ἐσπείραται· συνείληται, συνέστραπται) 6389 [15]
† ἐσπερέθοντα· ἕσπερον. ἕσπειρον
ἑσπέρια· δυτικὰ μέρη
Ἑσπερίδων μῆλα (Aristocrates)· ἐν Λακεδαιμόνι ἄβρωτά τινα μῆλα
ἑσπέριον ξένον (cf. Hor. Sat. II 4, 17)· τὸν ἑσπέρας ἥκοντα
ἑσπέριος· ἕσπερος ⟨ἑσπέρας?⟩
ἐσπερξάμην· ἠπείλησα. ὠργίσθην
ἕσπερον κέλευθον (Eur. Or. 1003)· τὴν .... ἑσπέραν ὁδόν
ἔς περ ὀπίσω· εἰς τὸ μέλλον
ἕσπερος· ὁ ἀστήρ
ἕσπερος, ὃς κάλλιστος (Χ 318)
ἔσπερχεν· ἤπειγεν. ἤλαυνεν
ἔσπετε· [ad 26] ἐξηγεῖσθε. ἀκολουθεῖτε. ἱστορεῖτε. † ἀκούσατε [27]
ἔσπευσεν· ἐτάχυνεν [29]
† ἐσπινθεύετο· ἠξήροντο [31. 32]
ἔσποθ' ἕρπες· ποθὲν ἥκεις. Πάφιοι [34. 35]
ἑσπομένου· ἀποσποῦντος. ἁρπάζοντος
ἐς πόδ' ἦρεν· ἠσφάλισεν
† ἐσπόζεται· ἐκτένισεν
ἐς πῦρ † κορίζομεν· εἰς πῦρ ἐξαίνομεν [40. 41]
ἕσσασθαι· περιβαλέσθαι
† ἔσσεσθαι· ἐνηνέχθαι ⟨v. ἐσσοῦσθαι⟩ [44. 45]
ἔσσευαν· ἐδίωκον ⟨v. ἔσευαν⟩
ἐσσεύανται· ἔρχονται ⟨v. σεσεύανται⟩ [48]
ἔσσευται· ὥρμηται (κ 484?) [50]

COD. 77 ἐσμαντ— ⟨84 ἐσμοῖς· ἀθρήμασιν? EM. 383, 18⟩ 85 cf. ἠσμά 86 ἐσμονῶ 86b post 83 88 ἐφθάρη ⟨ἔφθαρκε?⟩ 89 |χμέναι 91 σμύρνης ἐν— 95 ἐσόβδην 6307 ἐσπανδοκόν 10 ἔσπαργον 11 εὐ 12 ἔσπειρεν ⟨16 ἑσπερύεντα· ἑσπέριον⟩ 17 δικτεκά 18 Λακεδαιμονίᾳ βρωτά 23 ἔσπερ' ὀπίσω 24 ὡς 25 ἤπεισεν 32 ἐσποθερπές, πόθεν — πάφνος ⟨36 ἐσσπωμένου, ἀποσπῶντος?⟩ 37 ἐσπόδηρεν, ἐσφάλησεν 39 cf. κορύζειν

HES. 78 ἐσμέσον (Ψ 574)· τὸ δίκαιον 79 ἐσ (μὲν) Μενέλαον (γ 317)· εἰσ Μενέλαον 80 ἐς μέσον ἀμφοτέροισι (Ψ 574)· μεσολαβήσατε τὸ πρᾶγμα, ἢ τὴν δίκην 82 ἐσμέν (ο 197)· ὑπάρχομεν 83 ἐσμιλευμένος (Greg. Naz. II p. 250 B)· κατακεκο(μ)μένος 90 ἐσμυρνισμένον (Marc XV 23)· διασμυρνήσοντα 93 ἔσο (α 302)· γενοῦ 97 ἐσόμεθα (β 61)· βιώσομεν 99 ἔσονται (Α 546)· γενήσονται 6302 ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν (Ε 118)· ἐντὸς βέλους γενέσθαι 9 ἐσπαργάνωσε (Luc. II 7)· περιετύλιξεν, ἔδησεν, ἔσφιγξε πρὸς τὴν ζώνην 13 ἐσπάσατο (Δ 530)· εἵλκυσαν 15 ἕσπεο (Κ 285)· ἠκολούθης Ad 26 εἴπατε (Λ 218) 27 ἕσπετο (Γ 376 al.)· ἠκολούθησεν 29 ἐσπήλη. ἱκέτευσε (Π 574)· πρὸς πωλία ἀφίκετο 31 ἔσπισε· προσήνεγκεν, ἔθυσεν 32 ἐς πλησίον ἄλλον (Β 271)· εἰς ἄλλον τὸν ἐγγύς, πρὸς τὸν πλησίον 34 ἑσπόμεθα (Λ 158)· ἠκολουθήσαμεν 35 ἑσπόμενοι (Κ 246)· ἀκολουθοῦντες ⟨—οιο — τος⟩ 40 ἕσσας (ξ 396)· καθίσας 41 ἑσσάμενος (β 3)· ἐνδυσάμενος 44 ἕσσει (Λ 176)· ὑπάρχεις 45 ἕσσεν (Π 680)· ἐνέδυσεν. εἷσεν (Δ 311)· ἐκάθισεν 48 ἐσσεύαντο· ἔτρεχον (Ο 272 Callim. Dian. 98). ἐδίωκον (Λ 548). ὥρμων (Β 808) 50 ἐσσήματο (Ρ 564)· ἐλύπησεν

ἐσσήν (cf. Callim. Iov. 66)· βασιλεύς. ἡγεμών
†ἐσσῆαι· ἐκχέαι
ἐσσίει (Boeoti)· ἐκχύσῃ
†ἐσσήτιοι· μάντεις [55. 56]
†ἐσσίνευσεν· ἐσίμηνεν ⟨6235⟩
ἐσσίταλα (Boeoti)· πρόσοδος. ἐμπολή [59]
ἐσσόν· ἱμάτιον
†ἐσσοημένον· τεθορυβημένον. ὡρμημένον [62]
†ἐσσοῦσθαι· ἐνηνέχθαι ⟨6343⟩ [64. 65]
ἔσσυντο· ἐπορεύοντο. ὥρμων [67]
†ἐσσύτερον· ἰσχυρότερον
†ἐσσυρευτόν· βλοσυρόν. δοκερόν [70]
ἐσταθευμένος (cf. Ar. Eccl. 127)· ἠρέμας ὑπὸ πυρὸς ὠπτημένος. σταθεῦσαι γὰρ τὸ τῷ πυρὶ ἡσυχῇ χλιᾶναι κρέας ἢ ὁτιοῦν
ἔστα· ἐνδύματα [73]
ἔσται μήν· ἔσται δή
ἔστακε· κεῖται
ἐστάλαξεν· ἔσταξεν [77]
ἔστα, λάπια· ἡ τῶν ἱματίων ἀγορὰ ὑπὸ Ταραντίνων
ἐστάλατο (Hesiod. Sc. 288)· ἐστολισμένοι ἦσαν
ἐσταλμέναι· ἐστολισμέναι †οὖσαι
†ἐστάμενον περίστειλον
ἔσταξεν· ἔρρανεν
ἔστ' ἄν (Herod. VII 141)· ἕως οὗ. ὅτε ἄν. [post 83] [84. 85]
ἔστασαν· ἐδάνεισαν σταθμῷ
ἔστατο· ἐκάθητο ⟨v. στῆσαι⟩
ἔστε· ὑμεῖς (*B* 485) ὑπάρχετε ὀξυτόνως, βαρυτόνως δὲ γίνεσθε (*P* 185) [89]
ἐστείλατο· ἔπεμψεν [91. 92]
ἔστελσεν (Aeoles)· ἔστειλεν [94—97]
ἐστέφθαι· κεκοσμῆσθαι, ἐστεφανῶσθαι
ἔστη· στολή. Κύπριοι. ἠγέρθη, ἵστατο
ἐστηλίτευται· δεδημοσίευται
ἐστήλωτο· εἱστήκει
ἐστήξεται· σταθήσεται
ἐστηρίξαντο· ἐνήρεισαν [6404]
†ἔστησαν· εἵλοντο
ἑστία· βωμός. ἡ οἰκία
ἑστιάθη· εὐωχήθη. εὐφράνθη
Ἑστίαια· ἡ πάλαι Ταλαντία ὀνομαζομένη (v. *B* 537 schol. D)
ἑστίᾳ θυόμεν (Theopomp. fr. IV p. 801)· ἦσάν τινες θυσίαι, ἀφ' ὧν οὐχ οἷόν τε ἦν μεταδοῦναι ἢ ἐξενεγκεῖν
ἑστιᾶν· τρέφειν. ἀριστοποιεῖν
ἑστίασεν· ηὔφρανεν [ad 11]
ἑστίασις· εὐωχία. τροφή [ad 12]
ἑστίας χῶρος· μέρος τοῦ ἥπατος ἐν θυτικῇ
†ἑστιατήρ· ὁ δοκιμαζόμενος ⟨6257⟩ [15]
ἑστιάτωρ· ὁ δειπνίζων. ὁ εἰς εὐφροσύνην καὶ εὐωχίαν καλῶν. ἤγουν τροφεύς
ἑστιᾶχος· οἰκουρός. οἰκῶναξ. καὶ Ζεὺς παρ' †Ἴωσιν
ἐστίβακα· πεπάτηκα
ἔστιβεν· ἐπάλυνεν
ἐστιγμένην οἰκίαν· ὑποκειμένην χρεώσταις ⟨v. ἄστικτον⟩
Ἑστίη· πῦρ. καὶ ἡ θεός
ἔστιν ἄρα· ἔστιν ὡς ἔοικεν
ἐστίχαται· ἔρχεται [24. 25]
ἑστιώμενοι· ἐσθίοντες, εὐωχούμενοι
ἑστιῶν· ἀριστοποιῶν
ἑστιῶνται· ἀριστοποιοῦντος [29. 30]
ἔστ' ὄκα· ἐνίοτε παρὰ Ταραντίνοις
ἐστόμφασα· ἠλαζονευσάμην· στόμφος γὰρ ἡ ἀλαζονεία

COD. 53 ἐσσήϊ, (em. Cyr. 39. 63) ἐχούσῃ 54 ἐσσηροί Theognost. ⟨61 σεσοβημένον?⟩ 71 ἠρέμως 74 μέν Post 77] 80 ἐστάμεναι 79 ἐσταλώπια 79 ἐσταλάδαντο (ut Herod. VII 89) 82 ἔσταζεν, ἔρανεν 6408 Ἑστιαῖα — Παλαντία 9 ἑστιαὶ θυόμεναι — οἴονται 10 ἀριστεύειν 11 ἔστησεν 13 ἑστιάσχωρος 16 ἑστιάτων 22 ἐστίταρτι 31 ἔστοκα 32 ἀλαζωνία

HES. 55 ἔσσεται (*A* 239)· γενήσεται 56 ἔασεται (*A* 573)· ἔσται 59 ἕσσο (π 199)· ἐν(εδ)έδυσο 62 ἐσσομεμένοις (*B* 119)· μεταγενεστέροις 64 ἐσσύμενον (*Z* 518)· προθυμούμενον 65 ἐσσυμένως· ταχέως. προθύμως (*O* 698). ἠπειγμένως (*Ψ* 364) 67 ἔσσυτο· ὥρμησεν (*P* 678)· ἔθανεν 70 ἐσσύλλα· ἀφῄρει (*Z* 28). ἐπονηρεύετο. ἐσκύλευεν (*E* 164). ἐγύμνου. ἐλάμβανεν 73 ἔσται· γενήσεται (*A* 212). ἡ μέχρι τέλους ⟨ἔστε Soph. Ai. 1031⟩ 77 ἕσταμεν (λ 465)· ἑστήκαμεν Post 83: ἡ ἔστησαν ⟨ἔσταν *A* 535⟩ 84 ἑσταότα (*N* 261)· ἱστάμενα 85 ἑστᾶσιν (*B* 196)· ἑστήκασιν 89 ἐστείρωται· συνείληται. συνέστραπται ⟨6314b⟩ 91 ἔστελεν· ἔστειλεν. ὁμοίως ⟨6393⟩ 92 ἐστείλαντο (Sapient. VII 14)· συνέστειλαν. ἢ ἀπέστειλαν 94 ἐστέλλετο· ἡτοιμάζετο 95 ἐσταλμένον· ἐξεφθαρμένον 96 ἐστελώθη (I Regg. XVII 16)· ἐπάγη 97 ἐστεφάνωται (*Σ* 485)· περιέχει 6404 ἐστηρίσατο (Ies. LIX 16)· ἐστερέωσεν Ad 11: †ἡ τροφή Ad 12: οἰκία 15 ἑστιατορία (LXX)· εὐωχία 24 ἐστίχοον (*Π* 258)· ἐβάδιζον 25 ἐστιχόοντο (*B* 602)· ἐπορεύοντο. ἠκολούθουν (*Σ* 577). εἵποντο στοιχηδόν 29 ἕστο (*Ψ* 67)· περιβέβλητο 30 ἐστοιβασμένη (Iosu. II 6)· συγκειμένη σύνθεσις

ἐστόν· † ἐστίν. ὑπάρχετε, ἐστέ (Α 259)

ἐς τὸν λιμένα· εἰς τὸν λιμένα. Ἀριστοφάνης ἐν Βαβυλωνίοις (fr. XII p. 976). παρὰ τὴν παροιμίαν· Ἀττικὸς ἐς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς

ἔστορα (cf. Ω 272)· τὸ κοίλωμα τοῦ ἁρματίου, ἤτοι ζυγοῦ, ἔνθα ὁ τράχηλος τῶν ἵππων ἐντίθεται, ἢ τὸν πρὸ τοῦ κρίκου τοῦ ῥυμοῦ ⟨τόπον⟩· οἱ δὲ κατὰ Ἀρίσταρχον τὸν πάσσαλον τὸν πεπηγότα περὶ ἄκρον τῶν ῥυμῶν, περὶ ὃν δεσμεῖται καὶ εἱλεῖται τὰ ζυγόδεσμα

ἐστόρεσαν (Ω 648)· ἔστρωσαν

ἐστορέσθη· ἐστορήθη, ἐστρώθη

ἐστόρχαζον· ἔκλειον ⟨v. στοργάζειν⟩

ἐστρέβλου(ν)· ἐβασάνιζον [40. 41]

ἔστυγμαι· κατεστύγνωμαι

ἔστυγεν· κατεπλάγη (non P 694) [44]

ἐστυφέλιξε (ρ 234)· διέσεισε. προσεπηλάκισεν

ἐστώ· [ad 46] ἴσον ⟨οὐσία?⟩, ὑπάρχον, ὕπαρξις

ἔστωρ· σφήν. ἔμβολος. γόμφος. στῦλος, ἐν ᾧ ὁ ζυγὸς προσδεῖται

ἐσύλα· ἐγύμνου ⟨v. ἐσσύλλα⟩ [ad 48] [49]

ἐσφάδαζον· διηπόρουν. ἐφρόντιζον

ἐσφάλιξεν· ἔσφηλεν. ἔδησε. σφαλὸς γὰρ ὁ δεσμός

ἔσφαλτο· διημαρτήκει

ἐσφαράγιζον (Hesiod. Th. 706)· ἐδόνουν. μετὰ ψόφου ἤχουν

ἐσφηκωμένον· ἐσφιγμένον

ἐσφήκωντο (P 52)· ἐδέδεντο, ἐσφιγμένοι ἦσαν, συνεσφιγμένοι

ἔσφηλεν (Eur. fr. 275)· σφαλῆναι ἐποίησεν. κατέβαλεν [57]

ἐς φοινικίδα (καταξῆναι Ar. Ach. 319)· αἱματόρρυτον ποιῆσαι

ἐς Φρεάτου· ἔν τι τῶν ἀρχαίων δικαστηρίων Ἀθήνησιν ἐν Φρεάτου λεγόμενον, ἔνθα ἐκρίνοντο οἱ φυγάδες οἱ δράσαντες ἐν τῇ φυγῇ ἀκούσιον φόνον ἑστῶτες ἐπὶ πλοίου

ἔσφυται ⟨ἐσφοιτᾷ?⟩· εἰσπέμπεται

ἐσχαλάα (—άλαι? Aeoles?)· λυπεῖται

ἐσχάρα· βωμὸς ἰσόπεδος, οὐκ ἐκ λίθου ὑψούμενος. ἢ ἱστία (Apoll. lex. 78, 2). σιδηρᾶ φακαραῖα. τὸ πῦρ, καὶ ὁ τόπος αὐτοῦ, χυτρο...., ἢ πυρφόρον σκεῦος

ἐσχάραι πυρός (Aesch. Eum. 108)· ἐπὶ ἐδάφους ἀνθρακιᾷ. καὶ αἱ τῶν γυναικῶν φύσεις. ἐξώστρας τετράγωνα [64. 65]

ἐσχάριον (Arist. fr. XXX p. 1156)· κοῖλον θυμιατήριον

ἔσχαρος (Mnesim. III p. 570)· ἰχθῦς

ἐσχαρίτης· ἄρτος ἐγκρυπτος

ἐσχατιά· ἄκρα, τὸ ἔσχατον μέρος χωρίου, τὸ συνάπτον τοῖς ὄρεσιν (Callim. Del. 139). ἐρημία

ἐσχατίη· ἐρημία. ἄκρα. τελευταία

ἔσχατον· ἐσώτατον (φ 9). πρῶτον. τελευταῖον. ὕστερον, ὕστατον

ἔσχατος Μυσῶν (Menand. fr. CCCCLXXXI)· παροιμία [ad 72]

ἐσχάτως (Menand. fr. CCCXVIII)· ὑπεραγόντως. ἄκρως

ἔσχε (Menand.)· ἐπέσχεν

ἐσχεδιάζομεν· ἠγγίζομεν

ἐσχεδίασε· δυσχερές τι διέλυσεν. ἑτοίμως εἶπεν [77. 78]

ἔσχεν (Apoll. 78, 5)· [ad 79] ἐπέσχεν, κατέσχεν

ἐσχελύνασεν· ἐφλυάρησεν ⟨cf. σχελυνάζει, γελυνάξαι⟩

ἐσχετλίαζεν· ἤλγει. ἐλίσσετο

ἔσχετο· [ad 82] ἠκολούθει ⟨v. ἔχεται⟩

ἐς χεῖρα (Achaei fr. 5)· παραχρῆμα

ἔσχον· προσέσχον (δ 352?). κατήχθησαν

COD. 34 περὶ — ἀττικῶς — συντόμως 35 πρῶτον κρίκον — περὶ ὧν 45 προσε| 47 ἐστωρσφίν 52 δια| 53 ἐσφρ| 54 ἐσφηγμένον 55 |οντο 56 ἔσφειλεν 58 ἐσφοι| 61 ἐσχαλᾶα 62 ἠστία — ἢ πορφόρον 63 ἐσχάρα, πυραὶ — ἀνθρακιαί — ἐξώστρας; cf. Phot. 65 φωμόν 67 ἐσχαρός 73 |ης |ντης 74 ὑπαίσχεν 76 ἔσχεν.δίασε 80 ἐσχελίνασεν, |ισεν 84 προε|

HES. 40 ἐστρατόωντο (Γ 187)· ἐστρατοπεδεύοντο 41 ἐστρῆνες· σειρῆνες ⟨ἐνστρηνές· στρηνές; cf. ἀστρηνές, ἐνστρηνές, στρηνές⟩ 44 ἔστυρον (κ 113)· ἔδεισαν. ἐμίσησαν. κατεστύγνασαν Ad 46 γενέσθω (Hom.) Ad 48 ἀφῃρεῖτο (Ο 524) 47 ἐσύλευον (Ε 48)· ἐσκύλευον 57 ἐσφίκωνται (P 52)· καταπεπλεγμένοι ἦσαν, καὶ συνεσφιγμένοι 64 ἐσχατογορδων· ἐσχρὰ ἀγορεύων, δημηγορῶν 65 ἐσχαρίτην (II Regg. VI 19)· φωμ(ί)ον ἐπὶ κλιβάνου Ad 72 ἣν ἐξηγοῦνται οὕτως· Μετὰ (τὰ) Τρωϊκὰ λοιμοῦ καὶ ἀκαρπίας τὴν Ἑλλάδα κατασχόντων, μαντευομένων περὶ τούτων, χρῆσαι τὴν Πυθίαν ἐ........ 77 ἐσχεθεν (Μ 184)· κατέσχεν 78 ἐσχεθέτην (Μ 461)· συνέσχον Ad 79 ὑπέσχεν Ad 82 κατεσχέθη (Υ 273)

ἔσχοντο (Apoll. 78, 6)· κατεσχέθησαν. ἐπαύσαντο
ἔσω· ἐντός [ad 86]
ἐσωληνευόμην· συμπεριεφερόμην
† ἐσωματώσασθαι· εἰσηγήσασθαι ⟨ἐσομμ—⟩ [89]
† ἐσωρῆαι· ὑπουργῆσαι τοὺς αὐτούς [91. 92]
ἐτά (poeta ap. Ioann. Alex. 29, 5)· ἀληθῆ. ἀγαθά
ἐτάζεσθαι· ἀριθμίζεσθαι. κρίνεσθαι. βασανίζεσθαι
ἔ̣ται· ἑταῖροι. συνήθεις. πολῖται (Π 674). δημόται. φίλοι. ἐπίκουροι
ἑταίρα· φίλη. πόρνη. καὶ ἑταιρεύουσα
ἑταίρας ἱερόν (Philetaer. III p. 293)· τῆς Ἀφροδίτης Ἀθήνησιν. ἀπὸ τοῦ τὰς ἑταίρας καὶ τοὺς ἑταίρους ἄγειν
† ἑταιρήσας· πορνεύσας
Ἑταιρεῖος (Diphil. fr. I p. 384)· Ζεὺς ἐν Κρήτῃ
ἑταιρίζειν· συνεργεῖν
ἑταιρικῆς· πορνικῆς
ἑταιρικός· πρὸς ἑταίρας εὐφυής [3. 4]
(ἑταίρισεν· ἐφεστιάσατο, cf. 4452)
(ἑταιρίσσαι· φιλοποιῆσαι, Ω 335 cf. 4449) [5. 6]
ἑταῖροι (μ 271)· φίλοι·
κακά περ πάσχοντες ἑταῖροι
καὶ συνεργοί. ναῦται (Α 179)
ἑταῖρον· συνεργόν. φίλον. παράνυμφον
ἑταῖρος· ὁ φίλος [10. 11]
† ἐτάηφ· διέτριβεν
ἐτάθη· ἡπλώθη. ἐκρεμάσθη
ἐταλαιπωρήθη· ἐκακοπάθησεν
ἐταλάνισα· τάλας, ἄθλιος· παρὰ τὸ ὑπομένειν τὰ ἀβούλητα. ἐθρήνησα ⟨v. ταλανίζειν⟩
ἐτάλασ(σ)α· ὑπέμεινα
ἐτάλα(σ)σεν (Apoll. 78, 7)· ἐτόλμησεν. ὑπέμεινεν [17—19]
ἐτανθάρυζον· ἔτρεμον ⟨1696⟩
ἐτανόν· ἀληθῶς σφόδρα
ἐτανταλίχθη· ἐσείσθη
ἐτανταλίζεν· † ἔτρεμεν
ἐτανύ(σ)θη· ἐξετανύσθη, ἡπλώθη
ἐτάρβει· ἐδεδίει [26. 27]
ἐτάρπη· ἐπλήσθη, ἐκορέσθη
ἔτας (non Hom.)· τοὺς κατ' ἐπιγαμίαν οἰκ(εί)ους. καὶ πολίτας
† ἐτάσεο· Ζεύς. ἢ βάσανον
ἐτασμός· ἐξέτασις. ἢ ὁ ἀριθμὸς παρὰ τοῖς Πυθαγορικοῖς
ἐτα†υτῶς· ἀληθῶς
ἔταφεν (cf. Call. Dian. 103)· ἐθαύμασεν. ἐθάμβησεν
ἐτεά (Democrit.)· [34] ἀγαθά. ἀληθῆ
ἐτεὰ τύχη· ἀγαθὴ τύχη
ἐτεαὶ τύχαι· ἀληθεῖς τύχαι
ἐτεθήλει· ἔθαλλεν [38]
ἐτεθήπει· ἐξεπέπληκτο. ἐ(τε)θαυμάκει
ἔτεια· ἐπέτεια. νέα
ἔτε(ι)ον· τὸ κατ' ἔτος, ἐτήσιον [42]
ἐτεκμήραντο (Ζ 349)· ἐπὶ τέλος ἤγαγον
ἐτεκμηρίωσεν· ἐβεβαίωσεν
ἐτεκνώθη (Eur. Phoen. 868)· τέκνον ἔσχεν
ἐτεκτήνατο· κατεσκεύασεν
ἐτεκτόνουν· κατεσκεύαζον οἱ τέκτονες
ἐτέλεθεν· ἐγένετο
ἐτέλει· ἐτέτακτο ⟨v. τελοῦντα⟩ [50—53]
ἐτέλεσεν· ἔλαβεν. ἐπλήρωσεν [55]
ἐτελεσιούργει· ἐτελείου. ἔτελλεν
? ἐτέλει· ἐλάμβανεν. † ἐπλήρουν
ἐτελίς (Aristot. HA. VI 13)· χρύσοφρυς ὁ ἰχθῦς
ἔτεμεν· ἤμελγεν
Ἐτεοβουτάδαι (Alex. fr. I p. 476)· γένος Ἀθήνησι πάνυ λαμπρόν ....

COD. 87 ἐσωλι| 93 cf. 6521. 6532 99 ἑταίριος 6507 κακάπερ 11 ἑται.., φίλη. ἡ 14 v. Nicet. ad Greg. 63, 25⟩ 16 cf. οὐκ ἐτάλασσεν 20 |όριζον ⟨ἐτονθόριζον?⟩ ⟨32 ἐτατύμως?⟩ 44 ἐβεβόωσεν 47 ἐτέκτονον

HES. Ad 86: ἔνδον (Ω 155) 89 ἔσοπτρον· κάτοπτρον. καθρύπτην 91 ἔσωσεν (Tit. III 5)· ἐρρύσατο, ἐλυτρώσατο 92 ἐτράβλιζον· ἔτρωγον 6503 ἑταιρίδων (Symmach. Ose. IV 14)· πορνῶν 4 ἑταιρίσαιτο (Ν 456)· συνεργὸν λάβοι 5 ἑταιρίστριαι (Plat. Symp. p. 191)· τριβάδες ⟨Moer. et διεταρίστριαι⟩ 6 ἑταιρίσοιτο (Ν 456)· προσλάβοιτο (συνεργόν) 10 ἑτερόφθαλμος· μονόφθαλμος ⟨Moer.⟩ 11 ἑταί(ρη I 2)· φίλη. ἡ Περσεφόνη ⟨ad ἐπαινή⟩ 17 ἐταμεῖον (Δ 155)· ἐποιησάμην (ὅρκους) 18 ἔταμνον (Δ 156)· ὁμοίως 19 ἐτανηλεγέως (Θ 70)· μακροκοιμήτου 26 ἑτάρη (Δ 441)· φίλη. ἑταίρα. συνεργός 27 ἑταρίσσατο (Ν 456)· ἑταῖρος, συνεργὸς γένοιτο Ad 34: ἔτη (Β 328 e Cyr. 39) 38 ἐτεθήπεα (ζ 166)· ἐξεπλάγην. ἐθαύμασεν ⟨—α⟩ 42 ἔτειρε (μ 332)· κατεπόνει. ἠνία 50 ἐτελείετο (Α 5)· συνετελεῖτο 51 ἔτελλεν (Α 326)· ἔπεσεν ⟨ἐπέτασσεν⟩ 52 ἐτελέσθη (Ο 228)· ἐγένετο 53 ἐτελέσθησαν (Ps. CV 28)· μετέσχον. ἐκοινώνησαν 55 ἔτελλεν· ἔλεγεν (Δ 25). ἐπέτασεν, προσέτταττεν

Ἐτεόκρητες (τ 176)· οἱ αὐτόχθονες
ἐτεόν (Hom. Call. Del. 83)· ἀληθές: ἐπέτειον. ἢ νέον. πρόσφατον ⟨ad ἔτειον⟩ [63. 64]
ἑτεραλκέα νίκην (Η 26)· ἑτεροκλινῆ, ἑτερορρεπῆ. τὴν τοῖς προτέροις νενικημένοις ἀλκὴν περιποιοῦσαν
ἑτερεγκεφαλᾶν (Aristoph. fr. CLXV). παραφρονεῖν
ἑτερήμεροι (λ 302)· διηλλαγμένοι. παρ' ἡμέραν ζῶντες [68]
†ἑτερήρησθμος· οἷον μονότροπος
ἑτερήρεα· ἀμφίβολα (Maxim. κατ. 165) [71]
†ἑτερόκλιτες· ἐφ' ἑτέρῳ ἕτερον κείμενον κανόνι. ἑκατέρωθεν βεβλημένοι καὶ συνέχοντες
ἑτερόγναθος (Xen. Eq. I 9)· σκληρόστομος. ἀπειθής. ἐπὶ τῶν ἵππων
ἑτερόζυγοι· οἱ μὴ συζυγοῦντες [75—77]
ἑτερόθρουν· ἀλλόφυλον
ἑτεροῖον· ἀλλοῖον
ἑτεροίως· ἄλλως πως
ἑτεροκλινές (Hippocr. III p. 168, 1)· πλάγιον. καταρρεπές ⟨6572⟩ [82]
ἕτερον· ἄλλον. ἢ ἀλλοῖον. ἢ ἓν τῶν δυοῖν (Π 250). ἢ ἀριστερόν. νέον. δεύτερον
ἑτερομάσχαλος· χιτὼν δουλικὸς ἐργατικός· ἀπὸ (τοῦ) τὴν ἑτέραν μασχάλην ἔχειν ἐρραμμένην
ἕτερον πόδα (Ar. Vesp. 1163. 4)· τὸν ἕνα πόδα, τὸν εὐώνυμον
ἑτερορρεπές· ἐπὶ τὸ ἕτερον ῥέπον καὶ βαροῦν
ἑτερόρ(ρ)υσμα· ἀνόμοια
ἑτερομόλιος δίκη (Zenob. III 88)· εἰς ἣν ἀντίδικοι οὐχ ἦλθον [89. 90]
ἑτερόστοιχα· ἀσύμφωνα
†ἑτερουῖδα· τρυβλίον κενόν [93]
ἑτεροφυές· ἀλλοφυές
ἑτερόφυλος· ἀλλόφυλος
ἐτέρρατο (Aeoles)· ἐξηράνθη
ἔτερσεν· ἐφοβήθη (Ο 586?) [98]
ἑτέρωθεν· ἀλλαχόθεν [ad 99]
ἑτερώνιον (Aeoles) [ad 6600] [1. 2]
†ἐτεστράφησαν· ἔκλιναν [4]
ἐτέταλτο (λ 523)· ἐντεταλμένον ἦν, ἐπετέτραπτο (Β 643)
ἔτετμε (α 218)· κατέλαβεν, εὗρεν [7—12]
ἐτεύξατο· ἔτυχε. κατεσκεύασεν
ἔτευξε· τὸ αὐτό [15]
ἐτέφρισεν ⟨—ωσεν⟩· ἐνέπρησεν
ἐτεωνεῖ· ἀληθεύει
ἐτεώνια· ἀληθῆ [19. 20]
ἐτήσιον· κατ' ἔτος γινόμενον
(ἐτήτυμα [Sophocl. Phil. 1290]· ἀληθῆ) [22]
ἐτητύμως (Trag.)· ἀληθῶς ⟨v. ἐταυτῶς⟩
ἔτι (schol. Sophocl.)· πάλιν. ἀκμήν [25]
ἐτίασεν· ἐτίμησεν
ἐτιθηνήσατο· ἔθρεψεν
ἐτιθήνευσεν· ἐτρόφησεν ⟨—ευσεν⟩. ἐτιθηνήσατο
ἐτιμησάμην· τιμῆς ἄξιον ἡγησάμην [30]
(ἐτιμώρεον [Herod. I 18]· ἀδικουμένοις ἐβοήθουν) cf. 5007 [31—37]

COD. 62 ἴδιον pro ἢ νέον 65 ἑτερορiπῆ 66 ἑτερεσκεφαλᾶν 67 ἑτερήμενοι 74 |οζύγιοι 81 καταρεπές 86 ἑτερορεπῆ — θαρροῦν 88 ἑτερόμυνος 91 ἑτερότυχα ⟨92 ξένον ad 94?⟩ 96 ἐτέρρατο 97 ἐφόβησεν 6606 ἔτεμε 16 |πρεισεν 17 ἐτεωγεῖ 22b post 6638 27 |ίσατο 28 ἐτίθεσεν — |ίσατο

μελιτόν· κηρίον. ἢ τὸ ἑφθὸν γλεῦκος

†μελιτόπολιν· ἐπὶ τοῦ κρούειν καὶ ψοφεῖν ἐτάσσετο, πρὸς τὸ προσιέναι μελίσσαις

μελιτοῦττα· μᾶζα (Attici), μέλιτι δεδευμένη. τὸ δὲ αὐτὸ καὶ μελιτόεσσα (Herod. VIII 41)

μελιτ[τ]οῦντας (Ar. Av. 567)· πλακοῦντας

μελίφρονα· προσηνῆ, καὶ ἡδέα· διὰ τὸ γλυκαίνειν τὰς φρένας. καὶ μελίφρων τὸ αὐτό

μελίφυλλον (Nic. Th. 554)· βοτάνη τις, ὃ καὶ μελισσόφυλλον καὶ πράσιον

†μέλκιον· κρήνη. νύμφαι. παίγνιον

μελλέβιος· ἡμιθανής. [καὶ μὴ συνιείς, ἢ ὁ ἐκδιδαγμένος

μέλλει· [ad 43] δοκεῖ. ἢ μένει (Σ 362 Soph. fr. 571)

μελλέποσις (Soph. fr. 960)· ὁ μέλλων ἀνὴρ γίνεσθαι

μέλλετε· [ad 45] βραδύνετε, ὑπερτίθεσθε

μελλήσας· ὑπερθέμενος, βραδύνας [47]

μέλλησις (Thuc. I 69)· βραδυτής

μελλησμοῦ· ὑπερθέσεως, βραδυτῆτος

μελλήσω· σπουδάσω. ἢ ὑπερθῶμαι

μελληταί· ὑπερθετικοί

μελλητιᾶν· τὸ μέλλειν

μελλίρην· μελλέφηβος

μελλόγαμβρος· μελλονυμφίος

μελλονικιᾶν (Ar. Av. 639)· ἐπεὶ βραδὺς καὶ μελλητὴς ὁ Νικίας ἐλέγετο [56]

μελλόπαις· ὁ ἀπὸ δέκα ἐτῶν, προκόπτων παῖς τῇ ἡλικίᾳ [58]

μελοθεσία· ἡ τῶν μελῶν θέσις

μέλος· μέλημα. ἢ μέρος τοῦ σώματος. ἢ ἦχος ἡδύς, ᾆσμα, ῥυθμός, ἀλαλαγμός

μέλπει (c. c. Eur. Med. 150)· ᾄδει, παίζει, ὑμνεῖ

μέλπεται (h. Hom. Apoll. 197)· τέρπεται, ᾄδει. καὶ τὰ ὅμοια [63]

μέλπει· ἀλαλάζει, ἑορτάζει. καὶ τὰ ὅμοια

μέλπηθρα (P 255 Σ 179)· σπαράγματα. παίγνια. ἑλκύσματα (Eur. H. fr. 568?) [ad 65]

μελπῳδοί· παίγνιοι [ad 66]

μέλπων (Eur. Io. 881)· ᾄδων, ὑμνῶν [68. 69]

μελῳδία (Eur. Rhes. 923?)· ἡδυφωνία

μελῳδοῦσι· μετ' ᾠδῆς ὑμνοῦσιν [72]

COD. 17 δραγμῆς 21 οἱ σμῆνες 23 μελισσύχρας 25 μελίτεα 26 μελιτένα 27 μελίτεον 28 σὺν αὐτῷ 34 cf. μεντίοπον ⟨36 μελιττοπτηχεῖν Porso⟩ 37 μελιττοῦτα 38 μελιττοῦνται 44 μελάων — .ινεσθαι 48 βραδύτης 54 μελλογαμβρὸς 55 ἐπίβραδυς 66 μελπόδιοι· παίγνιοι

HES. 15 μελιοῦσι (Levit. I 6)· κατακόψουσιν 20 μελισσάων (B 87)· μελισσῶν 24 μελιστὴ (Ω 409)· καλὰ μέλη Ad 43 φαίνεται (Λ 564), ἔοικε (B 116) Ad 45 ἐοίκατε (Ξ 125) 47 μέλλειν· βάλλειν ⟨v. βέλλειν⟩, μέμφεσθαι 56 μελλόντων (Σ 463)· μελετώντων 58 μελεδόνοι· φροντίδες ⟨μελεδῶναι⟩. ἐπίτροποι ⟨μελεδωνοί⟩ 63 μέλπεσθαι (Π 240)· τὰ αὐτά Ad 65 καὶ μέλπηθρα κυνῶν (Ν 233) ὁμοίως Ad 66 μέλποντες (Α 474) ὑμνοῦντες, ᾄδοντες 68 μέλταδε· ἐννόει 69 μέλω (ι 20)· ἐν ἐπιμελείᾳ εἰμί 72 μελώμεθα (Δ 418)· μελησάτω ἡμῖν

μέλων· ἀρέσκων (691 et ἀδελεῖ)

[ad 74] προθυμεῖται [75]

†μεμαῖνα· ἀλληλιμένα

μεμακυῖα· μεμυκυῖα. βληχωμένη. φωνοῦσα, βοῶσα

μεμαλισμένους· μεμαλαγμένους: ἢ παραφρονοῦντας, μαινομένους ⟨ad μεμανημένους?⟩

μεμάμεν· προθυμεῖσθαι. ἐπιθυμεῖν. βούλεσθαι. σπεύδειν. πεποιθέναι

μεμαρπώς (Hesiod. Opp. 204 Sc. 245)· εἰληφώς. ἡρπακώς

μεμάσωμαι· ἐκπιάζωμαι [82]

μεμαχημένη· ἀπηχθημένη

μεμαώς· ὁρμῶν. θέλων. σπεύδων. προθυμούμενος (Δ 40). πεποιθώς

μεμαῶτες· προθυμούμενοι (Β 473). θέλοντες. σπεύδοντες (Γ 9?). [ad 85] πεποιθότες. ἐπιθυμοῦντες [86]

†μεμβλάσαι· συνδῆσαι

μέμβλεται (Hes. Theog. 61)· μέλει. φροντίζει. ἐπιμελεῖται ⟨1019⟩ [ad 88]

μέμβλεσθαι· φροντίζειν. καὶ τὰ ὅμοια ⟨694⟩

μέμβλετο (Φ 516?)· ἐφρόντιζεν

Μεμβλίς· Μῆλος, ἡ νῆσος ⟨1374⟩

μεμβλώντων (Aeoles?)· τυχόντων

μέμβλωκα· λιάζω, οἴχομαι, ἔξω τοῦ βίου εἰμί [94]

μεμελημένως· πεπονημένως [96. 97]

μέμηκε· βοᾷ, μέμυκε, κραυγάζει

μεμηκυῖαι· φθεγγόμεναι, βληχώμεναι

μεμηκώς· κεκραυγώς (non Κ 362)

μέμηλεν· ἐν ἐπιμελείᾳ ἐστίν, ἢ φροντίδι [802]

μεμήλωνται· βεβαμμένοι εἰσίν. Μήλωθρα γὰρ τὰ βάμματα ⟨1202. 4⟩

μεμηλώς· ἐπιμελῶς φροντίζων

μεμιασμένα· μεμολυσμένα. μεμιγμένα

μεμισθαρνηκότα· μισθῷ καμόντα

μεμίχθων· μεμιγμένοι ἦσαν

μέμνησο (Aesch. Suppl.)· μνημόνευε

μέμνων· ὁ ὄνος

μεμνόν(ε)ια· τὰ ὄνεια κρέα

μεμογημένος· μετὰ καμάτου κεκοπιακώς

μεμοιραμένη· κληρωσαμένη

μεμολυσμένα· †καὶ τεθρασμένα. ἢ πεφυρ[αγ]μένα

μέμονε· θέλει. ὁρμᾷ καρτερεῖ [ad 14]

μεμονωμένος· ἐγκαταλελειμμένος

μεμονώς· ὡρμηκώς. ἐπιθυμῶν, προθυμούμενος

μεμορημένον· ἠσκημένον. πεπονημένον

μεμορυχμένα (υ 435)· [ad 18] μυσαρά, μεμολυσμένα, ἐρρυπωμένα, ἠσβολημένα, μεμορωμένα ἅπαντα [19. 20]

μεμυδότος· ῥέοντος

μεμύημαι· πεπείραμαι (μυστηρίων)

μεμυθεῖσθαι (Rhodii)· εἰρῆσθαι

μέμυκε· σιγᾷ. συνέχει. τέθνηκεν. μυκᾶται (Aesch. Suppl. 314). [ad 24] ἀνέῳκται. ἐψόφηκεν. (μεμύωται. πεπύκνωται)

μεμυκήκασιν· ἐφώνησαν

μεμυκότα· βοῶντα, φωνοῦντα, ἀνοικτὸν ἔχοντα στόμα [ad 26] [27]

μεμυκότων (Simonid. Amorg. fr. IV W.)· πεπυκνωμένων, συνεσφιγμένων

μεμύλληκε· διέστραπται, συνέστραπται

μεμυωμένων· μεμυκότων

μέμφεται· αἰτιᾶται, ἐξουθενεῖ, καταγινώσκει ⟨onom.?⟩

†μεμφίδες· αἱ τῶν πτηνῶν ψυχαί

μεμφωλή· μέμψις

μέμψις· κατάγνωσις

μεμψίμοιρος· μεμφόμενος τὸ ἀγαθόν. ἢ φιλεγκλήμων, ἢ φιλαίτιος

μεμωμ⟨κ?⟩ημένον· κατα(πε)φρονημένον [36. 37]

μενεαίνει· βούλεται. θυμοῦ καὶ ὀργῆς πίμπλαται. [ad 38] λ[ε]ιποψυχεῖ

μενεαίνειν (Τ 68)· τὰ αὐτά [40]

COD. 74 μεμᾶται· προθυμεῖται Cyr. 319 77 βληχομένη 88 μέλλει 92 μεμβλόντων? 93 μεμβλοκανιάζω 808 μέμνησε 10 cf. μεσκόνια 17 πεποι| 18 ἠσβολουμένα 19 μαιμάσσει Cyr. 319 31 cf. πεμφίδες, σητοδόκιδες

HES. Ad 74 μεμάασι (Κ 236) 75 μεμάθεται· φυλάσσεσθαι (Η 160) 82 μεμάσσων· μεθ' ὁρμῆς ἐξερχόμενος. πρόθυμος Ad 85 προθυμοῦντες 86 μεμαῶτος (Θ 118)· προθυμουμένου. καὶ τὰ ὅμοια Ad 88 παραγίνεται 94 μέμβλωκε (ρ 190)· πάρεστι, μεμόληκεν, ἐλήλυθε, παρεγένετο 96 μέμερα· μερίμνης ἄξια. μέρμερα 97 μεμεστωμένοι (Act. Ap. II 13)· πεπληρωμένοι 802 μεμήλω (Ν 469)· φροντίζω Ad 14 προθυμεῖται, ἢ προεθυμήθη (Μ 304) Ad 18 μεμολυμένα 19 μεμόσσει· μολύνει ⟨836⟩ 20 μεμυαλομένα (Ps. LXV 15)· ..... Ad 24 τέθνηκεν Ad 26 βοῶντα (v. Greg. Naz. C. IV 249) 27 μεμύκωται ⟨—ότε⟩· πεπύκνωται 36 μενάσσει· μολύνει ⟨819⟩ 37 μένεα· μολυσμός (paraph. Δ 146) Ad 38 προθυμεῖται (Ο 507) 40 μενεαίνων (Γ 379)· προθυμούμενος. καὶ τὰ ὅμοια

μενεδήϊος· ἀνδρεῖος, μένων ἐν τῇ μάχῃ (non *N* 228)
μενέκτυπος· ὁ μὴ ψοφοδεής
Μενέλεως (Antiph. com. III p. 25)· Μενέλαος
μένεος· θυμοῦ. δυνάμεως (*Λ* 103). ἡ ὀργῆς (*I* 679) [45—47]
μενθήρη· φροντίς
μενθηριῶ· μεριμνήσω. διατάξω
μενθήραις· μερίμναις [51]
μενοεικέα· πολλήν (*π* 429). προσηνῆ. δαψιλῆ [53]
[ad 54] φροντίζει, μεριμνᾷ. προθυμεῖται, ὀρέγεται (Soph. Ai. 341) [55]
μενοινὴν (Call. Iov. 90)· φροντίδα. καὶ τὰ ὅμοια [57. 58]
μενοινῆς· πρόθυμος
(μενοινητής)· φροντιστής
μένος· ἰσχύς, δύναμις. ὀργή. τόλμα. βία. θυμός. λῆμα. νοῦς, ψυχή
μένος Ἄρηος· πόλεμος
μενοῦν, τοιγαροῦν, μέντοιγε καὶ μενοῦνγε· σύνδεσμοι [63]
†μεντιόπον· χλανίδα (734)
Μενωνίδαι (Com. inc. fr. CLXI)· τῶν εὐσήμων, ἐκ Μενωνιδῶν. τινὲς δέ φασι τὸν Μένωνα ἐξωστρακίσθαι
μέρα· ὄμματα
†Μεραί· ποταμόν (Μέρα· πόλις?)
μέργιζε (Aeoles)· ἀθρόως ἔσθιε (cf. μορ—)
μέρδει· κωλύει. βλάπτει
μέρεια· φυλῆς μέρος ἐκ δέκα τριακάδων συνεστός
μερθεῖσα· στερηθεῖσα. ἀμερθεῖσα (cf. μείρεται) [72. 73]
μεριμνηταί (Eur. Med. 1226)· οἱ φιλόσοφοι
μέρμερα· χαλεπά (*Θ* 453), δεινά, φροντίδος ἄξια (*Λ* 502)
†μερμέρω· φροντίζω
μερμήρα (Hesiod. Th. 55)· ἡ εἰς ὕπνον καταφορά. καὶ φροντίς
μερμῆραι· φροντίδες. βουλαί. μέριμναι
μερμήριζεν (*ι* 554)· ἐμερίμνα, ἐβουλεύετο
†μερμηρικοί· οἱ πειραταί [81]
μέρμιθα (*κ* 23. 24 !)· μέρμιθον, σπαρτίον, λεπτὸν σχοινίον, ἢ ἀργυροῦν δεσμόν
μέρμνης· τρίορχος
†μερόεν· μεριστικόν
μέροπες (*Σ* 288)· ἄνθρωποι· διὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα, ἤγουν τὴν φωνήν. ἢ ἀπὸ Μέροπος, τοῦ προφθάντος Κῷ υἱοῦ. λέγονται δὲ καὶ Κῷοι Μέροπες· καὶ ὀρνεά τινα, ὡς Ἀριστοτέλης (HA. IX 14, 1. 27, 16) [86]
μέρος τι (Thuc. IV 30)· ὀλίγον τι μέρος
μερύτης· ἀναιδής [89]
†μέρωον· πωλίον (μυροπώλιον?)
μεσάγκυλα (Eur. Andr. 1133)· ἀκόντια
μεσαιπόλιος (*N* 361 !)· οὐ σφόδρα πεπολιωμένος, ἀλλὰ μέσος, οὔπω γέρων
μεσαίχμιον· μέσον αἰχμῆς. ἤγουν μέσον δόρατος, ἢ δύο στρατευμάτων
μεσαίχμιος γῆ· ἡ διὰ πόλεμον ἀργή. καὶ μεσαίχμιον πᾶν τὸ μέσον τινός, κυρίως τῆς αἰχμῆς [95]
†μεσημβρίη· μεταφορικῶς, ἐν τῇ ἀκμῇ καὶ μεσότητι τῆς †ἡμέρας, μεσαώριον
μεσάτιον (Call. D. 78)· μέσον. καὶ μέρος τοῦ ἅρματος (Poll. I 42)
μέσαυλον· ἔπαυλιν (cf. *Ω* 29)
μεσαύχενες· Ἀριστοφάνης (fr. CCXIII) φησί· μεσαυχένας νέκυας, ἀσώτους· διὰ τοῦ μ̄ γραπτέον μεσαύχενες, ὅτι μέσον αὐχένα †αὐτοῦ πεζεῖ, παρεβάλλοντο τὸ σχοινίον. παρῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ (fr. 12) ἔνιοι δὲ διὰ τοῦ δ̄ γράφουσι δεσαύχενες [καὶ] οὐ καλῶς (938)

COD. 42 μηψοδεής 48 μενθῆρι φροντίς 55. 56 μενοίνας· φροντίσας καὶ τὰ ὅμοια μενοίνει· προθυμεῖ. φροντίζει. βούλει 59 μενοινῆς 60 τοῦν φιλῆ 61 μενοσάνιος 65 εὐφήμων ἐκ μένων ἰδίων — |σθη 70 μέρη ἐκδεκατριάδων (cf. ἀ μερία) 77 μέρμηρα — καταφορική 83 cf. βελλούνης κεγχρῆς (cf. Ar. Av. 1181) 85 προφαέθοντος κῳοῦ 88 μεγύτης Theognost. 44, 22 94 πολέμων 99 διὰ τοῦ σ̄ γραπτέον (forte νέκυας. οὕτως διὰ) — τραγῳδεῖ — φιλοξένῳ

HES. 45 μενεπτόλεμος· κατὰ πόλεμον ὑπομονητικός (*B* 740), κατὰ τὴν μάχην. ὁμοίως καὶ (μενε)χάρμης (*N* 396) 46 μενέτην (*Θ* 79 *T* 310)· ἔμενον. δυϊκῶς 47 μενέων (*Θ* 361)· δυνάμεων. προθυμιῶν 51 μέννης· μένε κύριε 53 μενόει· καὶ (*ε* 166) ἄφατον, [τὴν] τῇ δυνάμει αὐτοῦ ἁρμόζοντα Ad 54 μενοίν. (*N* 215)· 55 μενοινᾷς· προθυμεῖ (*Ξ* 221), φροντίζεις, βούλει 57 μενοίνησε (*β* 36)· προεθυμήθη. καὶ τὰ ὅμοια 58 μενοινήσωσι (*K* 101)· προθυμηθῶσιν 63 μὲν ῥα (*B* 1)· ὡς δή 72 μεριδαρχίας (III Esdr. I 5)· μεριτ(ε)ίας 73 μερίζειν (Nehem. XIII 13)· διανέμειν μερικῶς 81 Μερμερίδης (*α* 259)· Μερμέρου υἱός 86 μερόπων ἀνθρώπων· .... 89 μερῶν· ἐλάσσων (μείων) 95 μέσαχμον· κανὼν τοῦ ἱστοῦ (I Regg. XVII 7)· οἱ δὲ ἀντίον. οἱ δὲ τὸ μεσάκτων. ἢ μεσάκρων, ἢ μεσάτων τριχῶν. ἢ τὸ μέσον τῆς αὐλῆς

μεσέγγυον (Poll. VIII 28)· μεσίτην

μεσεγγύημα (Aeschin. 71, 18)· τὸ τίθεσθαί τινι συμφωνίᾳ μισθὸν ἐπ' ἐγγύῃ

Μεσέρκ(ε)ιον· Διὸς ἐπίθετον

μεσηγύ· κατὰ μέσον (Hom. al.)

μεσήεις· μέσος τῇ ἡλικίᾳ (M 269?)

μεσῆλιξ (Hippocr.)· ἀπὸ ἐτῶν τεσσαράκοντα ἕως πεντήκοντα

μεσημβρία· τὰ τοῦ νότου μέρη. καὶ τὸ τῆς ἡμέρας μέσον

μεσηρεύειν· τὸ μηδετέροις συμμαχεῖν. Φίλιστος [908. 9]

μέσκος· κώδιον, δέρμα. Νίκανδρος (Th. 549)

μέσμα· μέστωμα

μεσογάστορα· ναῦται τὸν ἐν τῇ μέσῃ νηΐ. βέλτιον δὲ τὸν διεζωσμένον μέσην τὴν γαστέρα, ζωνογάστορα (q. v.)

μεσόγειος (cf. Call. Del. 168)· γῆ ἄνευ λιμένος

μεσόδμα (Lacon.)· γυνή (946)

μεσόδμαι (τ 36 υ 354) καὶ μέσοδμα· τὰ μεσόστυλα. τινὲς δὲ τὰ τῶν δοκῶν διαστήματα [16]

μεσόδμη (β 424 ο 289)· ξύλον, τὸ ἀπὸ τῆς τρόπεως ἕως τοῦ ἱστοῦ

μεσοκύποι αὐλοί· οἱ ὑποδεέστεροι τῶν τελείων, μέσοι

μεσοκουράδες· οὕτω καλοῦσι δένδρα τὰ ὑπὸ ἀνέμων καταγέντα. καὶ κουράν

†μεσολάνιον· μεσοδόμιον

μεσομφαλία· ἡ μέσος τῶν Δελφῶν πόλις

μεσομφάλους· φιάλαι. Ἴων Ὀμφάλῃ (fr. 20) [23—25]

μεσοπαλές (Apoll. lex. 111, 28)· κραδαινόμενον ἐκ μέσου

μεσοπέρδην· μεσοφέρδην, τὸν μέσον [τὸν] φερόμενον. τὸ γὰρ παλαιὸν τὸ (sic) π̄ ἀντὶ τοῦ φ̄ ἐχρῶντο, προστιθέντες τὸ τῆς δασύτητος σημεῖον (932)

μεσοπερσικά (—αί)· ὑποδήματα γυναικεῖα [29]

μεσόρ(ρ)ομβος· δεσμός, παρὰ τοῖς ἰατροῖς

μεσοστροφωνίαι· ἡμέραι, ἐν αἷς Λέσβιοι κοινὴν θυσίαν ἐπιτελοῦσιν

μεσοφέρδειν· μεσολαβεῖν (927)

μέσπ†λη· ἡ σελήνη παρὰ Σκύθαις

μέσπιλα (Archil. fr. 169)· φυτόν τι

μέσσαβον (Hesiod. Opp. 467)· ἐξ ὠμοβοείων ἱμάντων, ᾧ τὸν ἱστοβοέα πρὸς μέσον τὸν ζυγὸν προσδέουσιν, ὅ τινες ἐχέβοιον

μεσσαῖον· τὸ ὑπὸ τοὺς τραχήλους ὑποτιθέμενον

μέσ(σ)αυλον· θυρωρόν. καὶ ἡ τῆς αὐλῆς θύρα. καὶ ἡ ἐν ἀγρῷ οἴκησις (Ω 29)

μεσ(σ)αύχενες (Aristoph. fr. CCXIII)· οἱ μέσον τοῦ αὐχένος δεσμευόμενοι (899)

μεσσηγύς (Hom.)· μεταξύ, μέσον [40—42]

†Μεσσήνη· ἡ ἀρινή

μεσσίδιος· μέσος. ἴσος

μεσσογενεῖς· οἱ ἐν μέσῃ ἡλικίᾳ γεγονότες

μεσ.οδόμα· γυνή. Λάκωνες (914. 16)

μεσ.οικέται· μέτοικοι. ἢ οἱ τὰς λαγόνας οἰκοῦντες

μέσ.οπα (Cretice)· ἱμάντα, τὸν περὶ τὸν ζυγὸν καὶ τὸ ἄροτρον δεδεμένον

μεσ.οπαλές (Φ 172)· τὸ ἐκ τοῦ μέσου κραδαινόμενον δόρυ

μεσσόπλουτον προσόψημα· (μέτριον)

(μεσσόπνουν ἆημα)· τὸ σκώληκα ποιῆσαν

†μεσσόρης· ὁ μέσος ὠκεανοῦ καὶ οὐρανοῦ τόπος

μεσ.οτύλαρον· αἰδοῖον

μεσ.όψηρον (Maced.)· ἡμίξηρον

μέσ.υι· ἐν μέσῳ. Αἰολεῖς

μέσ.ωρον· μέσον

μέσ.ωρος· μέσος

μεσσωτήρ· ὁ μεσιτεύων κατὰ τὸν ἀγῶνα [58. 59]

μέστακα (Aeoles)· τὴν μεμασημένην τροφήν

μέσφα (Θ 508 Callim.)· ἕως, μέχρι. καὶ ἀφ' οἵου χρόνου

μέσφ' ὅτε (Call. D. 195)· μέχρις ὅτε

COD. 903 μετὰ 6 νώτου 7 μηδ' ἑταίροις 10 cf. πέσκον 13 μεσόγηθος 14 γυμνή 15 καὶ μεσόδματα (κατᾶλιψ, κατῆλιψ καναφόρος πεντηκοντομέσοδμοι) 19 κουρᾶν 22 Ἰων 25 πεπηγώς 26 κραδι| 27 μεσύπερα ἦν, μεσύφερα ἦν 35 ἢ τὸν 41 μεσσηύς 47 cf. μετοικέται 53 cf. ψηροπυρῖται 54 μεσυΐ 56 μέσωρ

HES. 908 μεσηρροπῶν (Siracid. XXXIV 21)· μέσην ὁδεύων 9 μεσητίο(ι)σι· μέσοις (vox nihili) 16 μεσόδμα· γυμνή 23 μεσοναίολοι (M 167)· ἐπὶ τῶν σφηκῶν οἱ μέσοι στεφόμενοι 24 μέσον ἕρκος (Π 231)· τὸ μέσον τῆς αὐλῆς 25 μεσοπαγές (Φ 172)· ἕως μέσου πεπηγὸς τὸ δόρυ 29 μεσοπορῶν (Sirac. XXXIV 21)· μέσην ὁδεύων 40 μέσ(σ)η δὲ χίμαιρα (Z 181)· τὸ μέσον αἰγοπρόσωπον 41 Μεσσηΐς (Z 457)· κρήνη ἐν Θεσσαλίᾳ 42 Μέσσην (B 582)· πόλις Λακωνικῆς 58 μεστή (Nahu. I 10)· γέμουσα 59 μεστόν (Ezech. XXXVII 1)· πλῆρες

μέσωρα· ἐν τῇ δέκα ἐτῶν ἡλικίᾳ. καὶ παρήλικα. καὶ ἀγγεῖα, καὶ παίγνια, οἷς ἔχαιρον, καὶ τὰ ὅπλα, οἷς ἐχρῶντο καὶ παῖδες ὄντες, καὶ ἔφηβοι, καὶ τελειωθέντες ⟨Poll. VII 158⟩ [64]

μεταβαίνει· στρέφει. παρέρχεται. ἀναχωρεῖ [66]

μεταβοθρεύοντες· μεταφυτεύοντες. μετασκάπτοντες

μετάβολοι· πραγματευταί. καὶ (Μέταβοι)· οἱ Μεταπόντιοι παρὰ Ἰταλοῖς (barbari)

μετάβρασκος (Aeol.)· μέτριος ἑρμηνεύς [70]

μετάγει· μεταδιώκει. μετακινεῖται

μεταγενής (Menand. fr. I p. 114)· μεταγενέστερος [73]

μεταδαίσομαι· [ad 74] εὐ(ω)χηθήσομαι [75. 76]

†μεταδεῦσαν· μετάνοιαν ⟨1062⟩

†μεταδήα· μεταμελέτη

μεταδήμιος (θ 293)· ἔνδημος. τιμητικός. ἤ

μεταδοίης (Theognid. 921)· .... [80. 81]

μετάθεσις· μετάβασις [83—85]

μεταίτου· ἐπαίτου

μεταίφνιος· ἐξαπίνης

μεταιχμ.`, μοχθεῖ

μεταιχμίῳ (Aesch. Cho. 61)· μέσῳ τόπῳ πολεμοῦντες

μετακάρπιον· τῆς χειρὸς μέρος, τὸ μετὰ τὸν καρπόν

μετάκερας (Alexis)· τὸ εὔκρατον ὕδωρ, ἢ χλιαρόν (Athenienses) [92]

μετάκλησις· κλῆσις δι' ἑτέρου τινός

μετακλινθέντες· μετατραπέντες, ἢ μεταβαλλόμενοι

μετακοίνωνον κοινωνόν

†μετακόκκω· ἡμέραι μεθ' ἑορτῶν ἑορτὴ οὐκ ἔστι

μετακόνδυλοι· [τῶν κονδύλων], τὸ μεταξὺ τῶν κονδύλων

μετακύμιον (cf. Eur. Alc. 91)· τὸ μεταξὺ τῶν κυμάτων

†μετακύριον· φοινικόν

μεταλαβεῖν· μεταλαχεῖν

(μεταλαβών)· μετασχών ⟨970⟩

μεταλαγχάνειν (Plat. Civ. IV p. 429 A)· μετέχειν, μεταλαμβάνειν

μετὰ Λέσβιον ᾠδόν· (φασὶ τοὺς Λακεδαιμονίους) τοὺς ἀπογόνους τοῦ Τερπάνδρου ἀγαθοὺς ἡγουμένους εἶναι κιθαρῳδούς, πρώτους εἰς τὸν ἀγῶνα προσκαλεῖσθαι, (εἶτ') εἴ τις εἴη Λέσβιος ᾠδός

μεταλλᾶν· ἐρευνᾶν, ζητεῖν, ἐρωτᾶν [1004]

μεταλλεῖς· τῶν μυρμήκων τινὲς οὕτω καλοῦνται

μεταλλῖτις· γῆ τις [7—11]

μέταλλος· λίθος. Θάλασσα· προμνήστρια [13—15]

μεταμαθεῖν· μεταγνῶναι

μεταμείβων· μεταλλάσσων

μεταμέλειαν· μετάνοιαν

μεταμέμβλεται· μεταμελήσεται (cf. Τ 343)

μεταμήθεια· μετάνοια

μεταμορφοῖ· τὴν μορφὴν ἀλλοιοῖ

μεταμίξ· ἀναμίξ

μετὰ μίαν· ...... [23]

μεταμφιέσθαι· μετενδύεσθαι τὴν ἐσθῆτα ⟨Poll. VII 44⟩

†μεταμωλίας ἐμπόλεμον. μετὰ μάχης, καὶ φροντίδος

COD. 63 μεσώρα — δεκαετῶν — παρήλια 73 |π.σθη (cf. μετανεγνώσθη) 77. 78 cf. πεδαλευόμενος 79 ἢ μεταδότης 89 μεσοτόπῳ 90 μετακάρσιον 91 μετακέρας 94 |κληθ— 98 ἑορτὴν. ἑορτὴ δ' οὐκ? 1002 μεταλέσβιον ὑδὸν 5 καλεῖται 6 μετάλλεις τίς, γῆ τις 12 Obscura. 15 μεταμαζῶν 21 μεταμορφοῖον

HES. 64 μετά· ἔπειτα (Λ 48), μετὰ τοῦτο 66 μεταβαλών (Iob. X 8. 16)· μεταβάς. στραφείς 70 μεταβῶν· μετασχών ⟨1000⟩ 73 μεταγνώσθη (Soph. Ai. 716)· μετανεπείσθη Ad 74 μεταλάβω (Ψ 207) 75 μετὰ δέ (Hom.)· ἐν αὐτοῖς δέ 76 μετὰ δ' ἐτράπετο (Λ 199)· ἐπεστράφη δέ 80 μεταδόρπιος (δ 194)· δείπνου ὥρα, ἤγεν δείπνῳ 81 μεταδρομάδην (Ε 80)· μετατροχαζόντως 83 μεταΐξας (Φ 564 ρ 236)· μεταδιώξας 84 μεταίσιον· μεταχρόνιον ⟨μεταχρόνιον· μετάρσιον⟩ 85 μεταΐσεσθαι· μετελθεῖν. μεταγνῶναι ⟨1057⟩ 92 μετὰ κλέος ἵκετ' Ἀχαιῶν (Λ 227)· ἀκούσας τὴν κλίδωνα καὶ τὴν φήμην τῆς τῶν Ἀχαιῶν στρατιᾶς παρουσίας, ἦλθεν ἀφίκετο 1004 μεταλλᾷς· ἐπιζητεῖς (Κ 125) 7 μετάλλα (τ 115)· ἐπιζήτει 8 μεταλλεύει (Sapient. IV 12)· ζητεῖ. ὀρύσσει, ἀνασκάπτει 9 Μετάλλειον μύρον· Ἀριστοφάνης (p. 1161)· μεταπέμπου νῦν ταῦτα σπουδῇ καὶ μύρον, εὕρημα Μετάλλου. Μέταλλος γάρ τις Σικελιώτης τὴν τοῦ Μεταλλείου μύρου κατασκευὴν εὗρεν. μνημονεύει δὲ καὶ Φερεκράτης ἐν τῇ Πετάλῃ (fr. IV p. 322) ⟨471⟩ 10 μεταλλήξαντι· μεταβληθέντι. παυσαμένῳ (Ι 157) 11 μετάλλησαν· ἐπεζήτησαν (Ε 516) 13 μεταλλῶ (Λ 553)· ἐπιζητῶ 14 μετάλμενος· ἐφαλλόμενος (Ξ 443) 15 μεταμάζιον (Ε 19)· τὸ μεταξὺ τῶν μαζῶν, ἢ ὑπὲρ τῶν μαζῶν, ἢ τὸ μετὰ μαζῶν 23 μεταμίμων (Λ 423)· πρὸς τοὺς ἀγαθούς

μεταμώνια· μάταια (Δ 363). ἀνεμοφόρητα. ἀχρεῖα

μετανάσται (I 648)· μέτοικοι. φυγάδες. σύμμαχοι [28]

μετανεγνώθη (Soph. Ai. 716)· μετανεπείσθη. τὸ ἀναπεῖσαι ἀναγνῶναί ⟨q. v.⟩ φασι ⟨973⟩ [30]

μετανίπτρον ἢ μετανιπτρίς (Antiphan. com. III p. 76)· ἡ μετὰ τὸ δεῖπνον, ἐπὰν νίψωνται, διδομένη κύλιξ· οἱ δὲ τὴν ὑστάτην πόσιν [32]

μεταξύ· ἐξαίφνης. μετ' ὀλίγον [ad 33] [34]

μεταπείσεσθαι· μεταπεισθῆναι

μεταπεπεῖσθαι· μεταβληθῆναι

μεταπεσεῖν· ἀπὸ δόξης εἰς ἀτιμίαν πεσεῖν

μεταπέμπεται· μετακαλεῖται, μεταστέλλεται ⟨ex onom.⟩ [39]

μεταπλομένοισι· τοῖς ἐξ ἀνθρώπων γενομένοις θεοῖς

μεταπόντιος· διαπόντιος

μεταποιεῖται· μετασκευάζεται. φροντίζει. ἀντιποιεῖται

†μεταπορεύδην· ἐπελθών, μετελθών

μεταπρέπειν· ὑπερβαίνειν, ὑπερλάμπειν [45]

[LACVNA]

μετατροπαλίζεο (Υ 190)· ἐπιστρέφου

μεταψαλάσσειν· μετατιθέναι

μεταψαίρων (Eur. Phoen. 1390)· μεταφέρων

μεταψέφειν· μεταμελεῖσθαι

μεταψέφω· μεταβουλεύομαι

μετάψυξις· μεταπνοή [52. 53]

μέτειμι· μετελεύσομαι (Z 311)

μετεῖναι· προσήκειν (Thuc. V 47, 9). διαφέρειν

μετεισάμενος· [ad 56] ἐφορμήσας. (μεταμορφωθείς, 1098)

μετείσασθαι· πρὸς αὐτοὺς ἐλθεῖν (985). (μεταγνῶναι)

μετεκίαθε (Π 685 Call. Dian. 46)· μετῆλθε

μετεκίαθον (Λ 52. 713)· μετήρχοντο, περιήρχοντο, μετῆλθον (Σ 532), ἐπεδίωξαν (Σ 581)

μετελεύσομαι· μετακαλέσομαι. ἢ μετέλθω (Z 280?)

μέτελθε· ἄπελθε, μετάβα (non Φ 422)

†μετελύειν· μεταγινώσκειν, μετανοεῖν [63]

μετεμόσχευσε· μετεφύτευσε

μετ' ἐμφάσεως· φανερὸς ποιῶν

μετένδημος· μετάδημος

μετεξέτεροι (Iones)· ὃ ἡμεῖς φαμεν, ἔνιοι [68. 69]

μετεποίησε· μετεσκεύασεν [71]

μετερ(ρ)υθμωμένα (Democrit.)· μετεσχηματισμένα ⟨—ρυσμ—⟩

μετέρχεται (Eur. fr. 83)· ἀποδίδωσι

μετέρχομαι (Archil. fr. 43)· ἱκανῶς ἱκετεύω. ἱλάσκομαι. ἐπεισέρχομαι

μετεσσεύοντο· μετεδίωκον, ἐφώρμων [ad 75]

μετεστειλάμην· μετεπεμψάμην

μετέσχον· μετέλαβον [78—83]

μετεωρολέσχαι (Plat. Civ. 489 C Aristoph. p. 1106)· φλυαροῦντες τὰ περὶ οὐρανὸν μετέωρα

μετεωρολόγοι (Plat. Cratyl. 401 B)· μεγαλορρήμονες

μετεωροπόλων· τῶν τὰ οὐράνια σκοπούντων

μετέωρος· κοῦφος. ἐν[ν]εός

μετῇ· ἐξῇ

μετῄεισαν (Thuc. VIII 73)· ἱκέτευσαν

μετῆλθεν· ἐτιμωρήσατο. μετεμελήθη

μετῆκε· μετεμελήθη. ἱκέτευσεν [92]

†μέτην· μέσην. μετουσία ἦν (Eur. Phoen. 412) [94. 95]

COD. 27 cf. ὑπερανάστης 31 ἡ μετανιπτρὸν — ἐπαννίψονται 35 |σασθαι 46 |φουσαι 48 μεταψέρων 49 cf. ἀψεφές ἀψεφέων καταψέφει, οὐ μεταψέφεις, ψέφει 51 μετάμιξις 62 cf. μεταδεῦσαν μετῆλθε et πεδαλευόμενος 84 οὐρανῶν

HES. 28 μεταναστεύου (Ps. X 1)· μετέρχου, μετοίκει. καὶ τὰ ὅμοια 30 μετ' ἀνέρας (Π 209)· μετὰ τοὺς ἄνδρας 32 μετὰ νῶτα βαλών (Θ 94)· τὰ νῶτα (μεταβαλών) Ad 33 ἀνὰ μέσον (Α 156) 34 μετὰ πᾶσιν (Α 516)· ἐν πᾶσιν 39 μετὰ πληθύν (Β 143)· ἐν τῷ πλήθει 45 μεταπρίκτους (Β 376)· ἀπράκτους 52 μετάειμι· μετὰ σὲ ἐλεύσομαι (Z 311) 53 μετήεται· μεταπεποίηται, ἢ μεταποιεῖται ⟨μητίεται Cyr. 319⟩ Ad 56 μετελθών (Ρ 285) 63 μετ' ἐμέ (Θ 289)· πρὸς ἐμέ, ὡς ἐμέ 68 μεταιωρίζει· ὑψοῖ 69 μετέπειτα (Ξ 310 non Call.)· μετὰ ταῦτα 71 μετέπρεπεν (Β 579)· ἐκπρεπὴς ἦν Ad 75 ἐπ(επ)ορεύοντο (Z 296) 78 μετέπρεπεν (Β 579)· εὐπρεπὴς ἐφαίνετο 79 μετετροπάζετο (Υ 190)· μετεστρέφετο 80 μετέφη (Α 58)· προεῖπεν, ἐδημηγόρησεν 81 μεταιωρισθήσονται (LXX)· ὑψωθήσονται 82 μετέχμιον· ὁ μεταξὺ τῶν μαχομένων τόπος ⟨μεται—⟩ 83 μετέχων (1 Cor. X 30)· μεταλαμβάνων 92 μετήλλαξαν (Rom. I 25. 26)· μετήμειψαν 94 μετήορα (Θ 26)· μετέωρα 95 μετ' ἤχους (Ps. IX 6)· μετὰ κραυγῆς

μετίδοιτο· ὑπερίδοιτο, ἀτιμάσειεν, καταφρονήσειεν [97. 98]

μετιτῆλαι· αἱ ἐξ ἑκατέρου μέρους τοῦ ἅρματος ῥάβδοι (Poll. I 143)

μετ' ὄγμους· τὰς ἐπὶ στίχον φυτείας

μετοικέσιον· †τὸ ἐκ τόπου εἰς τόπον οἰκῆσαι

μετοικέται· κατὰ μέσον οἰκοῦντες (947)

μετοικίας (Thuc. I 2 Soph. Ant. 890)· παροικίας [ad 1103]

μετοίκιον (Xen. Vect. II 1)· τέλος οὕτως ἐκαλεῖτο, ὃ ἐτίθεσαν ἐν τῇ πόλει, δραχμὰς (δώ)δεκα· τῷ δὲ τελώνῃ τριώβολον

μέτοικοι· οἱ ἐνοικοῦντες ξένοι ἐν τῇ πόλει, καὶ τελοῦντες ἀνὰ δραχμὰς δώδεκα τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον. μετανάσται δημόσιοι

μετοίχεσθαι· ἀπελθεῖν, πορεύεσθαι, μετελθεῖν

μετοκλάζει (N 281?)· γονατίζει [8]

μετοκωχή· μετοχή. ἐποχή. ἡ ὀχεία

μετόπιν (Soph. Phil. 1189)· κατόπισθεν

μετόν (Ar. fr. IX p. 1106)· ἐξόν. προϋπάρχον

μετόπισθεν· ὕστερον [ad 12]

μετόπωρον· μετὰ τὴν ὀπώραν, τροπὴ μετὰ θέρος [14]

†μετουσῶ· περιβλέπω, ἀφορῶ, ἀποβλέπω [16]

μετοχετεύσας· μεταγαγών

μετοχή· κοινωνία. σχέσις [19]

μετρεῖ· δανείζει. καὶ μετρεῖσθαι, δανείζεσθαι (Hesiod. Opp. 322 = 349)

μετριάζει· μετριοφρονεῖ

μέτριοι· ἐπιεικεῖς. μικροί, εὐτελεῖς. καὶ οἱ μεμετρημένην οὐσίαν ἔχοντες

μετριοπαθής· μικρὰ πάσχων. ἡ συγγινώσκων ἐπιεικῶς

μέτρον· πέρας. ἢ ἄλλο τι ὡρισμένον [25]

μέττον (Boeot. Cret.)· μεῖζον

μεττρία (Cret.)· εὔθυνα ἄρχοντος γεγονότος (370)

μετώπιον (Λ 95)· τὸ μέρος τῶν ὀφρύων

μετωπίς· ἰατρικὸς ἐπίδεσμος [30]

μέχρι· ἕως τινός

μὴ ἄν· ἀντὶ τοῦ οὔ [33—35]

μηδαμινός· ἄτιμος

?μῆδειν· μὴ ἐσθίειν [38. 39]

μὴ δαπανῶμεν· μηδ' εἰς δαπάνην ἐμβάλλωμεν

μήδεα· βουλεύματα· (B 340)

ἐμ πυρὶ δὴ βουλαί τε γενοίατο μήδεα τ' ἀνδρῶν

καὶ τὰ αἰδοῖα· (σ 87)

μήδεά τ' ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι

μηδὲ λόγον ἔχειν (Theopomp. hist.)· μὴ φροντίζειν [44. 45]

μήδεσθαι· τεχνήσασθαι. βουλεύσασθαι

μήδεται· [ad 47] τεχνάζεται [48]

μηδ' ἕτερος· μηδὲ εἷς

μήδετο· ἐφρόντιζεν. ἐτεχνάζετο. ἐβουλεύετο (X 395)

μὴ δὴ οὖν· μηδαμῶς οὖν

μὴ δῆτα (Soph. OC. 175)· μηδαμῶς (1138) [53—55]

μηδιᾷ (Cret.)· γελᾷ [ad 56]

Μηδικοὶ ὄρνεις· Μῆδοι ἀλεκτρυόνες

Μηδικὴ πόα (Ar. Eqq. 606)· ἡ τρίφυλλος. οἱ δὲ λωτὸν κτήνεσιν ἁρμόζοντα

Μηδινεύς· Μηδεύς παρὰ [ad 59] παρὰ δὲ Λυδοῖς ὁ Ζεύς [ad 59]

μήδιος· μαλακός (μήλιος?). καὶ βοτάνης εἶδος. καὶ λίθος τις Μηδιάτης [61—63]

COD. 96 μεταφρ| 1104 δραγμὰς ι' 5 δραγμὰς ιβ' (13 μεθο—) 15 cf. ἀποσσοῦν 27 μέτρια (h. e. μαστρία)· εὐθηνὰ |ες bis 37 μηδεῖν 41 ἐμπυρίδι βουλεύεται γένοιτο — μήδεατεξερύσασλα ἢ κυσὶν ἅμα δάσους 48 μὴ δὲ τ' ἀρωνῆ, μὴ δὲ βοηθήση. μὴ δὲ ταρῶντες μηδὲ β| 49 μὴ δ' — μὴ δὲ 55 μὴ δὲ 58 μηδικὴ

HES. 97 μέτειμι (Z 341, non Boeot.)· μετελεύσομαι (1054) 98 μετεισάμενος· μεταμορφωθείς (1056) Ad 1103 αἰχμαλωσίας (III Regg. VIII 47) 8 μέτειμι· λιτανεύω, ἱκετεύω Ad 12 , μετὰ ταῦτα (Λ 82), ὕστερον. ἡ ὄπισθεν (O 672) 14 μέτοποι· ἄνδρες (μέροπες an מהם?) 16 μετῴχετο (E 148)· ἐπορεύετο 19 [μετα]μέτρια· ἁρμόζοντα 25 μέταυλον (Moer. 264)· μέσαυλον 30 μεύει· κοιμᾶται (μύει) 33 μὴ ἀπώσῃ (Ps. CXVIII 10) 34 μὴ ἀποσκορακίσῃς με (Ps. XXVI 9)· μὴ ἀποδιώξῃς με. μὴ ἀποδοκιμάσῃς με 35 μὴ δαζεόθουρον Ἄρημα (E 830)· μὴ δὲ ἐντρεπούντων πηλίκον ἀέρα 38 μηδαμῶς· μὴ δῆτα (1152) 39 μηδαπὴ γῆ· ἰδία (ἡμεδ—) 44 μήδεο (B 360)· βουλεύου 45 μηδὲ πόδας (I 523 paraph.)· μηδὲ τὴν ἄφιξιν καὶ τὴν παρουσίαν Ad 47 βουλεύεται (Φ 413) 48 μηδ' ἐπ' ἀρωγῇ (Ψ 574)· [μηδὲ βοηθήσῃ] μηδετέρῳ [τες μηδὲ] βοηθοῦντες 53 μηδόμενος· ποιῶν. βουλευόμενος 54 μὴ δόξῃ σοι· μὴ νομίσῃ σοι 55 μηδοτιοῦν· μηδέ τί ποτε Ad 56 καὶ ὄνομα ἡρωϊδός (Μήδεια) Ad 59 [μηδοτιοῦν. μηδαπλῶς.] — [ζεῦσις] 61 μηδώησοι (Λ 324)· μὴ δῷ 62 μὴ ἐπαίρου (Prov. III 5)· μὴ ὑπερηφανοῦ 63 μὴ ἐφικνούμενοι (II Cor. X 14)· μὴ καταλαμβάνουσι

Μήθυμνα (Call. Ep. XVI 3)· *πόλις Λέσβου*

Μηθυμναῖος· ὁ Διόνυσος

Μηθών· πόλις [67. 68]

μηκάδες (*Λ* 383 *Ψ* 31)· *ἢ αἱ μηκώμεναι αἶγες, ἢ κραυγάστριαι. ἔνιοι δὲ τὰς κερατώδεις· μῆκα γὰρ τὰ κέρατα. Ἀππίων δὲ τοκάδας*

μηκᾶσθαι· κράζειν ὡς αἴξ

μηκᾶται· τοῖς ἐρίφοις ἴσως κράζει

μηκεδανόν· μακρόν [73]

μήκιστα (*ε* 299. 465)· *μέγιστα, ὑπερμεγέθη, ἔσχατα*

μῆκος· μάκρος [76. 77]

μὴ κοτήσῃ· μὴ ὀργισθῇ

μήκυνον· αὔξανον, μάκρυνον

μήκωνες· πόα τις λήθην ἐμποιοῦσα. καὶ τὰ τῆς πίν(ν)ης περιττώματα καὶ τῶν ὁμοίων (Aristot. HA. IV 4). *καὶ μέρος* (*v. κρατηρίσκοι*) *καὶ ὕφασμα βύσσινον. καὶ οἱ ἄγριοι* (ad *Μήκωνος ἀγροικία*). *καὶ ἡμεροπίτυς*

μῆλα· κοινῶς μὲν πάντα τὰ τετράποδα· ὅθεν καὶ πᾶσα βύρσα, ὅ ἐστι πᾶν δέρμα, μηλωτὴ λέγεται. κατ' ἐπικράτ(ε)ιαν δὲ τὰ πρόβατα καὶ αἶγες. καὶ παντὸς δένδρου καρπός, ἐξαιρέτως δὲ τῆς μηλέας. πάντα τὰ δένδρα

μηλατάν· τὸν ποιμένα. Βοιωτοί ⟨1198⟩

μηλαφῆσαι· ψηλαφῆσαι

†*μηλεανορεῖ· δημηγορεῖ* ⟨*μὴ λεαγορεῖ*⟩

Μηλιάδες· νύμφαι

†*μήλιαι· ἀστράγαλοι* ⟨667⟩

μηλοβοτεῖ· ποιμαίνει

μηλοβοτῆρες· ποιμένες, οἱ τὰ μῆλα νέμοντες (cf. *Σ* 529)

μηλόβοτος (Lycurg.)· *τόπος ἀνειμένος προβάτων εἰς βρῶσιν* [90]

μηλολόνθη (Aristot. HA. I 5, 4)· *εἶδος κανθάρων, οὓς τινες χρυσοκανθάρους λέγουσι* (Herod. Chol. fr. 1)

μηλονομεῖς· ποιμένες

μηλονομιαῖον· ἐννόμιον

μήλοπα (*η* 104)· *μηλοειδῆ τῷ χρώματι. τοιοῦτος γάρ ἐστιν ὁ πυρός* [95]

μηλοσόη· ὁδός, δι' ἧς πρόβατα ἐλαύνεται. Ῥόδιοι

μηλοσφαγίαι· θυσίαι προβάτων

μηλόται· ποιμένες ⟨1182⟩

μηλοφόροι (Ctesias?)· *θεραπεία Περσικὴ τοῦ βασιλέως*

?*μηλόβαι· μηλοβάται. ποιμένες*

μήλῳ βαλεῖν (Ar. Nub. 996 Theocr. V 89)· *πτοῆσαί τινα, καὶ εἰς ἔρωτα ὑπαγαγέσθαι*

μήλωθρα (Seleucus)· *βάμματα. οἱ δὲ τὸ τῶν δερμάτων βάμμα. ἄλλοι τὸ πρόστυμμα τῆς πορφύρας. οἱ δὲ καλλωπίσματα* [1203]

μηλών· τὰ ἀκρόδρυα: ἢ βάπτων ⟨*μηλῶν*⟩

Μήλων Ἡρακλῆς· ὀνομασθῆναί φασι τὸν θεὸν οὕτως διὰ τὸ μὴ ἱερεῖα θύειν αὐτῷ τοὺς Μελιτεῖς, ἀλλὰ τὸν καρπὸν τὰ μῆλα

μηλῶσαι (Phrynich. fr. IX p. 604)· *τὸ τὴν μήλην καθεῖναί που. καὶ ἐν τῷ ἐμεῖν καθιέντας τι εἰς τὸ στόμα καταμηλοῦν. καὶ τὸ τὰ βαπτόμενα ἔρια πιέζειν εἰς τὸ χαλκίον*

μηλωτή (Philemo p. 9)· *διφθέρα* [8—12]

μηναγύρτης· ὁ ἀπὸ μηνὸς συνάγων [*πανήγυρις*]

μήνατο· ἐμήνατο, ἐμάνη. ἤρατο

μῆνες· ἡμέραι .....

μήνη (*Ψ* 455)· *σελήνη* [ad 16] [17. 18]

μήνιγγα· ἐγκέφαλον

μῆνιγξ· ὑμὴν τοῦ ἐγκεφάλου. καὶ τὸ ὑφιστάμενον τοῖς οἰνηροῖς πίθοις ἐν τῷ οἴνῳ πρὸ τοῦ ἀνθεῖν. ἐπίπλους. καὶ δημός

μήνιε· ὀργίζου

COD. 69 *μὴ κοιμώμεναι αἶγαι* 72 *μικρόν* 75 *μακρός* 78 *κοτίσῃ* 81 *ἐπικρατίαν* 83 cf. *μαλαφῶν, ὑπομηλαφῆσαι* 88 |*ότειρες* 94 *μηλοειδ.ς* 96 cf. *μαλόσα* et *διακαλαμάσαρχες* 1201 *μηλοβαλεῖν* 2 *πρόστριμμα* 4 *μήλων* 5 cf. *Ἡρακλέους θυσία* 6 *καθῆναι — τῷ ἐλεῖν — χάλκιον* 9 *ἀπεγραμμένοις* (14 cf. Anth. Pal. IX 35, 1) 20 *μήνιγξ, ὑμὶν — δῆμος*

HES. 67 *μῆκα· κέρατα* ⟨1169⟩ 68 *μηόνῃ* (*Δ* 141)· *βάψει* 73 *μὴ κεῦθε* (*Α* 363)· *μὴ κρύπτου* 76 *μὴ κοίνου* (Act. Ap. X 15)· *μὴ ἀφάνιζε. μὴ μίαινε. μὴ ἀκάθαρτον νόμιζε* 77 *μῆκος δέπορ Ἄρτελις ἁγνή* (*υ* 71)· *τὸ τῆς ζώνης. αὕτη γάρ ἐστιν ἐπὶ τῶν θηλειῶν* 90 *μῆλον· πᾶς καρπός* 95 *μήλοπα καρπόν* (*η* 104)· *τὸν πυρόν, ὅτι μηλοειδής.* [*καὶ μήλη τὸ ἐργαλεῖον, ἐφ' οὗ τὴν κρόκην ἔτριβον*]. *οἱ δὲ τὸ ἔριον, ἐπειδὴ καρπός ἐστι τῶν προβάτων* 1203 *μήλων* (Hom.)· *προβάτων* 8 *μή με* (*Α* 32)· *μηδαμῶς με* 9 *μὴ μὲν δὴ καθαρῷ θανάτῳ* (*χ* 462)· ⟨*ὁ*⟩ *δι' ἀγχόνης θάνατος οὐκ ἔστι καθαρός, ἀλλ' ὁ διὰ ξίφους, ὅθεν οὐδὲ ἐναγί[α]ζουσι τοῖς ἀπαγξαμένοις* 10 *μημωτά· ψεκτά* ⟨*μωμητά*⟩ 11 *μή μ' ἐρέθιζε* (*Α* 32)· *μή με παρόξυνε* 12 *μήνα* ⟨*μήτρα*⟩· *τὸ μέσον τοῦ ξύλου, ὅπερ καρδία καὶ ἐντεριώνη* Ad 16 *καὶ μήνης ἔμμονος καὶ περιτεταμένη ὀργή* 17 *μηνιάσας· ὀργισθείς* ⟨1225⟩ 18 *μήνιγμα* (Sirac. XL 5)· *μῆνιν*

μηνίειν (Herod. VII 229)· ὀργίζεσθαι
μηνιθμός (Π 62?)· ὀργή
μήνιμα (Χ 358 λ 73)· μῆνις, ὀργή, χολή, κότος ἐπίμονος, μέμψις. Ἀπίων, μάνης· οἱ γὰρ ὀργιζόμενοι μαίνονται [25]
μηνίσκοι (Ar. Avv. 1144)· τὰ ἐπὶ ταῖς κεφαλαῖς τῶν ἀνδριάντων τιθέμενα, ἵνα μὴ τὰ ὄρνεα ἐπικαθέζηται. καὶ τὰ χαλκώματα τὰ τῶν πηδαλίων [ad 26] περιτραχήλια, [ad 26] περιδέραια [27]
μηνοειδές (Herod. VIII 16 Thuc. II 76)· σεληνοειδές [29]
μηνύειν· κηρύσσειν [ad 30]
μηνύεσθαι· μηνυτρίζεσθαι
μηνυθῆναι· [ad 32]
μηνύεται· μηνυτρίζεται, μήνυτρα δίδωσι
Μηνυτής· Ἡρακλῆς ἐν Ἀθήναις [35—40]
μὴ ὅτι· μήτιγε
μὴ οὖσα δίκη (Dem. 543, 14)· οὕτω λέγονταί τινες οὐκ οὖσαι δίκαι, μὴ οὖσαι [43]
μὴ παιδὶ ξίφος· παροιμία [45—47]
μὴ 'π' ἀεχηνίῃ τρέπειν· μὴ αἰτιῶ τὴν πενίαν, ὅτε δέηται ....
μὴ 'πίσειέ μοι (Eur. Or. 255 et Alex. com. III 383)· μὴ ἐπίσειέ μοι [50]
μήρια (Α 40)· τὰ ἐκ τῶν μηρῶν ἐξαιρούμενα ὀστᾶ [52]
μήρινθος (Ψ 869?)· δεσμός, σχοινίον σπάρτης, βρόχος
μῆριγξ· ἄκανθα, γινομένη ἐν τοῖς ἐρίοις τῶν προβάτων
Μηρός· τόπος ἀμπέλου, καὶ ξύλον (cf. Apollod. Poliorc. p. 46 B), καὶ τὸ τῆς καλάμης κῶλον. καὶ ὄρος (Theophr. IV 4, 1)
μήρυκες (Arist. HA. IX 37, 6)· ἰχθύες [57]
μήρυμα (Nic. Th. 160. 265)· σπείραμα. ἢ ἐκτεινόμενον [59—61]
[ad 62] κάταγμα, ἢ σπάσμα ἐρίου
μησαμένη· βουλευσαμένη
μήσατο (Eur. Phoen. 799)· εἰργάσατο, ἐτεχνάσατο [65. 66]
μῆστο· (ἐ)βουλεύσατο
μήστωρ (Ρ 477)· βουλευτής. ἔμπειρος. πολεμιστής. ἐριστής. ἐπινοητικός, φρόνιμος [ad 68]
μήστωρα φόβοιο (Ζ 97)· ἔμπειρος πολέμου [70]
(μήστωρι· βασιλεῖ, φρονίμῳ) 1613
μήτεα· μητίματα
μήτειρα (Ξ 259?)· φρονίμη. καὶ ἡ μήτηρ [73—76]
μή τευ μελαμπύγου τύχοις (Archiloch. fr. 109)· μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχοις [77]
μήτηρ· ἡ πρεσβυτάτη πᾶσα [79—82]
μητίεται· βουλεύσεται (cf. Apoll. Rh. I 665) [84]
μητιέτης· βουλευτής [86]

COD. 26 τετραχήλια 27 μηνιῶ 42 οὖσαι κδίκαι 43 εἴθε, μὴ ὄφελες 48 πασχηνίῃ — αἰτιοῦ 49 πίσει ἐμοί, μὴ ἐπίσει ἐμοί 51 τὰ ἐπὶ 53 cf. σμήρινθοι, μίρυνθος 54 cf. σμῆριξ 56 μήριχες (cf. βῆρυς) 57 μ.ριχίζει 58 μήρυγμα 68 μῆστορ ης 76 μήτ' εὐμε| 81 ὁ εἰς τέχνητεις

HES. 25 μηνίσας (Ε 178)· ὀργισθείς Ad 26 ὑμένες (1394) πέταλα ⟨μήνιγγες⟩ — μανιάκια (Iesai. III 18) 27 μηνιῶ (Ierem. III 12)· ὀργίζομαι 29 μῆνος· κότος. ἔμμονος ὀργή Ad 30 [ζητεῖν] Ad 32 βούλεσθαι 35 μηνύριζε (Ε 889)· θρηνώδης ὁ φθόγγος ⟨μι—⟩ 36 μή νύ τοι (Α 28)· μὴ δή σοι, οὐδαμῶς γάρ σοι 37 μὴ νῶϊν (σ 13)· μὴ ἡμῶν 38 Μῄονες (Κ 431)· Λυδοί. (Κύπριοι) 1428 39 Μῃονίς (Δ 142)· Λύδη. Μηι.α γὰρ ἡ Λύδη (1168) 40 μηονέκτης· ὁ ἐλαττῶν ⟨μει—⟩ 43 μὴ ὄφελες (Ι 698)· εἴθε μὴ ὤφειλες 45 μὴ πάνχυ (Ε 24)· μὴ παντελῶς 46 μὴ παραζήλου (Ps. XXXVI 1)· μὴ ὁμοιοπαθεῖς 47 μὴ παραρύεις (Prov. III 21)· μὴ ἐκπέσῃς. ἐκ μεταφορᾶς τῶν ὑδάτων 50 μήπως (Ε 250)· μήποτε 52 μήριθμος· δέλτος (μέρμιθος· δεσμός). ἢ μήρινθος 57 μηρυκίζει· μαρυκᾶται (rec.) 59 μηρινθίῳ (Ψ 854)· σπάρτῳ 60 μηρυομένη (Proverb. XXXI 13)· ἐκτεινομένη 61 μηρύσαντο (μ 170)· συνέστειλαν Ad 62 μήρισμα· 65 μή σε (Α 26)· μηδαμῶς σε 66 μή σε γέρον (Α 26)· οὐδαμῶς σε πρεσβῦτα Ad 68 [μήστωρ μέν] 70 μήστωρες ἀϋτῆς (Δ 328)· ἐργάται μάχης, κραυγῆς, βοῆς 73 μὴ τέκταινε (Prov. III 29)· μὴ ἐργάζου, μὴ κατασκευάζει [μὴ κατὰ] 74 μητέρα θηρῶν (Θ 47)· πολλὰ θηρία ἔχουσαν 75 μητέρα μήλων (Β 696)· πολυθρέμμονα 77 μητέρι (Ζ 87)· μητρί 79 μήτιγε (I Cor. VI 3)· πόσῳ γε μᾶλλον 80 μήτι ἐγώ (Matth. XXVI 22)· ἆρά γε ἐγώ 81 μητίετα Ζεύς (Α 175)· τεχνίτης σοφός, βουλευόμενος ἄριστα 82 μητιέτης· βουλευτής 84 μήτη (Ψ 316. 318)· βουλή 86 μητιόωσα (Ο 27)· φροντίζουσα, βουλ(ευ)ομένη

Μῆτις (Hom.)· σύνεσις. βουλή. τέχνη. γνώμη. δόλος, ἀπάτη. καὶ ἡ θεός [88]

Μητίχου τέμενος [ad 89]

μήτρα· εἶδος σφηκός. καὶ τῶν ξύλων τὸ ἐντός, ὃ καρδίαν τινές, ἡ ἐντεριώνην καλοῦσι (Aristot. Theophr.). καὶ ὁ κλῆρος ὑπὸ Σολέων, ὡς Κλείταρχος. καὶ ἡ τῆς γυναικός [ad 90]

μητραλοίας (Aesch. Eum. 210)· ὁ τύπτων τὴν μητέρα αὐτοῦ [92]

μητροπόλους· τὰς πάλαι Μελίσσας

μητρὸς μέθυ (Eur. Alc. 757)· τῆς ἀμπέλου [95—97]

μὴ φέρειν· ἀντὶ τοῦ μὴ λαμβάνειν. διὸ καὶ μισθοφόρους λέγουσι τοὺς μισθοὺς λαμβάνοντας καὶ μισθοὺς φερομένους

μὴ φωραθῇς· μὴ ἐλεγχθῇς

μηχαναί· τέχναι. ἐπίνοιαι. βουλεύματα. ἅμαξαι. συμπεράσματα. καὶ ὄργανά τι(να) μηχανικά, ἐν οἷς προσδεσμούμενα τὰ κτήνη ἀλήθουσιν

μηχανόωντα· βουλεύοντα (σ 142?)

μηχανορ(ρ)άφος (Eur. Andr. 1116 Soph. OT.)· κατασκευαστής, ἐπινοητὴς κακῶν

μηχανώματος· διοζώματος

μῆχαρ (Aesch. Suppl. 394)· μηχάνημα. ὄφελος [1305]

μιαίνει· μολύνει [7]

μιαιφόνον (Eur. Andr. 335)· αἷμα φονικόν

μιᾷ μαχαίρᾳ (Ar. Ach. 849)· τὴν λεγομένην κῆπον κουρὰν μιᾷ μαχαίρᾳ ἐκείροντο [10]

μία λόχμη οὐ τρέφει (δύο) ἐριθάκους

μιαρά· μεμιασμένα, ἀκάθαρτα

μιαραὶ ἡμέραι· τοῦ Ἀνθεστηριῶνος μηνός, ἐν αἷς τὰς ψυχὰς τῶν κατοιχομένων ἀνιέναι ἐδόκουν

[ad 14] αἵματος ἀκαθάρτου (ad μιάσματος)

μίασμα ἢ μιασμός· μῶμος, ῥύπος, μολυσμός, ἀκαθαρσία, μιαρότης

μιάστωρ (Trag.)· μυσαρός. λυμεών

μία χελιδών (Aristot. Nicom. I 7, 16)· παροιμιῶδες τοῦτο, ὅτι μία χελιδὼν ἔαρ οὐ ποιεῖ. βούλεται δὲ εἰπεῖν, ὅτι μία ἡμέρα τὸν σοφὸν οὐκ ἐᾷ εἰς τελείωσιν ἐμβάλλειν, (ἢ) εἰς ἀμαθίαν

†μιαχρόν· καθαρόν

†μίαχος· μίασμα. ἀσέβημα. τίθεται δὲ καὶ ἐπὶ τοῦ δυσώδους

μιγάδες (Isocr. p. 45 C)· τὸ ἐκ πολλῶν ἄθροισμα ξένων [21]

μιγάς· μεμιγμένος [23. 24]

μίγδην· ἀναμίξ, ὁμοῦ ἐν ταὐτῷ (h. Merc. 491)

†μιγδηράζειν· ὑβρίζειν [27]

Μίδα θεός· οἱ ὑπὸ Μίδα βασιλευθέντες ἐσέβοντο καὶ ὤμνυον τὴν Μίδα θεόν, ἣν τινες μητέρα αὐτοῦ ἐκτετιμῆσθαι λέγουσιν

μίδας· κυβευτικοῦ βόλου ὄνομα (Eubulus). καὶ θηρίδιόν τι, διεσθῖον τοὺς κυάμους (Theophr. C. Pl. IV 16). καὶ ὁ πλούσιος, ἀπὸ Μίδα τοῦ βασιλέως

μιεῖν· ἐσθίειν (μνίειν?)

μιῆναι· μιᾶναι, ῥυπῶσαι [32]

μιῆς χθονός· τῆς αὐτῆς γῆς

μίθρας· ὁ ἥλιος, παρὰ Πέρσαις

Μίθρης· ὁ πρῶτος ἐν Πέρσαις θεός

†μίθρος ἢ μίθρους· συζευγνυμένους

†μίκαι· λάχνα, ὄμβρια (σκίμβρα)

μίκας· μικρολόγος

†μίκλας· αἶγας (μηκάδας?)

μίκρ' ἄττα (Ar. Nubb. 630)· μικρά τινα

μικρολόγος· ἀκριβής. φειδωλός [ad 41]

μικρόρ(ρ)ωξ· μικρόβοτρυς

μικρόψυχος· δειλός

μικροῦ (δεῖν)· παρὰ μικρόν

COD. 89 μητιχουτεμένος 90 μητέρα — σολ.ων (cf. μῆνα); Κλέαρχος? 92 μητροπάτορος 94 μέθυσις 1305 μῆχας 8 αἷμα μιαιφονικόν 9 μιαιμάχαιραι — κ. πονκουρὰν μιαιμάχαιραι 11 μιαλόχμη, οὐ τρέφει ἀγριθάκους 13 |ουμένων 15 μιὰς ἢ 16 λυμαίων 17 μιᾶ, χελιδὼν 28 μιδάθεος, οἱ ὑπόμιδα — ἐκτετιμεῖσθαι 33 μιησχθόνος 37 cf. μίρεα, μίμαστα (38 μικᾶς?) 40 μικράττα, μικρατινά

HES. 88 μή τι φόβον δ' ἀγόρευε (E 252)· μηδέν μοι περὶ φυγῆς διαλέγου Ad 89 εἴη ἂν τὸ Μητιχεῖον δικαστήριον μέγα, †ὃ †προσεκλήθησαν ...... δικασταί (Append. prov. p. 434) Ad 90 καὶ κεφαλῆς διάδημα βαρβαρικόν (ad μίτρα) 92 μητροπάτωρ, ὃς (Λ 224)· τῆς μητρὸς πατήρ 95 μητρὸς Ἐρινύες (λ 279)· αἱ διὰ τὴν μητέρα εὐξαμένη(ν) ἐπήκοοι γενόμενοι 96 μητρωίαι (B 662)· μητρὸς ἀδελφοί (non Herod. IV 80) 97 μὴ ὑπερίδῃς (Ps. LIV 1)· μὴ καταφρονήσῃς 1305 μῆχος (I 249)· μηχανή 7 μιαιφόνος· μεμιασμένος τοῖς φόνοις (E 844) μεμολυσμένος φονεύ[σι]ς 10 Μίανδρος· ποταμός Ad 14 μιαρός (Ω 420)· μεμολυσμένος 21 μιγαζομένους (Θ 271)· μισγομένους 23 μίγδα (ω 77)· ἀναμίξ, μεμιγμένως 24 μίγδαλοι (Θ 437)· ἀναμεμιγμέναι 27 μιγέωσιν (B 475)· μιχθῶσι 32 μιηνῇ (Δ 141)· βάψει. μολύνει, ῥυπώσει Ad 41 εἰδώλω φίλος

μικύθινον· τὸ μικρόν. καὶ νήπιον

μῖλαξ· ἡλικία. ἔνιοι δὲ μέλλαξ· καὶ παρ' Ἑρμίππῳ ἐν Θεοῖς (fr. X), ἀγνοήσας Ἀρτεμίδωρος· ἐκεῖ γὰρ μῖλάξ ἐστιν. δηλοῖ δὲ τὸν δημοτικόν ⟨637⟩ [47—58]

μιλτοπάρῃοι (B 637)· μιλτόπρῳροι· τὰ ἑκατέρωθεν τῆς πρύμνης καὶ πρῴρας μεμιλτωμένα ἔχουσαι. οἱ δὲ αὐτοὶ καὶ φοινικοπάρειοι ἐλέγοντο

μίλτος· εἶδος ἐρυθρὸν σινωπίδος

μιλτῶ· πλύνω

μιλτωρυχία (Amips. fr. III p. 707)· τόπος, οὗ μίλτος ὀρύσσεται

μιλτῶσαι· βάψαι

Μιλύτης· Ἀφροδίτης ⟨v. Μυλίταν⟩

μιμα(ί)κυλον (Aristoph. inc. VIII)· ὁ καρπὸς τοῦ κομάρου ⟨q. v.⟩. ἔστι δὲ ὡς μέσπιλον μικρόν, πυρρόν

Μιμαλλόνες (Callim. fr. CCCCI)· Βάκχαι. †βοαὶ δρόμοι

μιμά⟨ί?⟩ξασα· χρεμετίσασα. φωνήσασα ⟨1378⟩

†μίμαρ· ἀναιδές [69]

μίμαρκυς· κοιλία καὶ ἔντερα τοῦ ἱερείου μεθ' αἵματος σκευαζόμενα. μάλιστα δὲ καὶ ἐπὶ λαγωῶν αὐτῇ ἐχρῶντο· ὁτὲ δὲ καὶ ἐπὶ ὑός. ὁ δὲ Φερεκράτης παίζων (fr. XV p. 340) καὶ ἐπὶ ὄνου φησί

Μίμας· ὄρος †Αἰτωλίας ⟨Philol. XVI 529⟩

†μίμαστα· ἄγρια λάχανα ⟨1337⟩

μιμαυλεῖν· μιμεῖσθαι. ὑποκρίνεσθαι

?Μίμαλις (Call.)· ἡ νῦν Μῆλος ⟨791⟩ [75. 76]

μιμηλόν· ὅμοιον, ἐξομοιοῦν. παρὰ τὸ μιμήσασθαι

μιμιχμός· τοῦ ἵππου φωνή ⟨1367⟩ [79]

μιμνάζετε· μίμνετε. μένετε [81. 82]

μιμνήσκει· μνημονεύει [84]

†μιμορτοβία· ναῦς, ἢ ἄνθρωποι βεβήκασιν ⟨1690⟩

μίν (Z 417)· αὐτόν, αὐτήν (η 67), αὐτό (A 237). τρία γένη δηλοῖ [87—89]

†μινδαλόεσσας· ἀριθμός. καὶ τὰ περὶ οὐράνια σύνταξις. Βαβυλώνιοι

μίνδαξ (Amphid. fr. p. 311)· θυμίαμα ποιόν

μίνθα· τὸ ἡδύοσμον ⟨1414⟩. καὶ †ἀνθρωπεία κόπρος [93. 94]

Μινύαι· οἱ Ὀρχομένιοι, καὶ Μάγνητες

μινυανθές (Nic. Th. 522)· πόα ἄσφαλτος. καὶ τρίφυλλον

μινύζηον· ὀλιγόβιον [98]

μινύθειν· ἐλαττοῦσθαι [1400]

μινύθουσιν· φθείρουσι(ν), ἐλαττοῦσι, μειοῦσιν, ἀφανίζουσιν

μίνυνθα· ἐπ' ὀλίγον χρόνον, ὀλιγοχρόνιον·
μίνυ(ν)θα δ' ἐχάζετο δουρός (Λ 539)
ἐπ' ὀλίγον δὲ ἀπείχετο μάχης [3]

μινυνθαδία, ἡ σελήνη. ἀπὸ τοῦ μινύθειν [5. 6]

μινύον ⟨1414⟩· τὸ βλίτον λάχανον, ἢ κινάβαρ(ι)

†μίνυρες· κλίναι. μάντεις ⟨v. πύξ⟩

μινύρεται (Soph. OC. 671)· κλαίει, θρηνεῖ, ὀδύρεται

μινυρίζει· ὀλίγῃ φωνῇ καὶ οἰκτρᾷ χρῆται. ἢ εὐφώνως λέγει

μινυρομένη (Ar. Eccl. 880)· θρηνοῦσα. καὶ τὰ ὅμοια

μινυρόν· μικρόν, ὀλίγον τῇ φωνῇ μινυρίζον

μινύρονται (Sept. Aesch. 123)· προφωνοῦσι, προλέγουσι [14]

COD. 46 μίλαξ — μέλλα (cf. κέλλικας) 50 ϛ οἱ δὲ ϛ ὑποδῶν δ' 59 μιλτοπάριοι 64 μιλίτης 66 cf. ἡμιμάλλονες et κλώδωνες ⟨68 [μίμαρ· ἀ] ναίδες ad 1366?⟩ 70 μιμάρκυς — υἱὸς ⟨72 L. μίμας· τὰ⟩ 77 ἐξόμοίου 80 |τε ter 90 ἀριθμά ⟨92 αἰγεία?⟩ 98 μινύκιος 1403 ἀπ.[έ]χετο 4 μινυνθεῖν 7 βλῆτον — κινάβαρ 10 οἰκαταχρῆται

HES. 47 Μίλητος· δύο πόλεις Μίλητοι· ἡ μὲν Κρήτης (B 647)· ἡ δὲ Ἀσίας (B 868). αὗται 48 μίλια· τὰ ἐξέθετα χρήματα 49 μιλίγμασι· κολακείαις. ἐδέσμασιν 50 μίλιον· δένδρον ὅμοιον ἐλάτῃ. ᾧ τοὺς νέους στεφανοῦσιν ἐν ταῖς πομπαῖς ⟨cf. Σ 1256⟩. ἢ μέτρον ὁδοῦ, σταδίων ϛ. οἱ δὲ η', ποδῶν ͵δω' 51 μιλίσσεο ⟨597⟩· κεχαρισμένα καὶ ἡδέα λέγειν ⟨ad μειλισσέμεν⟩ 52 μιλισσόμενος (χ 311)· παρακαλῶν 53 μίλιχα· προσηνῆ, ἥδιστα ⟨599⟩ 54 μιλιχῇ (O 741)· πραότητι, προσηνίᾳ 55 μιλιχίη (Hesiod.)· ἱκετείᾳ ⟨601⟩ 56 μιλιχίοις· γλυκίοις. πραϋτικοῖς (M 267) 57 μιλίχιος· πρᾶος, ἢ πραΰς 58 μιλλός ⟨novic.⟩· βραδύς ⟨cf. νωχελής⟩ χαῦνος 69 μιμάρκης· λαγωοῦ χορδή ⟨1389⟩ 75 μιμέρα ⟨μιμεία Philon. II p. 598, 33⟩· ἡ μιμητικὴ τέχνη. καὶ ἡ μίμησις 76 μιμηλάζειν (Philon. I p. 557, 13. 610, 11)· μιμεῖσθαι 79 μιμνάζειν (B 392)· μένειν. καὶ μιμνεῖς (Θ 78) 81 μίμνησιν (ξ 169)· ἀνάμνησιν ποιῆσαι 82 μιμνήσκεται (ο 54)· μνημονεύεται 84 μίμνον (E 94)· ἔμενον 87 μίνα· μύρια. καὶ τὰ μικρὰ σῦκα ⟨cf. συκάμινα⟩ 88 μίναι (Cyprii?)· προφάσεις ⟨μῦναι⟩ 89 μίναρ· χόρδη ⟨1369⟩ 93 μῆνις· ἔχθρα 94 μινίσκη· ὑμένα. πέταλα ⟨1226⟩ 98 Μινυήϊος (Λ 721)· ποταμὸς Πύλου 1400 μινύθει· ἐλαττοῦται (Π 392), μειοῦται (Υ 242) 3 μινυνθάδιον (A 352)· ὀλιγοχρόνιον 5 μινυνθοῦσι δέ (P 738)· φθείρουσι δέ. ἀφανίζονται δέ 6 μινυνθοῦσι· φθείρουσιν 14 μινύον· ἀρωματικόν τι

μινυώριος (Call.)· βραχύυπνος. ἄχρηστος. ἀδύνατος. ὀλιγοχρόνιος. ὀλίγης ὥρας ἄξιος
μινφά· εἶδος ἀμπέλου [17. 18]
Μινώταυρος· Πασιφάης υἱός
μίξαι· σπεῖραι. κεράσαι. συμβαλεῖν
μιξίαμβος· λοίδορος. μεμιγμένος λοιδορίᾳ. ποιηματοκόπος
μίξις· κοίτη, συνουσία
μιξοβάρβαρος (Eur. Phoen. 138)· [ad 23] (οὔτε βάρβαρος, οὔθ' Ἕλλην, ἀλλ' ἀμφοτέρων μετέχων)
μιξοδίη· τρίοδος ⟨1445⟩
μίξοδος· ὁδός, ᾗ εἰς ἑτέραν συμβάλλεται
μιξοιφία· μίξις, πλησιασμός [27—29]
μιργάβωρ (Elei)· τὸ λυκόφως ……
μίργωαί (Elei)· πηλοῦσαι. οἱ αὐτοί
†μίρεα· λάχανα ⟨1337. 1372⟩
†μίρκα· εὐανθής, ποικίλη ἄνθεσι
μίρμα· ἐπὶ τοῦ κακοπινοῦς, καὶ ῥυπαροῦ, καὶ πονηροῦ
μίρον· ὅταν ἀπονυστάζῃ τις, λέγουσι Ταραντῖνοι [36]
†μίρτουλον· μύσος. μίασμα
†μιρύκεον· σχοῖνον ⟨μυρικίνεον?⟩ [39]
μίσασθαι (Plato)· μιτώσασθαι
†Μισατίς· Μίσης τῶν περὶ τὴν †μητέρα τις, ἣν καὶ ὀμνύουσι
μισγάγκειαν (Δ 453)· τόπος κοῖλος, ὅπου συμμίγνυνται ὕδατα πολλά [43. 44]
μισγοδ[ε]ίη· ὅπου ἂν ὁδοὶ μίγνυνται
μισγόλας· θόρυβος
μισγονόμος· οὐ πάντες νέμουσι γῆ [48]
μισήτην· τὴν καταφερῆ λέγουσιν μισήτην (Cratin. fr. LXXVIII)·
μίσηται δὲ γυναῖκες ὀλίσβοισι χρήσονται
τὸν δὲ ἁπλῶς μισητόν, τὸν ἀνίκανον, ἢ ἄπληστον τῇ τροφῇ
μισήτιζε· μίσει, στύγει
μισητός· μίσους ἄξιος. ἄπληστος

μισθαρνής· ὁ λατρεύων μισθοῦ. ἢ ὁ μισθὸν ἀφαιρῶν, καὶ ἀντικαταλ(λ)άττων
μισθαρνία (Arist. Polit. I 7)· ἡ ἐπὶ μισθῷ γινομένη ἐργασία
μισθαρχίδ(ης Ar. Ach. 595)· ὁ ἐπὶ τῇ ἀρχῇ μισθὸν λαμβάνων. ὠψωνιάζοντο γὰρ καὶ οἱ ἄρχοντες, καὶ μισθὸν ἐλάμβανον δημόσιον
μισθός· τὸ ἔπαθλον τῶν κωμικῶν. καὶ τὸν ἀμφορέα. †ἔμμισθοι δὲ πέντε ἦσαν
μισθοφορεῖν· τὸ ἐπὶ μισθῷ πράττειν τι
μισθοφόρος· μισθῷ ἐργαζόμενος
μίσκαιος· κῆπος
†μίσκει· ἄρχεται ⟨1526⟩
μίσκελ(λ)ος· εὐτελὴς καὶ μέλας οἶνος [61. 62]
μιστῦλαι· τεμεῖν, κόψαι, μερίσαι, εἰς μικρὰ διελεῖν κρέα
μιστύλλειν· τὰ αὐτά
μίστυλλον (Δ 465 al.)· εἰς βραχέα κατέτεμνον
?μισσυνή· ἡ ὀξύτης παρὰ Χαλδαίοις [67]
μίσυ (Theophr. I 6, 13)· τῶν μεταλλικῶν τι
μισυοί· οἱ ἔχοντες τὸ ἥμισυ λευκὸν τοῦ σώματος, τὸ δὲ ἥμισυ μέλαν, οὓς ἔνιοι μίσγους (misticii)
μίσχη· πιλήματα, ταινίαι, μαλλοὶ οἱ τῶν ἐρίων
μίσχον (Theophr. I 3)· οὕτω λέγουσιν, ᾧ συνήρτηται πρὸς τὸ φυτὸν καὶ ὁ καρπὸς καὶ τὸ φύλλον
μίσχος· ὁ παρὰ τῷ φύλλῳ κόκκος [73]
μίτος· τάξις. σειρά. τόνος ⟨v. γόνον⟩
μίτρα (Eur. Bacch. 833)· ἡ χαλκῆ λεπίς. διάδημα. ζώνη. θώραξ. ταινία
†μιτράγχουσα (Aristoph. p. 1078)· ὡς λεπὶς χρυσάων ⟨—ίων⟩, ἣ τῷ μετώπῳ φορεῖται
μίτρῃ· θώρακι [77]

COD. 15 βραχὺ ὕπνος 19 μινο| 30 μιργῶσαι· πηλῶσαι 37 Μουρτίλου μύσος? 42 μισγάγκιον 47 οὐ 49 μισητήν — μισηταί 52 ἀφερῶν 54 μισθαρχία — ὀψ| ⟨58 cf. μύσκος· κῆδος⟩ ⟨60 Varr. L. L. I 54⟩ 63 |λλαι 65 βραχεῖα 68 μισυτῶν
β α
69 μίσγουσι ἔνιοι 71. 72 cf. πέσμα. πάσμα 77 μιτρὶ

HES. 17 μὶν ὦκα (Π 672)· αὐτὸν ταχέως 18 Μίνως (Ν 451)· βασιλεύς Ad
τ
23 ζη εἰς τὸ μει 27 μιονεκτούμενον· ἐλαττούμενον 28 Μίονες· Κύπριοι ⟨1238⟩ 29 μιρακύλιον· παιδίον. ὑποκοριστικῶς 36 μιονεξία· ἐλάττωσις ⟨μει—⟩ 39 μισαγγία (Δ 453)· κοῖλος τόπος, εἰς ὃν πανταχόθεν τὰ κάτω φερόμενα ἀπὸ τῶν ὀρῶν ὑδάτων μίσγεται 43 μίσγεαι (Β 232)· συνέρχει 44 μισγέσκετο (σ 324)· ἐμίγνυτο 48 μίσησεν (Ρ 272)· ἐφθόνησεν 61 μισογύνης· μισογύναιος ⟨Moer. 257⟩ 62 μισόκαλος (Philo p. 352 D)· ὁ μισῶν τὸ ἀγαθόν 67 Μιχαίας· ἑρμηνεία· ταπείνωσις, ἢ ταπεινούμενος 73 μιτίτριζον· ἐθρήνουν ⟨μινυ—⟩ 77 μίτρην (Δ 216)· χαλκῆν λεπίδα

? μιτρέον· ποικίλον ⟨1433⟩

μίτυλον· ἔσχατον. νήπιον. Λακεδαίμονες ⟨1991⟩ [81]

μιχθῆναι (Soph. OT. 791)· ἀπαντῆσαι. συμμῖξαι. ὁμιλῆσαι

†μιχωκεῖ· ἠχεῖ [84. 85]

†μυαάδας· τὰς ἀμελγομένας αἶγας

(μναῖα· οὐσία ἢ τόκον προσφέρουσα μνᾶν μίαν) cf. μαγάς

μνα†νόοι· μοῦσαι. μνηστῆρες

μναμονεύθημεν· διεκλήθημεν

μναμο†σύρειν· τὸ ἐπιτηρεῖν, ἢ μεμνῆσθαί τινι

μνάμων· ἱερομνήμων. ἢ μνήμονες, ἢ τὰς θυσίας ἀπομνημονεύοντες

μνάριον· τὸ κάλλυντρον. Βοιωτοί. κόρημα

μναρόν (Cratin. fr. LXXIX)· μαλακόν. ἡδύ. θυμῆρες

μνασίον (Cyprii)· μέτρον τι διμέδιμνον

μναστήρ· τῶν μηνῶν οὕτω καλεῖταί τις

μνᾶται· μνηστεύει (Anacr. fr. LXVII). μέμνηται

μνείω· μνησθῶ

μνῆμα (φ 40)· μνημεῖον, μνημόσυνον (ο 126). ἀνάθημα. τάφος

μνημεῖα (Aesch. Sept. 49)· τὰ οἴκαδε πεμπόμενα ὑπὸ τῶν ἐν πολέμῳ τετελευτηκότων τοῖς οἰκείοις

μνήμη· μνημόσυνον

μνήμονες· ἀρχὴ γυναικῶν ἐπιτελουμένων τῶν ἱερείων [1501]

Μνημοσύνη· μνήμη (Θ 181). καὶ ἡ θεός

μνημύει· σκυθρωπάζει

μνήμυκεν (Χ 491?)· ὑποπτήσσει. δυσχεραίνει [5]

(μνημύοντες· ἀθυμοῦντες) cf. ἀμυ—

μνησίκακον

†μνησιχάρη· ἡδονή

μνή(σ)τεια· γάμου δῶρα

μνηστευόμενοι· ἀρραβωνιζόμενοι

μνηστή· ἡ κατὰ μνηστείαν γαμηθεῖσα. ἢ ἡ ἐκ παρθενείας μείνασα νῆστις, ἤγουν ἀπείρανδρος

μνηστῆρες· οἱ ἐπιβάλλοντες γῆμαί τινα. καὶ οἱ μεμνημένοι

μνήστωρ· ὁ δοὺς τοῦ γάμου ἀρραβῶνα [13. 14]

μνία (Numen. Ath. 295 C)· τὰ βρύα, καὶ τὸ φῦκος

μνίει (Hippocr.)· ἐσθίει ⟨1330⟩

μνιόν (Euphorio)· μαλακόν

μνοία· οἰκετεία

†μνοῦνες· οἱ μηροί

μνοῦς· ἔριον ἁπαλώτατον, καὶ ἡ πρώτη τῶν ἀμνῶν καὶ πώλων ἐξάνθησις. καὶ τὸ λεπτότατον πτερόν, κυρίως δὲ τῶν χηνῶν (Aristoph. fr. XVI p. 1054)

μνῴα (Cret.)· δουλεία [22]

μνῷται· δοῦλοι (Cretes)

μνώμενος· μνηστευόμενος. μεμνημένος (Call. Ap. 95) [ad 24]

μνῶνται· μνηστεύονται. καὶ τὰ ὅμοια

μνώσκει (Boeot.)· μίσγεται. ἔρχεται

μογερᾶς (Eur. Tro. 783)· ἀθλίας, πονηρᾶς, λυπηρᾶς, ἐπιπόνου

μογεύοντας· μοχθοῦντας [29]

μογίοντι· μογοῦσι. πυρέσσουσι. Δωριεῖς

†μόξοντι· πυρέσσουσι. πονοῦντι (Aesch. Prom. 275?)

†μογξοῦντες· πυρέσσοντες. πονοῦντες

μόγος· πόνος. ὄχλησις. μόχθος, κακοπάθεια

μογοστόκος Εἰλήθυια (Π 187)· ἡ μογοῦσα καὶ πονουμένη περὶ τοὺς τοκετούς· τουτέστιν λοχεύτρια

μόδα· στρώματα ⟨cf. ὀδή⟩ [36]

μόθακες· οἱ ἅμα τρεφόμενοι τοῖς υἱοῖς δοῦλοι παῖδες [38. 39]

μόθος (Η 117 al.)· πόλεμος, μάχη. πόνος. (φρύαγμα 1572) φόβος. στάσις ⟨ad μῦθος⟩, θόρυβος

μοθούρας· τὰς λαβὰς τῶν κωπῶν

μόθων· εἶδός τι ὀρχήσεως ⟨cf. μόων⟩

COD. Post 79] 73 μίττος 80 μίτυλλον 90 κνήμονες (? καὶ μνήμονες, οἱ) 91 κόρημα post ἡδύ; cf. ναρόν et σάρος 96 μνηῶ· μισθῶ 1509 μνημονευόμενοι 15 cf. ἀμία 17. 18 = 18. 17 17 μνοῖον 18 ἰκετεία Post 17] 23 μνῆτοι 26 cf. ἐσμονῶ et μίσκει Post 26] 30 μογείοντι ⟨29 μογεῦντας vel μογέοντας⟩ 34 μόγος, τόκος 37 ἀνατρ| cf. μοῦσαξ 40 cf. Apoll. lex.

HES. 81 μιχθαλόεσσα (Ω 753)· ἀλίμενος 84 μείωσις· ἐλάττωσις· ἀκαθαρσία 85 μνάᾳ (π 431)· μνηστεύεις 1501 μνᾶ· λίτραι δύο. ὁ δὲ ἅγιος Ἐπιφάνιος λίτρας μιᾶς δίμοιρον ⟨l. διμοίρου⟩ 5 μνήσατο (α 29)· ἀνεμνήσθη 13 μήστωρι· βασιλεῖ. φρονίμῳ 14 μνῆστρον (gl nomica)· ὁ τοῦ γάμου ἀρραβών 22 μνώεο (Greg. Naz. C. LXII 4)· μέμνησο Ad 24 μηχανώμενος ⟨μώμενος⟩ 29 μογήσας (Hom.)· κακοπαθήσας ⟨1719⟩ 36 μόδυχνον· διοτάλεον ⟨1595. 2040⟩ 38 μοεύων· ψέγων 39 μώλωψ· τραῦμα. καὶ ὁ ἐκ πληγῆς αἱματώδης τόπος. ἢ καὶ τὰ ἐξερχόμενα τῶν πληγῶν †ὑδάτων

μόθωνας· τοὺς παρατρεφομένους, τοὺς λεγομένους παιδίσκους. Λάκωνες. οἱ δὲ τοὺς δουλοπρεπεῖς. καὶ σπερμολόγους

μοθωνία· ἀλαζονεία [45]

μοιμυᾶν (Ar. Lys. 126)· τὸ τὰ χείλη πρὸς ἄλληλα προσάγειν

μοιμύλλειν (Hipponact. fr. 80)· θηλάζειν. ἐσθίειν. καὶ τὰ χείλη προσάπτειν ἀλλήλοις

μοῖος· σκυθρωπός ⟨v. σμοιός⟩ [49]

μοιρηγενής· ἀγαθῇ γεγονὼς μοίρᾳ

μοιρί⟨ό⟩λογχοι· οἱ τὰ κοινὰ διαιροῦντες

μοιρῆσαι· μερίσαι, ἢ διελεῖν ⟨1653⟩

μοιρήσασθαι (Call. Dian. 36)· λαχεῖν. καὶ τὰ ὅμοια

μοιρολογχεῖν (Antipho)· τὸ μερίδι λαγχάνειν. τινὲς δὲ διαιρεῖσθαι [55]

μοιτοὶ ἄντιμοι (Sophro fr. 104)· παροιμία Σικελοῖς· ἡ γὰρ χάρις μοι τὸν οἰνόχαριν

μοιχάγρια (θ 332)· τὰ τῆς μοιχείας ἀγρεύματα· ὁ γὰρ ληφθεὶς ἐπὶ μοιχείᾳ ζημιοῦται

μοιχοῖς· πόρνοις

μοιχοτύπη· ἡ ὑπὸ μοιχῶν τυπτομένη

μοκκώνωσις· περιφρονεῖς. παρὰ Βλαίσῳ

μόκρωνα· τὸν ὀξύν. Ἐρυθραῖοι

μολβίς· στάθμιόν τι ἑπταμναῖον

†μολγῷ· νέφος, παρὰ Βλαίσῳ, ἡ ἀκόλουθος

μολγός· Ἀριστοφάνης. τάχα ἂν εἴη ἐκ πλήρους, ἀμολγός. ὁ δὲ ἀμέλγων τὰ χρήματα ἀμολγός. ἔνιοι δὲ μολγοὺς ἀκούουσι τοὺς μοχθηρούς, †τοῖς ἀμέλγουσι τὰ κοινά, κλέπτας εἶναι· καὶ τὸ ἀμολγός. ἄλλοι δὲ μολγὸν τὸν βόειον ἀσκόν (Tarentini). τίθεται δὲ καὶ ἐπὶ τῶν ἀμαξῶν (Cretes)

μολεῖν· ἔρχεσθαι, τρέχειν, ἐλθεῖν, δραμεῖν (μολῆσαι· ἐλθεῖν) 1653

Μολίονε (Λ 708)· μαχηταί. καὶ Μολιονίδαι· γυναικός τινος υἱοί (Pind. Ol. XI 35)

μολοβόβαρ· ὁ τοῦ Διὸς ἀστήρ, παρὰ Χαλδαίοις ⟨מלך־כוכב⟩

μολοβρός (σ 26)· μολίσκων ἐπὶ τὴν βοράν, τουτέστι παράσιτος, γαστρίμαργος, ἐπαίτης, καὶ ὁ ἐρχόμενος φαγεῖν [ad 68]

μολόβρια· τά τῶν ἀγρίων θηρίων τινὰ ⟨τέκνα⟩ οὕτω καλεῖται

μολόθουρος (Nic. Al. 147)· ἀσφόδελος. ἢ ὄσπριόν τι ⟨λάθυρος?⟩. καὶ ἡ ὁλόσχοινος

μολορός (l. μουλορός Cyprii)· λυπηρός, ἀηδής ⟨1593. 2044⟩ [72]

μολούειν (lex Att. ap. Poll. VII 146)· ἐγκόπτειν τὰς παραφυάδας

μολουρίς· αἰδοῖον. κολοβὴ λόγχη: ἢ μόλις οὐρῶν ⟨μολοῦρις⟩

μολουρίδες. βατραχῖδες (Nic. Th. 416)· καὶ τῶν σταχύων τὰ γόνατα

μόλοφθος· ἐγκρυφίας

μολοῦσα (Soph. OC. 26)· πορευομένη, ἡ πορευθεῖσα (Ζ 286)

μολπαί (Pind. Ol. VI 97)· ὕμνοι, ᾠδαί

μολπάν (Aesch. Ag. 105)· ᾠδήν

μολπαστής· συμπαίκτης. μολπάστρια δὲ συμπαίκτρια

μολπή· ᾠδή. παιδεία. ὕμνος, ᾆσμα (α 152)

†μολπίς· ἐλπίς

μολπός· ᾠδός, ὑμνῳδός, ποιητής

μόλσον· σελίνου καυλός, καὶ ἄνθος. οἱ δὲ τὴν ὑποφυάδα

†μόλσος· ὁ δῆμος. Αἰολεῖς

μολτύους· τὰ κοκκύμηλα

μολύβδαινα· καὶ τὸ εἶδος τῆς μεταλλικῆς. καὶ τὰ λεῖα

μολυβδαίνῃ (Ω 80)· μολυβίδι

μολυβδίς (Soph. fr. 752)· στάθμιόν τι ἑπταμναῖον. οἱ δὲ μολβίς ⟨q. v.⟩

μολυβρόν· τὸ μολυβοειδές

μολύνει (Theocr. V 87)· μιαίνει. ἀναφύρει. πίμπλησι

μολυνίη(ς)· ἡ πυγή

μολυρόν ⟨μω—⟩· νωθρόν. βραδύ. ἀνιαρόν. ἀηδές, ἀχάρι[σ]τον, λυπηρόν ⟨1571. 2044⟩

μολυσμός· ἀκαθαρσία, μίασμα. ἁμαρτία δυσέκπλυτος

μόλυχνον· δυσταλέον ⟨1536⟩

μολών· χωρῶν, ἐλθών

Μομβρώ· ἡ Μορμώ. καὶ φόβητρον [98]

COD. 43 περιτρ| 53 λαλεῖν 54 μοιραλαλεῖν 39 |πης, ἡ ἀπὸ 60 π^{ε}φρονεῖς παρασβλαίσῳ (coni. Μόκκω νῶσις) 62 ἑπταμηναῖον ⟨cf. μολυβδίς⟩ 63 π^{ε}βλέσω 64 cf. βουδόρῳ μολγῷ et μόργος 66 μολείονες — μολιονίδες 70 |οθοῦρος 71 L. μουλορός 74 |οῦρις 75 |ίδαι βατραχίδαι 80 μολπάστρει δὲ ⟨82 ἐμπίς? Sed. cf. ὄλπα⟩ 85 δήμιος Arcad. 76, 2 88 μολυβίδη 89 ζ' ἑπταμηναῖον (Greg. Naz. C. XVIII 7) (95 δεισαλέον?)

HES. 45 μοικηθμοί· τῶν βοῶν αἱ φωναί 49 μοιρηγεννές (Γ 182)· ἐν ἀγαθῇ μοίρᾳ γεγεννημένον 55 μοίραις· μερίσι. φυλακαῖς Ad 68 γλουτόν ⟨ad μολυνίη⟩ 72 μόλος· πόνος. μάχη. φρύαγμα 98 μομοκύκια· τῶν τραγῳδῶν τὰ προσωπεῖα ⟨μορμολ—⟩

Μομμώ· ὃ ἡμεῖς Μορμώ φαμεν, τὸ φόβητρον τοῖς παιδίοις
μομφή· μέμψις (2057). κατάγνωσις
μόμφις (Teleclid.)· δύσκλεια. ἢ *μόμφος* (Eurip.)
μοναλκής· ἐξέχουσα. ἀνδρωδεστάτη
μονάρχου· τυράννου
μονάς· ἀριθμὸς †ἢ ἓξ μοῖραι τῶν δέων
μονή· παραμονή [1606. 7]
μονίας· νήφων. τοὺς γὰρ μεθύοντας δευτέρους εἶναί φαμεν
μόνιμον (Thuc. VIII 89)· στάσιμον, βέβαιον
μονίμων (Plat. Legg. IV 706 C)· βεβαίων, αἰωνίων, ἐπιμόνων, στασίμων
μονιμωτέρων· βεβαιοτέρων. παρὰ τὸ μένειν
μονιός (Callim. D. 84)· ὗς ἄγριος ὁ μὴ τοῖς ἄλλοις συναγελαζόμενος. ἢ ὁ περὶ τράχηλον ὅρμος (monile?) [ad 12]
μονόγληνος· μονόφθαλμος
μονοβάτας· κλέπτης
μονόβας· ὁμοίως
μονοδαμιουργοί ⟨νομο—⟩· οἱ τὰς δίκας δικάζοντες [17. 18]
μονόκλωνος (Theophr. IX 18, 8)·
μονόλοπα· μονόδερμα (Theophr.) [21—23]
(*μονόλωπα*·) μονοχίτωνα
μονόμματον· μονοειδῆ. ἁπλοῦν
μόνον· τὸ ἕν
†*μονονομοιτῶν*· εἱλώτων ἄρχοντας
μονοξύλοις †*πλάνοις* ⟨πλοίοις? πανοῖς⟩
μονοπείρας (Menand. CCCLXX)· τοὺς μὴ ἀθροῦς, ἀλλὰ καθ' ἕνα πειρατεύοντας
μονο(ρ)ρήξ· ἀπερρηγμένος, ἀπεσπασμένος
μονοσίλλη· ὁ ἐν ταῖς ὕδσι λαμπρὸς ἀστήρ
μονοσταλής· ὁ καταμόνας στελλόμενος ⟨1739⟩
μονοστόλῳ· τῷ καταμόνας ἐλθόντι
μονοστραβὴς ὄχος· ἡμίονος [34]
μονότονος [ad 35]
μονότωνος (Cret.)· μονομάχος ⟨cf. τώνα⟩
μονότροπος (Eur. Andr. 231)· μόνος στραφείς
μόνουα· τὰ λεπτὰ λέπαδνα
μονούαλος· τὸν ἐπὶ τῇ καρδίᾳ τοῦ λέοντος λαμπρὸν ἀστέρα φασί [39]
μονόφαντος· μόνη ἐν φανερῷ, μόνη φαινομένη
†*μονοφθόρους*· μονοφόρους. ὄνους [42. 43]
δ
†*μανοψά*· μονιός. ἀτιμαγέλως (Philol. XII 616)
μονῳδεῖ (cf. Ar. Pac. 1012)· μονοθρηνεῖ. *Μονῳδία* λέγεται, ὅτε εἷς μόνος τὴν ᾠδήν, οὐχ ὁμοῦ ὁ χορός, ᾄδει
μόρα· μέρη τινά. καὶ μέρη τοῦ στρατοῦ, ἢ τάγμα. παρὰ γὰρ Λακεδαιμονίοις οἱ πατρίλοχοι ⟨πρὶν λόχοι⟩ μόρα αὖθις ὀνομασθέντες
μοργίας (Aeol.)· γαστριμαργίας, καὶ ἀκρασίας (868. 1660)
μόργιον· μέτρον γῆς, ὅ ἐστι πλέθρον. καὶ εἶδος ἀμπέλου
(*μόργος* [Aeol.]· ἄπληστος) 1660
μόργος· φραγμός, καὶ τὸ ἐπὶ ταῖς ἁμάξαις φράγμα, ἐν ᾧ τὰ ἄχυρα φέρουσι. καὶ σκύτινον τεῦχος· ἄλλοι τεῦχος βόειον ⟨1564⟩
†*μοργυνίων*· σπαργάνων
†*μοργυλλεῖ*· χρονουλκεῖ ⟨280⟩
†*μοργᾶται*· παρῶπται
(*μορέα*· ἡ συκάμινος) 1696 [53]
†*μορθῆναι*· πειραθῆναι. γενέσθαι
μορίαι (Ar. Nubb. 1005)· ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς
μορία· ἡμερίς ⟨q. v.⟩
†*μορίδες*· μάντεις
μοριεῖς· μερῖται. κοινωνοί
μόριον· μέρος [60]

COD. 99 *μομμῶ* 1601 *μύμψεις* 2]λκές 13 *μονόσλινος* 14 *μονοβαίας* 14 *μονοδαβ*] 17 cf. *μονότονος* 19 [*ονως* 28 ἀθροὺς 29 ἀπο] bis 30 τοῖς 36 *μονοτραφής* LDindorf.) (48 *μορτή? Morgen?*) (50 *μόργων*· θερηγάνων?) 56 *μερίς* 58 *μορίες*

παιδισκάριον (Menand. p. 169. 189)· τὸ κοράσιον. Ἀττικοί, ἐπὶ τῆς ἡλικίας. καὶ λίθος, ὃν (sic) πρὸς ταλασιουργίαν χρῶνται

παιδίσκοι (Xen. Hell. V 4, 32)· οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες [67]

παιδνός (Φ 21)· νεογνὸς παῖς. νέος ὁ ἐξερχόμενος ἀπὸ τῆς τοῦ παιδὸς ἡλικίας (Call. Iov. 57), ἢ παρὰ τοῖς Ἀττικοῖς καλούμενος ἀντίπαις. ἄφρων, νήπιος (Aesch. Ag. 479)

παιδοβάτιον· εἶδος ἀμπέλου

παιδόθεν· ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παιδικῆς ἡλικίας

παιδικομίας· παιδοτροφίας

παιδοκόμος· ὁμοίως

παιδοκόρης· Ἑρμῆς. τιμᾶται ἐν Μεταποντίοις

COD. 16 cf. πάριον, παῖον 18] post 25 παγλαδία — δοδίοις 22 καὶ ... αὐτὸ post παγκρατιάζειν ⟨24 καμπουλίρ⟩ 31 πάγχαρος 42 ἢ .... τινὸς] post 43 45 παιανιέναι ⟨46 cf. πιανεῖ⟩ 56 ἀλλήματα 58 θυληκὰ 62 ἱερ — bis 68 παῖδιος — ἢ παρὰ (cf. παιλλός) 72 |όμενος

HES. Ad 13 ἢ ὑψηλὸν τόπον ⟨πάγον⟩ 15 παγγάς· πλάνος ⟨πλάγκτας⟩ 26 πάγον ἐν τείχει (Eur. Andr. 1010)· τετειχισμένον ἐν ὄρει ⟨cf. εὐπείχη⟩ Ad 28 ψῦχος (Zachar. XIV 6) 33 παῖον· ἀσφαλές, βέβαιον ⟨πάγιον⟩ 37 παλλία ⟨243⟩· ἀγών. οἱ δὲ τὸ παλεῖν· ἔνιοι δὲ τὸ πᾶν ⟨Palilia⟩ 41 (π)άζιον (LXX)· λίθος πολύτιμος 49 παιδάκιμα· μειράκια ⟨παλλάκια?⟩ 50 παῖδαι· ἡμέραι τινές ⟨ἐπίβδαι⟩ 51 παῖδα δέ μοι (Α 20)· τὴν θυγατέρα δέ μοι 57 παιδεία· ἀγωγὴ ὠφέλιμος. διδαχή 60 παιδεώτις· παιδοκτόνος ⟨παιδολέτις⟩ 61 παιδεία· πεῖρα. νουθεσία 67 παῖδνες· ἀλαλαγμοὶ ἐν πολέμῳ ⟨παιᾶνες⟩

παιδολέτειραν (Eur. Med. 849)· παιδοφόνον

παιδολέτωρ (Eur. Rh. 549)· παιδοφόνος

παιδονόμος (Xen. Lac. II 2, 11)· ἀρχή τις παρὰ Λάκωσι

παιδοπίπας· ἀρσενοβάτης, ἀνδροβάτης

παιδός· ἀκμῆς ⟨ἐκ π—⟩

παιδοτρίβαι (Plat. Gorg. 504 A)· ἀλεῖπται. γυμνασταί

παιδοτριβοῦσι· παιδεύουσι. καὶ τὰ ὅμοια

παιδῶνας· τοὺς μισθοῦ ἐκ τῆς ἀγορᾶς κομίζοντάς τι ⟨παιδαρίωνας?⟩

†παιδονίκται· οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμίας

παιει· τύπτει, πλήττει, κρούει. δέρει. ἢ ἐσθίει (Ar. Ach. 835)

παιήονα (Α 473 Ε 899)· ποτὲ μὲν τὸν λεγόμενον παιᾶνα, ὕμνον εἰς Ἀπόλλωνα, ἐπὶ καταπαύσει λοιμοῦ ᾀδόμενον· ποτὲ δὲ θεόν τινα, ὃν συνίστησιν ἰατρὸν θεῶν [ad 84] [85]

παιηοσύνη· ἰατρεία (908)

παιητέον· πληκτέον

παιλαγρέται· ἀρχή τις, ἐπὶ ἱππέων [89]

Παίονες· ἔθνος βαρβαρικόν. δοῦλοι [ad 90] [91—93]

παιπάλη (Ar. Nubb. 262)· ἄλευρον λεπτόν, τὸ ἀπὸ κριθῆς, ἢ κέγχρου, ἢ τὸ τυχόν ⟨πασπάλη⟩

παιπάλημα (Ar. Av. 430)· ποικίλος ἐν χακίᾳ [96. 97]

(.........·) τραχύν

παιπαλόεντος (Ν 17) [99]

παῖς· πᾶς ὁ φύσει υἱός ὤν τινος. καὶ ὁ τῇ ἡλικίᾳ νέος. καὶ ἀντὶ τοῦ παρθένος. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δούλου. ἄρτι ἀκμάζων

παισά (Col)· πλακούντια (Teleclid. fr. I 11 p. 362) [102]

†παισαρεύματα· περικόμματα

†παιρεύς· παιρέτης [3ᵃ. 4]

παίσδῃ (Alcman. fr. 29)· παιδαριεύῃ [5—7]

παιφάσσειν (Β 450)· πυκνὰ ἀπ' ἄλλου ἐπ' ἄλλον ὁρμᾶν, ἐνθουσιαστικῶς ἔχειν, σπεύδειν, θορυβεῖν, πηδᾶν

παίω (Aesch. Ag. 1387)· δέρω, τύπτω, πλήττω [10]

Παίων· ὄνομα. καὶ ἰατρός (Aesch. Ag. 199 παιών). ὁ δὲ ἀλαλαγμὸς παιωνισμός. γράφεται δὲ καὶ παιανισμός (Thuc. VII 44)

Παιῶνες· τὰ αὐτά

παιώνια (Aesch. Ag. 848)· φάρμακα ἰατρικά. ἢ θεραπεῖα

παιώνιον (Soph. Tr. 1208)· ἴασιν. θεραπείαν

Παιώνιος· Διόνυσος

παιωνίσαντες· ἀλαλάξαντες

†παχοτή· ἀποσκότ..

παχτά· ἡρμοσμένα. πεπηγμένα

Πακτωλός (Soph. Philoct. 393)· ὄνομα ποταμοῦ

πάλα· ζώνη [21. 22]

παλάθαι (Anaxil. p. 342)· σύκων μαζία

παλαία· ἀλφιτισμός. οἱ δὲ †ποσισίτου

παλαιγενεῖς· πρεσβῦται (Ar. Nubb. 358)

παλαιθέου· παλαιᾶς θεοῦ

?παλαιοθέτης· παλαιοπράγμων. δραστήριος

?παλαιδέτης· πρεσβύτης. ὁ συνήθης ⟨εὐήθης?⟩ ὁ παλαιετής

?παλαιόν· ἀρχαῖον. σαθρόν [30]

Παλαίμων (Lycoph. 663)· ὁ Ἡρακλῆς

παλαιόρ (Ar. Lys. 988)· μωρός [33]

COD. 74 παιδολέτρια |ος 75 παιδολέτερον |ον 77 ἀρσενόματος ἀνδροβάντας 79 ἀλήπται 81 μισθοὺς (cf. προυνικοί) 84 θεὸν Post 89] 101 παίμμα 97 ἔστι
θ
100 παρ 102ᵃ περιαιρέματα, περικομμάτια? 3 cf. Theognost. 10, 26 4ᵃ παῖς δή 8 δι' ἄλλου 12 παίωνες 18 πεπηρμένα ⟨26 πάλαι θεοῦ?⟩ 32 παλαίωρ

HES. Ad 84 ἢ ᾠδή. ἢ ἔθνος (ad παιών. Παίων) 85 πεζός (Δ 281)· τοῖς ποσί 89 παιλλός· ἄρρην, νήπιος ⟨68⟩ Ad 90 καὶ ἰατροί ⟨παιήονες⟩ 91 παῖον· ἀσφαλές, βέβαιον ⟨πάγιον⟩ 92 παιπάλλειν· σείειν (cf. 'πιπάλλων) 93 παιπαλᾶν· περισκοπεῖν. ἐρευνᾶν ⟨445⟩ 96 πάϊν (Greg. Naz. Arc. II 32 p. 191)· παῖδα 97 παιπαλόεσσαν· ὑψηλήν (κ 97)· ἔστην δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών. καὶ τραχεῖαν. τινὲς δὲ σκολιάν 99 παιπάσσουσα (Β 450)· παντὶ φαινομένη 102 παῖσαι (Ar. Plut. 1055)· ὃ ἡμεῖς παῖξαι ⟨Moer.⟩ 3ᵃ παίσατε (θ 251)· ἐνίοτε μὲν ἐπὶ τοῦ παίξατε· ἐνίοτε δὲ καὶ ἐπὶ τοῦ ἔνδοτε 4 .παις θ' ἅμα (Eur. Hec. 804)· παίει ἅμα 5 Παισός (Ε 612)· πόλις. καὶ ποταμός 6 παιτάσας· ἁπλώσας ⟨πετάσας⟩ 7 παίταυρα· σίγυα ⟨πέταυρα⟩ 10 παιώνιον· φάρμακον καταπαῦον ὀδύνας 21 πάλαι ποτέ(· ἀρχῆθεν Ar. Plut. 1002) 22 παλλάθη (II Regg. XX 7)· ἡ τῶν σύκων ἐπάλληλος θέσις 30 παλαιός· ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος ἤδη, ἄφρων, ὁ καὶ ἠλίθιος ⟨παλεός⟩ 33 πάλαι πεπρωμένον αἴσῃ (Π 441)· πρὸ πολλοῦ ὑπὸ τῆς εἱμαρμένης, ὅ ἐστι μοίρας, εἰς τέλος ἀχθέντα τοῦ βίου

Παλαίπολις· τὸ πάλαι Ἄργος

πάλαισμα· κακοτεχνία [36]

παλαιστή· παλάμη, τὸ τεττάρων δακτύλων μέτρον, καὶ ἡ σπιθαμή

παλαίστρα· ὅπου οἱ παῖδες ἀλείφονται

παλαίτερον (Ion. fr. 22)· παλαιοτέρων ἱστοριῶν

παλαιφάγου (τ 163)· πάλαι ἐσθιομένης [41. 42]

†παλαιῶς· ῥάπισμα [ad 43.] [44]

†παλακῖνος· πολεμιστήριος (Sophro παλλ-)

παλάμαι (Hom. Soph. Phil. 177)· αἱ χεῖρες. καὶ αἱ τέχναι. ἐπεὶ δι' αὐτῶν πολλὰ μαιόμεθα

παλάμη· τέχνη. χείρ

παλαμήσας (cf. Ar. Pac. 94)· τεχνάσας. ἐργάσας

παλαμήσασθαι· τεχνάσασθαι. καὶ τὰ ὅμοια

πάλαμις· τεχνίτης παρὰ τοῖς Σαλαμινίοις

†παλαμέων· τεχνῶν

παλαμναῖος· ἀποτρόπαιος. σκληρός. φονεύς (Soph. Tr. 1207), ὁ αὐτοχειρίᾳ τινὰ ἀνελών. ὁ ἐνεχόμενος μιάσματι οἰκείῳ ⟨165⟩ [52]

παλάξαι (υ 395)· βρέξαι· ἔνθεν καὶ πηλός ἡ βεβρεγμένη γῆ. ἢ μαλάξαι, †συνθράσαι

παλάσσετο· διεβρέχετο. ἐφύρετο. [ad 54] ἀνεπίμπλατο. ἐμαλάσσετο

παλάσια· τὰ συγκεκομμένα σῦκα. καὶ διὰ τοῦ ϑ παλάθια καὶ παλάθη

παλαστῶσαι· χειροτονῆσαι

παλαχή· ἀρχή. λῆξις. μοῖρα. γενεά

παλαχῆθεν· ἐκ γενεᾶς. ἐκ παλαιοῦ [59]

(παλεός· ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος ἤδη ἄφρων ὁ καὶ ἠλίθιος) cf. 130

παλεύεται· θηρεύεται, ἀγρεύεται

παλεύσας· τὰ αὐτά. καὶ ὑπαγαγόμενος·

παράνομον γάμον παλεύσας.

μετῆκται δὲ ἀπὸ τῶν περιστερῶν. λέγονται γὰρ παλεύτριαι (Eub. com. p. 245) αὗται αἱ ἐξαπατῶσαι καὶ ὑπάγουσαι πρὸς ἑαυτὰ ἤγουν ἐνεδρεύουσαι

παλευταί· οἱ τὰ λίνα ἱστῶντες, οἷς τὰ θηρία παλεύεται

(πάλη· ἀγών) cf. 142

(παληά [Boeoti· ....] καὶ παλαιά) cf. 143

παλημάτιον (Aristoph. p. 1184)· τὸ λεπτὸν ἄλευρον

πάλην· ἄλευρα. καὶ σποδός. τὸ λεπτότατον τοῦ ἀλεύρου [65]

παλήσειε (Herod. VIII 21)· διαφθαρείη

†παλιτούτη· πλίνθος

†πάλθοις· τόξοις. σφενδόναις ⟨cf. πανθύλην⟩ [69]

παλι(γ)γλώσσῳ (Soph. El. 641)· βλασφήμῳ

παλιγκάπηλος (Ar. Plut. 1156)· ὁ μετάβολος. ὁ τὸ αὐτὸ ἀεὶ ἀγοράζων καὶ πωλῶν (Dem. 784, 8) [ad 71]

παλίγκλαστον· σκολιόν. αὐστηρόν. δύστροπον

παλίγκοτα (Antipho)· οὐκ ἀξιόχρεα. ὀργίλα. ἐχθρά. καὶ τὰ ὅμοια

†παλιγκώα· πλάνη [75]

Παλικοί (Aesch. fr. 6)· Ἀδράνῳ δύο γεννῶνται υἱοὶ Παλικοί, οἳ νῦν τῆς Συρακουσίας εἰσὶ κρατῆρες, οἱ καλούμενοι Παλικοί, οἱ καὶ κατοικήσαντες αὐτήν [77]

παλιλλογία· ταυτολογία

παλίμβιος· ὡς ἐξ ἀναβιώσεως

παλίμβολον κήρυκα· τινὲς τὰ ἐναντία βουλευόμενον. οὐκ εὖ. γνώμο(ν)α γὰρ δηλοῖ

παλίμβολος (Com. an. fr. LXXXVIII)· ἀκατάλληλος, ἀνάρμοστος, ἀπερίστατος. τρίπρατος. ὁ πολλάκις ἐπὶ μεταβολῇ ἀπημπολημένος, κοῦφός τε καὶ οὐ βέβαιος, ἀκατάλληλος. ἀπ' ἄλλου εἰς ἄλλον μεταβαίνων

παλίμβολος· ἀδόκιμος, ἀνελεύθερος [83]

παλιμπετής· ὀπισθόρμητος, ἢ ἐναντιοπετής [85]

παλιμπόρους βάκχους

COD. 34 παλαιόν ⟨42 πάλης ἀγῶνα Aristoph. p. 1167⟩ 48 τεχνώσας 49 τεχνώσασθαι 49a παλαμίς — παλαμνίοις 50 ordo παλαμίων 55 πλασία — πλάθια 57 παλάχη ⟨cf. ἐκ π—⟩ 66 διαφθείρειε 75 σφερίζειν (cf. πάλλα) 76 αὐτῇ 79 ἐξ.να..άσεως 80 εὐγνώμοα

HES. 36 παλαισμοσύνη (θ 103)· πάλη 41 παλαίφατα (ι 507)· ἐκ παλαιοῦ χρόνου πεφατισμένα, ὅ ἐστι μεμαντευμένα. οἱ δὲ πάλαι τέλος ἔχοντα 42 πάλη· ἀγών ⟨q. v.⟩ Ad 43 [καὶ παλαιά 44 παλαιῷ φωτί (Ξ 136)· πρεσβύτῃ γεγονότι 52 πάλανον ἀφρόν (Eur. Or. 220)· πεπηγότα ἀφρόν Ad 54 ἐμολύνετο (Ε 100) 59 παλαίστρα· ἀγωνία ⟨q. v.⟩ 65 παλαμναῖος· φονεύς. ἀντίθεος θεῷ. μεμιασμένος ⟨151⟩ 69 παλίβολος· ἄστατος, εὐμετάβολος, ἢ εὐμετάβλητος Ad 71 ὡς παλίνδουλος ὁ πολλάκις δουλεύσας 75 παλίξεσθαι· σφαιρίζειν 77 παλίλλογα (Α 126)· παλινσύλλεκτα 83 παλιμπετές (Π 395 ε 27)· εἰς τοὐπίσω πεπτωκός 85 πάλιμ πλαχθέντας (Δ 59)· ὀπίσω πλανητούς, οἷον ὑποστρέψαντας εἰς τοὐπίσω, ἢ πλανηθέντας

παλιμπρυμνηδόν (Eur. IT. 1364?)· οἷον παλίμπρυμνον χώρησιν. προῆλθεν εἰς τοὔμπροσθεν ἀνακάμπτουσα, ὡς ἐπὶ πρύμναν κροῦσαι

παλιμπυγηδόν (Aristot. p. an. II 16)· τὸ εἰς τοὐπίσω ἀναποδίζειν

παλίμφημα· κακόφημα, δύσφημα, βλάσφημα

πάλιν (N 3)· εἰς τοὐπίσω. Ἀρίσταρχος τὸ πλέον πάλιν τοπικῶς χρῆσθαί φησι τὸν ποιητήν, καὶ οὐχ, ὡς ἡμεῖς, χρονικῶς

παλινάγγελος· ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας τινὶ ἀπὸ τούτου ἑτέραν φάσιν ἀποφέρῃ

παλινάγρετα· εὐμετάβλητα, τὰ χαρίσματα τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα

παλινάγρετον (A 526 Call. L. P. 103)· παλίλληπτον. μεταμελητόν

παλιναίρετον· ἐπεσκευασμένον, καὶ οἷον ἐκ παλαιοῦ (κε)καινοποιημένον. παλισύρραπτον

παλινδαές· παλίγγνωστον

παλινδεινία· [ad 96] ἡ ἐξ ὑποστροφῆς ὑδάτων

παλινδικεῖ· ἐπισυνάπτει δίκην

παλινδικία· ἡ ἐξ ἀρχῆς δίκη ⟨205⟩ [99]

παλινδίνητον· συνεχές ......

παλινδορία· τὸ σκύτος. Πλάτων Σύρφακι (fr. 1)·

σὲ μέν, ὦ μοχθηρέ, παλινδορίαν παίσας
αὐτοῦ καταθήσω

παλινδρομεῖ· ἀνατρέχει. ὑποστρέφει [203—5]

παλινοιωνίαι· ἐκ δευτέρου μαντεῖαι

παλίνπιττα· ἑφθὴ πίττα

παλινπλάγκτοισι (Aesch. Prom. 837)· ὀπισθορμήτοις

παλινσάγης· χήρα γυνὴ ......

παλίνσκιος (Soph. fr. 269)· σύνσκιος, σκοτεινός, ζοφώδης. τὸ γὰρ πάλιν ἐνιαχοῦ ἐπίτασιν δηλοῖ, ὡς παλινκάπηλος, παλιμπρα[κ]τος [11. 12]

παλιντριβῆ (Soph. Phil. 448)· κακεντρεχῆ

παλιντροπάασθαι (Π 95)· εἰς τοὐπίσω τρέπεσθαι

?παλινοστήσας· εἰς τοὐπίσω ἐπανελθών

παλινῳδίαν (Isocr. Hel. p. 218 E)· ᾠδὴν τῇ προτέρᾳ ἐναντίαν. ἢ δόγμα τῷ πρώην ἐναντίον [17]

†παλινώρους· ἄκοντας

παλίνωρον (Ar. Ach. 1178)· εἰς τοὐπίσω ἐξέκλασεν καὶ ἐξέβαλεν. ἀπὸ τῶν ἐκκοκκιζομένων ῥοιῶν ⟨παλίνορρον⟩

παλίουρος· κάδος. ἀντλητήρ. καὶ τὸ θαμνῶδες δένδρον (Eur. Cycl. 393)

παλιρρόθιον (ε 430)· παλιρρόουν. ἐκ τοῦ ὄπισθεν ὡρμηκός, ἢ εἰς τοὐπίσω φερόμενον

παλίρρυτον· εἰς τοὐπίσω ἑλκόμενον

παλίσσυτοι· ἀναχωρήσαντες

παλίσσυτον (Soph. OT. 193)· ἐξ ὑποστροφῆς

παλίωξις (M 71)· ἡ ἐξ ὑποστροφῆς δίωξις, ὅταν οἱ πρότερον φεύγοντες ἔσχατον διῶκται γένωνται

πάλκος· πηλός ⟨cf. φάλκη et πάσκος⟩

πάλλα (ζ 115 Dionysodorus)· σφαῖρα ἐκ ποικίλων †ναμάτων πεποιημένη

Παλλάδος πρόσωπον (Eubul. p. 204)· στατήρ, ἐπὶ μὲν ἑνὸς μέρους Ἀθηνᾶς πρόσωπον, ἐπὶ δὲ θατέρου τὴν γλαῦκα ....

παλλάκιον (Plat. com. p. 693)· μειράκιον

†παλλακός· ἐρρωμένος

Παλλάντιος· Ζεὺς ἐν Τραπεζοῦντι

Παλλαντίς· ἡ Τριτωνὶς λίμνη

Παλλάς (Apoll. lex.)· Ἀθηνᾶ, ἡ παίουσα τοὺς αὐλούς [34]

παλλάχανον· κρόμμυον. Ἀσκαλωνῖται [36]

πάλλει· κινεῖται, ἅλλεται

πάλλειν· κινεῖν (Π 142)· πηδᾶν. κληροῦν. κραδαίνειν. στρέφειν [39]

πάλλεσθαι· κληροῦσθαι. ἅλλεσθαι

COD. 88 |παγηδόν 91 πάλιν ἄγγελος — φασὶν ἐπιφέρειν 92 μεταμελῶς 94 παλινσύγγραπτον 95 παλινδεές 96 ἢ 201 συρφακίσαι, μνωμοχθῆραι παλινδορία 6 πάλιν οἰωνίαι 6. 7. 8 = 8. 6. 7 8 παλιμπλάκτοισιν 13 |εῖ bis 14 |άσασθαι 16 τὸ πρώην ἐναντίω 29 cf. παιδάκιμον

HES. Ad 96 πάλιν γεννῆσαι 99 παλιγγενεσία· τὸ ἐκ δευτέρου ἀναγεννηθῆναι, ἢ ἀνακαινισθῆναι 203 πάλιν ἐρέει (I 56)· ἐναντιωθήσεται. ἢ ἀντερεῖ 4 παλίνορσος (Greg. Naz. Arc. VII 123 p. 17)· ὀπισθόρμητος. πάλιν ὑποστρέψας (Γ 33) 5 παλινδία· ἡ ἐξ ὑποστροφῆς λεγομένα δίκη ⟨198⟩ 11 παλίντιτα (α 379)· ὀπισθέκτι[σ]τα, ὅ ἐστιν ἐξ ὑποστροφῆς τιμωρίαν δώσοντα 12 παλίντονα (Θ 266)· ὀπισ(θ)ότονα, ἢ τὰ ἐπὶ θάτερα τρεπόμενα 17 παλίνωξις (M 71)· ἡ ἐξ ὑποστροφῆς δίωξις 34 παλ[λ]άσσειν· ταράσσειν. βρέχειν. μολύνειν 36 πάλλεν (Γ 324)· ἔλαβεν. ἐκέρδαινεν 39 πάλλεται (X 452)· πηδᾷ. σείεται. καὶ τὰ ὅμοια ⟨246⟩

πάλλευκον· εὐήμερον
Παλληνίς· ἡ Ἀθηνᾶ ἐν Χαλκίδι [43]
πάλληξ· βούπαις
(παλλίξεσθαι· σφαιρίζειν) cf. 175
παλλιχίαρ· πεμμάτιόν τι παρὰ Λάκωσι [46—49]
παλλύτας· ὄργανον βασανιστήριον
πάλμη· γέρρον (parma)
παλμός (Nic. Th. 744)· τρόμος. σεισμός. καὶ τὰ ὅμοια
παλμυός· βασιλεύς. πατήρ. οἱ δὲ πάλμυς (Hipponax) [54. 55]
†παλλωΐα· τὸ μὴ τυχεῖν βάλλοντα
πάλος· κλῆρος. ἀπὸ τοῦ πάλλεσθαι, πρὸς τὴν ἄρσιν τοῦ λαγχάνοντος. καὶ τό (Γ 316)·
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες
πάλος ἔξευξεν (Eur. Tro. 263) [59. 60]
παλτά (Aesch. fr. 16)· ἀκόντια. λόγχαι [62]
παλτόν· κληρωτήν
παλτῶν· ἀκοντίων
παλύνας (§ 429 Soph. Ant. 247)· τὸ λεπτὸν τῆς γῆς ἐπιβαλών, τὴν λεγομένην χυτήν. εἴρηκε δὲ ἀπὸ τοῦ ἀλεύρου (κ 520)·
ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν
πάσσει(ν)
παμβῶτις τύχη ἐλπίς (Trag. inc. fr. 197)· παντοτρόφος
Παμισός (Herod. VII 129 Eur. fr. 1068, 11)· ποταμός
παμμάκαρ· κατὰ πάντα μακαριστός
παμμέγεθες (Xen. Mem. III 6, 13)· λίαν μέγα [70]
παμμήστορα· πάντων τεχνίτην
πάμπαν· παντελῶς. ὁλοτελῶς. ὁμοίως. ὄντως
†Πάμπανον· ἡ Δημήτηρ ἐν Ἡρακλείᾳ
παμπήδην (Soph. Ai. 910)· ὁλοσχερῶς. παντελῶς (436)
παμπησία· πᾶσα ἡ ὕπαρξις
παμποίκιλος· πολύτροπος [77]
παμφάγος (Alcm. fr. 25, 4)· πάντα δαπανῶν
παμφαές (Eur. Tro. 550)· φαιδρότατον. πάντα φωτίζον
παμφαίνειν· λάμπειν, στίλβειν, ἀστράπτειν
παμφαλύζει· τρέμει (cf. βαμβ—)
παμφανάᾳ· λάμπει [83]
παμφαοῦς· πάντα φωτιζούσης
παμφθόγγῳ· παμφώνῳ
πάμφι· παντάπασι
Παμφίδες· γυναῖκες Ἀθήνησιν ἀπὸ Πάμφου (—ω) τὸ γένος ἔχουσαι
παμφόρῳ· πάντα φέροντι
παμωχίων· κεκτημένος
παμῶχος· ὁ κύριος. Ἰταλοί. καὶ ἡ δεκάς
πᾶν· ὅλον. τὸ πᾶν· τὸ ὅλον. (καὶ τὸ φιλεῖν τῷ στόματι τὰ παιδία [καὶ] τὸν πατέρα)
παναγεῖς (Philonides)· Ἀθήνησιν ἱέρειαι
παναγῆ· καθαρά. ἅγια
παναγής· καθαρός, κατὰ πᾶν ἁγνός
παναγία· ἱέρεια, ἥτις οὐ μίσγεται ἀνδρί [96]
πάναγρα· [ad 97] ἐν οἷς τὰ λεπτὰ καὶ ἀδρὰ θηρεύεται [98]
πανάθεστος· πάντα ἀπαραίτητος
παναθήνεια (Menand. p. 211)· ἡ τῶν Ἀθηναίων ἑορτή. καὶ ὁ ἀγών [301]
πάναιθον· λαμπρόν
Παναῖοι (Thuc. II 101)· ἔθνος Θρᾴκιον [4]
παναίσυλος· πανκάκουργος
πανάκεια (Call. Ap. 39)· θεραπεία
πάνακες (Nic. Th. 565)· βοτάνη τις, ἣ πολλοῖς ὀνόμασι καλεῖται
Πάνακτος· ἡ ὀρίγανος (Nic. Th. 626). καὶ τόπος ἐν τῇ Ἀττικῇ (Thuc. V 39 al.)

COD. 41 ἀνήμερον 42 παλληνίας — χαλκίτη cf. παρθένου Π. 56 [με]ταμώνια? 57 πάλλος — ἄρνησιν — χάλκησεπάλλον 57 πάλλος 61 πάλτα 62 πᾶλτο 63 πάλτον 65 χύτην — λευκάνειν παλύνειν 66 τύχη, ἐλπίς 73 Παμπάμων? 75 παμπησσία 85 παμφθόνῳ 89 παμμωχιῶν 90 πάμωχος 91 καὶ τὸ .... πατέρα] post 90 92 post 99] παναιεῖς 95 post 303] παναιΐα 99 post 302] παναίθετος 303. 4. 5 = 5. 3. 4 3 πάναινοι 5 παναίγυλος 7 πανὲς (8 Confundit πανάκτειος (cf. σπάνακος) et Πάνακτον)

HES. 43 παλλία (37)· ἀγών. οἱ δὲ τῷ Πάλει. ἔνιοι δὲ τῷ Πανί (παλεῖν — τὸ πᾶν cod.) 46 πάλλεται· πηδᾷ. σείεται. κραδαίνεται. κινεῖται. σφύζει (ex onomast. cf. 239) 47 πάλλον (Γ 316)· ἔσειον. καὶ τὰ ὅμοια 48 πάλλων (Γ 19)· κινῶν, ταράσσων 49 παλλομένων (Ο 191)· κληρουμένων 54 Παλμύτης· Αἰγύπτιος θεός (Παμύλης) 55 πάλ-αις-νης· πλάνης. ἀπάτης 59 παλλουμένων (Ο 191)· κληρουμένων 60 πάλοις, τοῦ πάλλεσθαι, καὶ τὰ ὅμοια 62 πάλτο (Ο 645)· ἥλατο. ἀπέβη 70 παμμελέσιν (III Macc. VII 16)· ἐνμελέσι. γλυκερέσιν 77 πάνπρωτον (δ 577)· πάντων πρῶτον 83 παμφανόωντα (Ε 295 al.)· λαμπρόν, πάντοθεν λάμποντα 96 παναγιστίας. παναγίας Ad 97 [πανάγρια,] 98 πανάγρου (Ε 487)· τοῦ πάντα ἀγρεύοντος 301 παναίθῃσιν· ὅλαις λαμπραῖς (Ξ 372)· παναίθυσι κορύθεσι 4 παναίολος (Κ 77)· παμποίκιλος (338)

παναλκές· ἰσχυρόν. παντοδύναμον
πανάμερος· δι' ὅλης ἡμέρας
πανάμωμος (Simonid. fr. 5, 17)· ἀρεστός [12]
παναρμόνιον (Plat. Civ. 399 C)· εἶδος ὀργάνου, ἐξ ὅλου τεταγμένον. Ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία [14]
πανασχηθέα· πάντα ὑγιῆ
παναφήλικα (X 490)· πάντων ὁμηλίκων ἀπεληλαμένον ἐκτός [17]
πανάωριον (Ω 540)· πάντων ἀωρότατον. καὶ ἄμοιρον. ἢ κατὰ πάντα ἄωρον
πανδαισία (Com. fr. CXCIII)· ἡ πάσαις ταῖς αἰσθήσεσιν ἡδονὰς παρέχουσα εὐωχία, ἢ πολυτελὴς τράπεζα
πανδαισίαν· τὴν παντοδαπὰ ἐδέσματα καὶ πολυτελῆ ἔχουσαν
πανδαμάτωρ (Ω 5 Simonid. fr. 4, 6)· ὁ πάντας δαμάζων
πανδαμικοί (—ίσκοι)· παιδικοὶ χιτῶνες ἐν ταῖς πομπαῖς
πανδερκεῖς· πάντα ὁρῶντες [24]
πανδημεί (Herod. VII 144)· σὺν παντὶ τῷ δήμῳ
πανδήμιος (σ 1)· ὁ καθ' ὅλον τὸν δῆμον ἀναστρεφόμενος
πανδήμου· δημοσίας, κοινῆς
πανδῖα· ἑορτὴ Ἀθήνησι
πανδοκεῖον (Ar. Ran. 550)· πανδοχεῖον
πάνδοξ· ὁ ἐν πανδοχ(ε)ίῳ οἰκῶν
πανδοῦρα ἢ πανδουρίς· ὄργανον μουσικόν. Πάνδουρος δὲ ὁ μεταχειριζόμενος τὸ ὄργανον
Πανδοσία (Demosth. 84, 22)· πόλις τῆς Ἠπείρου καὶ Ἰταλίας
πανδοχεύς (Plat. Leg. 918 B)· ἐπιδέξιος, ὁ πάντας δεχόμενος
πανδώρα (Ar. Av. 971 Hipponax)· ἡ γῆ, ὅτι τὰ πρὸς τὸ ζῆν πάντα δωρεῖται. ἀφ' οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα
πάνεια (Messapii)· κεχορτασμένη
πανείπας· ἀναιδής
πανέξαλλον· ἐν πᾶσιν ἀλλότριον [38]
πᾶνες· τοὺς ἐσπουδακότας σφοδρῶς περὶ τὰς συνουσίας ἔλεγον [40]
πανήγυρις· ἔπαινος. ἑορτή. θέατρον
πανημαδόν· διὰ βίου
πανημέριος (P 180 al.)· οὐχ ὁ δι' ὅλης ἡμέρας, ἀλλ' ὁ ἀφ' οὗ τι(ς) ἂν ἄρξηται μέρους· ἢ καὶ δι' ὅλης τῆς ἡμέρας, καταχρηστικῶς
πανήρεα· πᾶσιν ἀρέσκοντα
πανήρεσι· κατὰ πάντα ἡρμοσμέναις
πανῆρες· πᾶσιν ἀρέσκον. ποικίλον. παμμήχανον
?πανήπορος· πανάπορος, ἐνδεής
πανθρ(ό)ῳ δήμῳ· παρρησίαν ἄγοντι δήμῳ, πάντα θροοῦντι, ὥστε μηδὲν ὑποστέλλεσθαι
πάνθρυλον· τὸ πάντα θρυλοῦν
†πανθύλην· μονογενῆ †τοῖς τόξοις ἢ σφενδόναις (cf. πάλθοις) [52. 53]
Πανία· ἡ Πελοπόννησος
πανίας βήσσας· ὡς ἀπὸ τοῦ Πανός. Αἰσχύλος Καλλιστοῖ (fr. 93) [ad 54]
πανικτόν· Ἕρμιππος ἐν Στρατιώταις (fr. V)·
ὥρα τοίνυν μετ' ἐμοῦ χωρεῖν (τὸν) κωπητῆρα λαβόντα
καὶ προσκεφάλαιον, ἵν' ἐς τὴν ναῦν ἐμπηδήσας ῥοθιάζῃς.
ἀλλ' οὐ δέομαι πανικτὸν ἔχων τὸν πρωκτόν (προσκεφαλαίου)
πανίον αὐτόχρουν· ὁμόχρουν. λευκόν. καθαρόν
πανίῳ δαίμονι· μανιώδει δαίμονι
πανιώνιον (Herod. I 141)· ἱερὸν Ποσειδῶνος ἐν Ἰωνίᾳ
πάνκαλος (Plat. Conv. 204 B)· ἐξ ὅλου, κατὰ πάντα καλός
πανκαρπία (Soph. fr. 265)· πανσπερμία
πανκρατής (Soph. Ai. 675)· πάντων κρατῶν, καὶ ἄρχων, καὶ βασιλεύων [62]
†παννόας· ὁ ἀπόπληκτος. καὶ ἀδολέσχης [64]

COD. 16 παναφίληκα — ὁμιλήκων 19 ἐσθήσεσιν ἡδοναῖς Post 22] 28 πανδεία (27 πανδημίου Cyr.) 29 |κίον — χίον 31 ἡ 42 |δαμόν (Euseb. PE. V 22) 45 πανηρίαισι 49 πανθρύλιον 50 πανθοιδῆ Cyr. 53 πεδοπόνησος (Ἀπία? sed. cf. Phot. 377, 17) 54 ἐπὶ 55 κοπητῆρα — ἵν' ἐστὶ — ῥοθίαξις 56 πάνιον — ὁμοέχρουν 57 πανιωδαίμονι, μανιωδαίμονι 58 ἀπόλλωνος 59 παγχ|

HES. 12 πανάποτμος (Ω 255 Greg. Naz. C. I 362)· ἀθλιώτατος, κατὰ πάντα κακόποτμος, ὅ ἐστι παντελῶς κακόμορος 14 πανάργυρον (ι 203)· ὅλον ἀργυροῦν 17 Παναχαιῶν (B 404)· πάντων Ἑλλήνων 24 πᾶν δ' ἦμαρ (Α 592)· δι' ὅλης δὲ τῆς ἡμέρας 38 παναίολος (Κ 77)· παμποίκιλος (304) 40 πανέφιον (Φ 397)· πᾶσι συναπτόν (384) 52 πανθυμαδόν (σ 33)· πάσῃ τῇ ψυχῇ, ἢ παντὶ τῷ θυμῷ Ad 54 [καὶ ὁ λευκὸς πάντη] [ἢ ὁ λευκὸς πάντη καὶ καθαρός. καὶ ὁ μέλας καθαρός (356) 62 πάντα· ὅλα 64 παννυχίη (Ψ 105)· δι' ὅλης τῆς νυκτός

παννυχίς· ἑορτὴ νυκτερινή [66]
πανόλβιος (Theognid. 441)· παμμακάριστος. (ἢ ὁ τὰ κακὰ ἀποστρέφων) [68]
πανομφαῖον· πεφημισμένον
πανομφαίῳ (Θ 250 Simonid. fr. 146, 2)· ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφέρεται, τουτέστι κληδών
Πανόπη· πόλις Φωκίδος
πανόπτης· πολυόφθαλμος. Ζεύς. Ἀχαιοί ⟨—ός? an Θ 250⟩
πάνοπτος· ὁ πανταχόθεν φαινόμενος. [74] ἢ ἐπίθετον Ἀπόλλωνος
Πανὸς σκῶλον· ὄνομα σχήματος, ὅταν †οἱ ἀπὸ σκώλου ἢ πεπληγὼς
(Πανὸς αὐλίον (Ar. Lys. 722)· ἄντρον τι λέγεται [ad 75]
Πανὸς σκότος· οἷον ⟨Ἴων?⟩ νυκτερινὸ†ς φαντασίας [77]
πανοσπρία· συμμιγὴς πληθύς. σύνοδος
πᾶν ὁτιοῦν· οἷον δή ποτ' οὖν, πᾶν τὸ τυχόν
πανοῦργος· πάντα μανθάνων. δόλιος, πάντα ἐν πονηρίᾳ ἐργαζόμενος
πανουλεύς (Cyprii)· ἐξώλης
πανούριος· πάντα οὔριος
Πάνοψ (Plato Lys. init.)· ἥρως Ἀττικός. ἔστι δὲ αὐτοῦ καὶ νεώς, καὶ ἄγαλμα, καὶ κρήνη
πανόψιον (Φ 397)· πάντων ὁρώντων. πᾶσι σύνοπτον. λαμπρόν ⟨340⟩
πανσαγία (Soph. Ant. 107)· πανοπλία
πανσθενεστάτῳ· ἰσχυροτάτῳ [87]
πάντα κάλων σείει· παροιμία [ad 88]
πάντα κινήσας πέτρον· παροιμία
πάντα λίθον κινεῖν· παροιμία [ad 90]
παντάνα (Dor.)· τρυβλίον [92]

παντάπασι· παντελῶς. ὅλως
πανταρκέα· πᾶσι βοηθόν
πανταρκής (Aesch. Pers. 855)· ὁ πᾶσιν αὐταρκῶν [ad 95]
παντάσκιος· ὁ πάντοθεν σκιὰν οὐκ ἔχων
πανταχῶς (Menand. p. 162)· πάντα τρόπον
παντελές· παντελῶς, ὁλοτελῶς
παντελής· ὁλοτελής [ad 99]
παντεπόπτης· ὁ πάντα καθορῶν (schol. Ar. Ach. 434)
πάντες· ἀντὶ τοῦ οἱ πλεῖστοι [402]
παντευχία (Aesch. Sept. 31)· πανοπλία
πάντη· πάντως [ad 4] [5. 6]
παντὶ σθένει (Thuc. I 86, 3)· ὅλῃ, πάσῃ δυνάμει
παντί τῳ· παντί τινι
παντοδαποῖς (Soph. Phil. 714)· διαφόροις
παντοδαπός (Aesch. Sept. 357)· παντοῖος. σύμμικτος
παντοδαπῶν· παντοίων. καὶ διαφόρων [12]
παντόθι· πανταχοῦ [14. 15]
†παντομάντειραι· μοῖραι
πάντοσε (Γ 347)· εἰς πάντα τόπον. πανταχοῦ [18]
παντώνια (Aeoles)· παντοδαπά [20—22]
πάντως· ἰσοδυναμεῖ ἀληθείᾳ. κυρίως
πάντως θαρσαλέη (τ 91)· κατὰ πάντα θρασεῖα [25]
πανυπείροχον· πάντων μέγιστον
πάννυσσα· στρόφος. ἀναδέσμη. οἱ δὲ κειρίαν, ἢ τὰς τρίχας ἀναλαμβάνουσι
πανύστατον· πάντων ἔσχατον [29. 30]
πανώλεθρον· ἐξώλες, πανῶλες
πανώλης· πανώλεθρος, ἐξώλης, ἀπολλύμενος

COD. 67 ἢ κτλ.] post 69 70 ἀναφαίνεται 73 ἀπο 75 πανοσκῶλον — ἢ — ὅ λλ' .ντρον 76 πανόσκοτος 79 πανοτηροῦν 83 ἀττικῶς 84 συνάπτον 88 παντάκαλον 93 ὅλος 411 παντοδᾶ.. 19 παντόνια 23 ἴσως δυνάμει 27 τροφός 30 παντὸς 31 πανο| 32 πανόλεθρος

HES. 66 (πανοικὶ Act. App. XVI 34)· σὺν ὅλῳ τῷ οἴκῳ 68 πάνομαλφαίῳ 74 πανορμί Ad 75 σχῆμα 77 πανοσπρία· σύνοδος 87 πανσυδίῃ (Β 12)· ὁμοῦ πάντες Ad 88 ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων Ad 90 ἧς μέμνηται Ἀρίσταρχος. ὅτε γὰρ Ξέρξης ἐπὶ τοὺς Ἕλληνας ἐστράτευσεν, ἡττηθεὶς παρὰ Σαλαμῖνι ...... 92 πάντα δ' ἀπόλεψεν χρόα ἔργαθεν (Λ 437)· οὐ κατὰ βάθους ἔτρωσεν, ἀλλ' ἀπεῖρξε τοῦ χρωτὸς καὶ τῶν πλευρῶν τὸ δόρυ Ad 95 [ὁ] Ad 99 [καὶ] 402 πάντεσ(σ)ιν (Κ 173 al.)· ὑπὲρ πάντων Ad 4 πανταχοῦ, πάντοθεν (Ε 739) 5 πάντη τε (Υ 492)· πάντως 6 πάντη· πανταχοῦ (Α 384 ἐν) ἑκάστῳ (τόπῳ) 12 πάντοθεν (Ν 28)· πανταχόθεν, ἐξ ἑκάστου τόπου 14 παντοίων (Β 397)· πάντων. πολυτρόπων 15 παντοκράτωρ (sacr.)· ὁ θεός, πάντων κρατῶν 18 παντόσε εἰσίν (Ε 300)· παντόθησι στρογγύλοις 20 πάντων· πάντως 21 πάντων· ὑπὲρ πάντας 22 πάντων ἐκπλαγώτατε (Λ 146)· ὑπὲρ πάντας ἐκπληκτικώτατε 25 πανυπερτάτη (ι 25)· πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων 29 παννυχίους· δι' ὅλης νυκτός 30 πάντη τε καὶ πάντως· κατὰ λόγον καὶ τρόπον πάντα

πάξ· ὑπόδημα εὐυπόδητον. ἢ τέλος ἔχει (Diphil. fr. VIII p. 419)
Πάξοι (Polyb. II 10, 1)· νῆσοι κατὰ Ἰταλίαν [35. 36]
παπαῖ· σχετλιασμός
πάπας· πατρὸς ὑποκόρισμα
πάππα (ζ 57 Philemon. p. 14)· προσφώνησις παι(δὸ)ς πρὸς πατέρα
παππ(ά)ζοιεν· πατέρα καλοῖεν
παππάζουσιν (Ε 408)· πατέρα προσαγορεύουσιν. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῶν παιδίων, ἃ τοῖς πατράσι λέγει πάππα
πάππος· ἄκανθα (Eubul. p. 255)· ἐπὰν γηράσῃ καὶ ἀποξηρανθῇ, καὶ ὑπὸ ἀνέμων ἐκριπίζηται, καὶ τόπον ἐκ τόπου μεταβάλλῃ (Soph. fr. 783). σημαίνει δὲ καὶ ὀρνέου εἶδος (Ar. Av. 765). καὶ πατρὸς ἢ μητρὸς πατέρα. καὶ τὴν ὑπὸ τῷ γενεί(ῳ) τρίχωσιν (Plat. Legg. 856 D)
παπταίνειν (Soph. Ai. 11)· περιβλέπειν πάντῃ
παπταίνοντα· δρῶντα [45. 46]
(παπταλᾶν· περισκοπεῖν, ἐρευνᾶν) cf. 93
πάρα (Ε 603)· ἐγγύς. πάρεστι [48]
παραβαλεῖ[ς]· ἀπατήσεις [ad 49]
παραβαλλόμεναι (Eur. Andr. 289)· ἐξαπατῶσαι. παρακα(τα)τιθέμεναι
παραβαλλόμενος (Ι 322 Thuc. III 65)· ἐναποκινδυνεύων, ὅ ἐστι παραβόλως μαχόμενος [52]
παραβαλοῦ (Ar. Ran. 180)· ἀνάπαυσαι. ἀπὸ δὲ τῶν νεῶν ἡ μεταφορά
παραβαλῶ· συγκρινῶ. παραθῶ, ὅμοιον
παραβαλών· ὁμοίως παραθείς [56]
παραβλέπων· στραβός
παραβλήδην (Δ 6)· ἀπατητικῶς. παραλογιστικῶς. ἐξ ἀντιβολῆς παραβάλλοντες
παραβληθησόμενος· συγκριθησόμενος [60]

παραβλῶπας· παρορῶντας
παραβλῶπες (Ι 499)· ὁμοίως, διάστροφοι, τὰς ὄψεις διαστρέφοντες, καὶ παραβλέποντες [63. 64]
παραβραβευθείς· καταρραγείς. παραμεληθείς
παραβραβεύων· παρακρίνων
παραβύουσαν· παρακαμ(μ)ύουσαν
παράβυστον (Timocles com. p. 608)· λάθρα γινόμενον, ἀπόκρυφον. ἀποκεκρυμμένον, ἢ μικρὸν κλινίδιον, παρατιθέμενον τ[illegible] μεγάλῃ, ἔνιοι δὲ δικαστήριον οὕτω καλούμενον [69. 70]
πάρα γε· ἐγγὺς δέ. ἢ κόψον (Euphron. com. IV p. 493, 15)
παράγει· παρέρχεται. παραπέμπεται. φυλάσσεται. εἰσπορεύεται
παραγκωνίσασθαι· ἀποστρέψαι
παραγόρευσιν· ἄρνησιν
παραγράφεται· ἐκβάλλεται
παραγραφή· ζημία
παραγράψαι· ὃ ἡμεῖς λέγομεν διαγράψαι. καὶ τὸ ἐκ τραπέζης λαβόντα διὰ γραμμάτων τῷ τραπεζίτῃ πιστώσασθαι
παραγράψεται· οὐ παραδέξεται
παραγυμνῶσαι· φανεροποιῆσαι
παραγωγαί· ἀπάται. χρήσεις
παραγώδας· χιτὼν παρὰ Πάρθοις
πάρα δέ (Hesiod. Opp. 424 = 452)· ἐγγὺς δέ
παραδέδρομα· παρεμνήσθην [84]
παράδειγμα· ὑπόδειγμα
παραδειχθῶ· †οὐ φαίνομαι
παράδεισος· τίθεται ἐπὶ τῶν ἀναισθήτων, οἷς ἔστιν ἐμπεριπατεῖν. ἢ τόπος [ad 87] εὔυδρος, ἐν ᾧ περίπατοι. καὶ ἡ βασιλέως κατάλυσις
πάρα δέ σοι· πάρεστι δέ σοι
παραδήμῳ· ἐξακούστῳ [90]

COD. 33 ὑπὸ δῆμα — ἔχειν 34 πάζοινης, οἱ 37 παπαί] post 39 40 καλεῖν (γλ) 41 πατρᾶσι 42 ἐκριπίζεται — μεταβάλλει 54 παράθω˜ ὅμοιον 68 τῇ με´ 77 τοῦ τραπεζήτου 80 ἀπάτου 81 |ωγάς 83 παραδέδρωμαι 87 οἷον ἔστιν ἐμπεριπατής

HES. 35 παππάζοιεν· παρακαλεῖν ⟨440⟩ 36 παπαίδην· παντελῶς ⟨274⟩ 45 παπταιγγεῖ· περισκοπεῖ 46 παπτήνας (Δ 497 al.)· περισκοπήσας 48 παραβαίνοντας (Ps. CXVIII 119)· ἀρνητικούς. ἢ μὴ εὐθέως βαίνοντας Ad 49 παραθήσεις. παραδώσεις (Proverb. II 2) 52 παράβολον· παράδοξον 56 παραβεβαῶτες (Ν 708)· παραβεβηκότες 60 παραβλητικός· παραβάλλων (Porphyr. ad Δ 6) 63 παραβολή (gl. Psalm.)· πραγμάτων ὁμοίωσις 64 παραβουλευσάμενος (Philipp. II 30)· εἰς θάνατον ἑαυτὸν ἐκδούς 69 παραγάγγας· εἶδος μέτρου Περσικοῦ ⟨657⟩ 70 παρ' ἀγαυοῦ Τιθωνοῖο (Λ 1)· παρὰ τοῦ λαμπροῦ Τιθωνοῦ 84 παραδειχθέν (Exod. XXVII 8)· φανερωθέν. ἢ παρασκευασθέν τι ἔλαττον εἰς μείζονα Ad 87 ἔνυδρος ἤτοι 90 παραδειγματίσαι (Matth. I 19)· φανερῶσαι. θριαμβεῦσαι

παρὰ δίκην (Trag. inc. fr. 72)· παρὰ τὸ δίκαιον

παρὰ δόξαν· παρ' ἐλπίδα, παρὰ προσδοκίαν

παράδοξον· θαυμαστόν. ἀπροσδόκητον

παράδοξος· ὁ παρὰ δόκησιν λεγόμενος

παράδοσις· ἄγραφος διδασκαλία

παραδόσεων· διδασκαλιῶν [97]

παραζηλῶν· παροξύνων, παρεξισῶν

παραζωστρίς· μικρὰ μάχαιρα

παραθαλπόμενος· παραθερμαινόμενος. †παρακμάζων (ad παραθάλλων?). παραμυθούμενος

παραθεῖ· παρατρέχει

παράθεμα· ἐπίθεμα

παραθέουσι· παρατρέχουσι

παραθήγειν· ἀκονᾶν, παροξύνειν (700. 62)

παραθήκη· παρακαταθήκη [ad 505] [6—8]

παράθρανος· κώπη τις ἐν ταῖς παραθράνοις [10. 11]

παρα(ι)βάται (Ψ 132)· οἱ ἐπὶ τῶν δίφρων ἑστῶτες μαχόμενοι, οἱ κύριοι τῶν ἁρμάτων

παρ' αἰγείρου θέα (Cratin. p. 189)· Ἐρατοσθένης φησί, ὅτι πλησίον αἰγείρου τινὸς θέα. (αἴγειρος δέ ἐστι φυτοῦ εἶδος) ἐγγὺς τῶν ἰκρίων. ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξετείνετο καὶ κατεσκευάζετο τὰ ἰκρία, ἅ ἐστιν ὀρθὰ ξύλα, ἔχοντα σανίδας προσδεδεμένας, οἷον βαθμούς, ἐφ' αἷς ἐκαθέζοντο, πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον [14]

ο
?Παραίλεως· ὄρος ἐγγὺς μ ῾ρ θ ν [16]

παραιθένατα· τὰ ἀπὸ τῶν μικρῶν δακτύλων παρὰ τὸ θέναρ, ἤγουν ἐπὶ τὸν καρπόν

παραικάτια· αἱ ἐπὶ τοῖς ζεύγεσι τῶν ὁπλιτῶν τάξεις

παραίνεσις· συμβουλή, νουθεσία, σωφρονισμός (827)

παραίπαιμα· παρακοπή [21]

παραιρεῖται· ὀλίγα ἀφαιρεῖται (850)

παραιρήματα (Thuc. IV 48)· παράρματα ἱματίων

παραιροῦνται· ἀφαιροῦνται [25]

παραισαβάζειν (Com. inc. CCXXVII)· παραμεμηνέναι. ἀπὸ τοῦ Σάβου [27—29]

παραίτησιν· παράκλησιν [31]

παραιφάσσει· τινάσσει. πηδᾷ. παρακινεῖ. καὶ τὰ ὅμοια (παιφάσσει?)

παραιφηλούμεθα· παραγόμεθα

παρακαίρια (Hesiod. Opp. 326)· παρά-κ(αι)ρα

παρακαταθήκη· ἐνέχυρον [36. 37]

παρακεκόακε· παρανοεῖ (549)

παρακεκομμένον· ἄνανδρον

παρακέκρουνται τῶν φρενῶν (Com. inc.)· παρηλλάττοντο

παρακελεύσεσθαι· προτρέψασθαι

παρακελεύουσιν· ἐπιτρέπουσιν

παρακεχόρδικεν· παρήλλαχεν. παρήμαρτεν

παρακεώμεθα (Ion.)· ἐγκείμενοι ὦμεν [45. 46]

παρακλιδόν (ρ 139)· ἕνα παρ' ἕνα. παρακεκλιμένος. παρατετραμ(μ)ένος· ‚παρακλιδόν, οὐδ' ἀπατήσω (δ 348)' [48]

παρακοᾶν· παρανοεῖν (538) [50]

παρακονᾶν· τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς

παρακόπτει· μαίνεται (609, ex onom.?)

COD. 88 παρεξ ισω. ῶν (h. e. παραζηλώσω [Rom. XI 11. 14]· παρεξισώσω) 506 ἐκβάλλει 9 παραθρόνοις 13 παραιγείρου — ὑφ' αἷς — πρὸς τὸ (cf. αἰγείρου et θέα) 17 παραιθέματα 20 πκωπή 22 παραινεῖται, ὀλίγῳ 23 |μματα, παράμματα 26 |ζειε, παραμεμηνέναι (31 cf. πάρφασις, παρέφασις) 33 παραιφη . . εύμεθα 38 παρακεκόαται 40 |κρονται, τ. φ. ἠλ| 47 |κληδόν — παρακεκλημένος — παρακληδόν
αλ

HES. 97 παραδραθέειν (Ξ 163)· παρακοιμηθῆναι Ad 505 [παράθου 6 †παραθῆται· ἐκβάλλῃ (511. 1027) 7 παρὰ θῖνα (Α 34)· παρὰ τὸν αἰγιαλόν 8 παραθέντες· ἐκβληθέντες (760. 1027) 10 παραθροξίας (Greg. Naz. vol. II p. 55 D)· παραδραμεία 11 παραθῶτε· ἐκβάλλει (506) 14 παράδοξος· θαυμαστός. ἐπάξιος. καὶ ὁ παρὰ δόκησιν λεγόμενος 16 παραίνει (Greg. Naz. p. 143, 10 Dr.)· συμβουλεύει 21 παραὶ ποσί (Ο 280)· παρὰ τοῖς ποσί 25 παραὶ ποσὶ κάππεσαι θυμός (Ο 280)· ἠγωνίας, καὶ κατέπεσαν τῇ γνώμῃ [ἢ ποσίν] 27 παραίσιμα (Δ 381)· ἀλλοῖα τῶν προσηκόντων 28 παρίσομαι (ν 393)· 29 παρί..οντα (Υ 414)· παρατρέχοντα 31 παραίφασις (Λ 792)· ἀπολογία. παραλογισμός. παραμυθία. συμβουλία. παρηγορία· παραίνεσις (onomast.) 36 παρ[α]κατέλεκτο (Ι 565)· παρακατέκειτο 37 παρακεκλημένοι (Ps. CXXV [VI] 1)· παραμυθηθέντες, παρακληθέντες 45 παράκλητον· πνεῦμα λέγεται, ὡς τὰς παρακλήσεις τῶν ὅλων δεχόμενον 46 παρακλήτορες (Iob. XVI 2)· παραμυθηταί 48 παρὰ κληῖδος ἱμάντα (δ 802)· παρὰ τοῦ τρυπήματος παραγομένου κλείθρου, δι' οὗ τὸν ἱμάντα ἐνιᾶσι 50 παρακοίτης (Ζ 430)· ὁ ἀνήρ. γυνὴ γαμετή, παλλακὶς παράκοιτις (Δ 60)

παρακόρησον (Plat. com. p. 637)· παρακάλλυνον
παρακόττει (Cretes)· παραφρονεῖ [55]
παρακροτήσαντες· παραθαρσύναντες
παρακροτῶν· παροξύνων
παρακρούει (Plat. Crit. p. 47 A)· πλανᾷ, ἐξαπατᾷ
παρακρουσθέντες· παραλογισθέντες
παρακρουσιχοίνικος (Com. fr. CCCXVIII)· παραλογιζόμενος ἐν τῷ μέτρῳ. εἴρηται δὲ οὕτω διὰ τὸ κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν
παράκρουστος· μωρός
παράκτης· ὁ τῶν κυνηγῶν τοὺς κύνας ἐπὶ τὴν θήραν ἄγων
παρὰ κωφὸν ἀποπαρδεῖ· ἡ παροιμία. πρόδηλος δὲ αὐτῆς ἡ αἰτία
παραλαλοῦντος· ...... [65]
παραλέ(λε)ξαι (Ar. Eccl. 904)· παρὰ τὸ τὰς ὑπερεχούσας (τρίχας) ἐν ταῖς ὀφρύσι παραλέγειν
παραληρούντων· μωρὰ λαλούντων
παραλία (Thuc. II 56)· ἡ Ἀττική. ἔνθεν καὶ ἡ ναῦς πάραλος (Ar. Av. 1204)
παραλία καὶ πάραλος καὶ παράλιος· παραθαλάσσιος [70]
παραλίτης (Thuc. VIII 74)· ὁ ἀπὸ τῆς παράλου· ἡ δέ .... ἐστιν ἱερὰ ναῦς
παραλλαγῆς· ἐναλλαγῆς, ἀλλοιώσεως
(παραλλάξ Soph. Ai. 1087) ἐνηλλαγμένως
παραλλάξαι (Plat. Theaet. 194 A)· [ad 73]
παραλλάξας· παρελθών
παρ' ἀλλήλαις· ἐγγὺς ἀλλήλων
παράλληλον· ἀκόλουθον, ὅμοιον τῷ μεταξὺ ὄν
παραλογισμός (Aristot. poet. XXIV 9)· ἀπάτη λογισμοῦ
παραλογιστής· ἀπατεών
παράλογον (Thuc. I 65)· ἀλόγιστον
πάραλοι (Herod. I 59 Ar. Lys. 58)· οἱ τὴν παράλιον οἰκοῦντες τῆς Ἀττικῆς
παραλουργεῖς· οἱ ἧττον ἔνδοξοι καὶ ἔντιμοι· ὡσεὶ λέγοι τις· παραβαφής. Ἀλουργὲς γὰρ τὸ ἐκ τῆς θαλαττίας πορφύρας ὕφος
παραλούς· παρακρατηθείς. συσχεθείς
παραλυθῆναι· ἀπολυθῆναι
παραλοῦμαι (Aristoph. p. 965)· παροιμιωδῶς· ἐπεὶ ὑπὸ τῶν πλουσίων οἱ πένητες παρελοῦντο [85]
παραλώματα· τὰ ἔξωθεν τῶν †μ̄ρῶν (σ)κεπασμάτων
παραμαρτών· ἀποτυχών [88. 89]
παραμεῦσαι· παραλλάξαι. ἐκτραπῆναι
†Παραμήνη· ἡ τῶν θεῶν †μήρα. Λυδοί
παραμίξεται (Herod. I 72)· γειτνιάσει [93. 94]
παράμονος· καρτερός [96—98]
(παρανείμας· παραναγνούς) cf. 588 [99. 600]
παράνοια· ὑπερηφανία
παράνομος· ἄνομος, ἄδικος. ἄθεσμος. [ἁμαρτία [3—5]
παράορος· σειραφόρος
παραός· ἀετὸς ὑπὸ Μακεδόνων
παράπαγος· μάνδαλος θύρας ⟨1002⟩
παραπαίει· παρακόπτει ⟨q. v.⟩, μαίνεται, ληρεῖ, παραφρονεῖ (sch. Aesch. Prom. 1056)
παραπαιόντως· ὁμοίως
παράπαιστος· παραπλήξ. ἢ παρειμένος
παράπαν· παντελῶς, καθόλου [13]
παραπασσόμενος· ἐπιβαλλόμενος [15]
παραπέμποντες· ἀπωθούμενοι [17]
παραπεπλεγμένως· συμπεπλεγμένως ⟨625⟩

COD. 53 παρακόρρυσον 54 |οττεῖ [εο] ⟨56 cf. παρεκρότει⟩ 63 παράκωφον ἀποπάρδει ⟨66 cf. προσθιάζειν⟩ 68 πλ 74 ἐνηλλαγμένως παρελθών 75 παραλλήλαις 76 τὸ 77 λογισμός 80 παράλιοι 81 ἥττονες — λέγει τις 84 |λύομαι — λύοντο 86 τεσσαρακοντηρῶν? 90 cf. πρυαμεῦσαι 606 παραράορος 14 |σθόμενος 16 ἀποθ—

HES. 55 παράκουσις· ἀπάτη παρενεγκεῖν 65 παρὰ λαπάρη(ν Γ 359)· παρὰ τὴν λαγόνα 70 παραλαλεῖ· φλυαρεῖ, μὴ γινώσκων ἃ λαλεῖ Ad 73 (παράλλαξον Prov. IV 15)· διάβηθι, πάρελθε 85 παραλώματα· τὰ ἔξωθεν 88 παραμήνας· παραναγνούς (598b) 89 παραμήξας· παραλλάξας ⟨—είψας⟩ 93 παρ' ἄμμι (I 427)· παρ' ἐμοί 94 παραμνείσω (κ 253)· παραμένοντι καὶ καταπραΰνοντι τὸ μένος, ἤγουν δύναμιν 96 παραμυθίαν (Sapient. XIX 12)· παράκλησιν 97 παραμύσασθαι (I 681)· συμβουλεῦσαι 98 παρὰ ναῦφιν (ξ 498)· παρὰ τῶν νεῶν 99 παρὰ νῆας (Λ 347)· παρὰ τὰς ναῦς 600 παρὰ νηυσί (Λ 26)· παρὰ τοῖς πλοίοις 3 πάραντα (Ψ 116)· τὰ παρὰ τὸ ἀντικρύ, οἷον πλάγια, τὰ παρατετραμμένα τῆς εὐθείας ὁδοῦ 4 παράνυμφος (Moer. 269)· νυμφεύτρια 5 παραξιφίς (II Samuel. V 8)· μάχαιρα 13 παρὰ πάντας (Luc. XIII 2)· ὑπὲρ πάντας 15 παραπείσῃ· παραπαίξῃ 17 παραπεπείθοιμι· παραπείθοιμι

παραπετάσματα (Herod. IX 82)· παρακαλύμ(μ)ατα

παράπηχυ ἱμάτιον (Macho Ath. 582 D)· τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν

παραπικραίνων· παροργίζων

παραπλαγιάσας· πλαγιασάμενος [23]

παραπλασμός· ὁ ἐν ταῖς τῶν αὐλῶν τρύπαις ῥύπος

παραπλέξαι· ἐμπλέξαι ⟨618⟩

παραπλάσματα· τὰ κηρία τὰ ἐπιτιθέμενα τοῖς ζητήμασιν ἐν τοῖς βιβλίοις ⟨858⟩

παραπλῆγος· μανιώδους [28]

παραπλήγων· μαινομένων [30]

παραπλήξ· παράφρων, τὰς φρένας βεβλαμ(μ)ένος, μανιώδης, παρακόπτων, παραφρονῶν

παραπληξία· μανία

παραπλήσιος· ἐμφερής, ὅμοιος

παραπλῆττον· ἐκπλῆττον

παραπλόκαμος· ἡ παραπεπλεγμένη τὰς τρίχας

παραπλομένοισι· παροῦσι [37]

παραπλῴζειν· τὸ παρὰ τὴν ὁδὸν ἵστασθαι, ἢ ἰέναι

παρὰ πόδα (Soph. Phil. 338)· εὐθέως. ἐγγύθεν

παρὰ ποδί· παρὰ τοῖς ποσί

παρὰ πολύ (Ar. Plut. 445)· πολύ

παραποιεῖν· παραπράττειν

παραποιήσασθαι· παρασφραγῖσαι

παραπρονοῆσαι· ἐνθυμηθῆναι, νοῆσαι

παραπομπή· μετακομιδή

παραρεῖν (Eupol. fr. I 6 p. 546)· φληναφεῖν [47]

παραρρητοῖσι (N 726)· παραμυθηταῖς [49]

παραρτίζεσθαι· παρασκευάζεσθαι [51]

παράρυμα· Σοφοκλῆς Πολυξένῃ (fr. 482) παράρυμα ποδός, ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ †ἅρματος πρὸς κάλλος. τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν. οἱ δὲ ὑπόδημα

παραρυμίς· τὸ παρὰ τὸν ῥυμόν

παραρύτειν· παρεγχεῖν [55. 56]

παρασάγγας (Herod. VI 42)· εἶδος μέτρου Περσικοῦ ⟨469⟩

παρασαγγιλόγῳ (Soph. fr. 476)· οἱ Πέρσαι τοὺς διαγγέλλοντας οὕτω λέγουσι

παρασάγγης· μέτρον ὁδοῦ, τριάκοντα σταδίους ἔχον

παρασαρῶσαι· †ἐροὴ δὲ καὶ [ad 60] κάλλυντρον τὸ σάρον. καὶ κόρηθρον καλεῖται (παράσειρα cf. 1850)

παρασεσυρμένοι· παρελκυσμένοι, ὑπεσκελισμένοι

παράσημα· τεράστια

παρασημαίνει· παραχαράττει. παραδηλοῖ

παράσημον (Aesch. Ag. 747 Schn.)· ἀδόκιμον, κίβδηλον. †ἀπὸ τὸ καὶ νομισμάτων τὰ κίβδηλα παράσημα λέγε†ται

παράσιτοι (Seleuci?)· ἀρχὴ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκδοχὴν ......

παράσιτος· κοσσοτράπεζος

παρασιωπῶν· μακροθυμῶν

παρασκευάζεται· εὐτρεπίζεται, ἑτοιμάζεται

παρασπάς (Theophr. II 2, 4)· φυτὸν ἀπεσπασμένον

παρασπάσησθε· ἀφέλησθε

παρασπίζουσα (Eur. Ph. 1440)· συνοῦσα. συνοικοῦσα

παρασπιστής (Eur. Cycl. 2)· παρεστώς. ὁπλίτης

παρασπονδήσας· παραβὰς τὰς συνθήκας

παρασπονδοῦντες· ἐχθραίνοντες. πολεμοῦντες

παρασπῶν· συλῶν

παραστάδες· οἱ πρὸς τοῖς τοίχοις τεταμένοι κίονες (Eur. Andr. 1121)

παρασταδόν (O 22)· ἐκ τοῦ σύνεγγυς, ἢ παραστάντες, ἢ παραστατικῶς, ἢ κατὰ τρόπον, ἢ κατὰ τὸ δέον

παρασταθμίδες· τῆς θύρας τὰ πρὸς τῷ στρόφιγγι

†παράστανον· λόγχη

COD. 20 παραπῆχυν — μέρον μέρος 25 ἐνπλέξαι 27 μανιώδ·ς (η supra) 34 |ῆγον 37 παραπλόνεσι 48 παραρη— 52 παραρύμα 54 |υτεῖν, παρέχειν 58 —γῃ λόγῳ? 60 κάλλυντρος τὸ σ̄ρον — κόριθρον 70 |θαι, ἀφελῆσθαι 71 σύνους 76 τετρ— 77 |τικοί

HES. 23 παραπλέξασα (τ 187)· παρακρουσθῆναι ποιήσασα 28 παραπλῆγας (ε 418)· τοὺς τὰς ἄκρας ἀνατεινούσας ἔχοντας αἰγιαλούς. ἢ πέτρας 30 παραπληγία (Hippocr.)· παρακοπή 37 παρὰ πλόνεσι· παρὰ πολλοῖς 47 παραρητοί (I 522)· παραινετικοί, σύμβουλοι, παραμυθητικοί 49 παραρύματα (Exod. XXXV 10)· δέρρεις 51 παραρυείς (Prov. III 21)· μετεωρισθείς, παραπέσῃς 55 παραρύωμεν (Hebr. II 1)· ἐξολισθῶμεν 56 παραρυόμενον· παραπεσό[μενο]ν, παραρ(ρ)υέν Ad 60 [κάλυθρον ἢ]

παράστασις· φυγή. καὶ τὸ φυγαδεῦσαι *παραστήσασθαι* (Aristot. Pol. V 8 Plat. Legg. 856 D)

παραστάται (Hippocr. 278, 36)· τὰ ἀπὸ τῶν νεφ(ρ)ῶν ἀγγεῖα. καὶ οἱ πρὸς τὰς ὤας στήμονες

παραστάτην· πρ(ωτ)οστάτην

παραστάτησον· παραστάτης γενοῦ. νίκησον

παραστατίς· ἀγγεῖον θερμαντικόν

παραστέλλεται· ἀναστέλλεται

παραστέλλων· ἀναστέλλων

παραστησάμενος· μετακαλεσάμενος

παραστίζουσα [ad 88]· ἐπ(ε)ὶ τῶν [ ] ἀφυστερούντων τὰ ὀνόματα παρέστικται. [ ] ἄλλοι, ὡς ἀπόντα τινὰ *παραστίζουσα* σημειουμένη

παραστόρνυται· [καὶ τὸ] λεῖον ποιῆσαι [ξίφος, καὶ τὸ]

παρὰ στρότον (Aeolice) [90]

παρασύρει· χαυνοῖ. παρατρέπει

παρασυρέντες· παρατραπέντες

παρασυρῶ· παρατρέψω, καὶ τὰ ὅμοια

παρά σφιν ἢ παρά σφισιν· παρ' [ἑ]αὐτοῖς

παρασχεδιαζομένη· παραχαραττομένη [96]

παρατάσσεται· ἐν πολέμῳ ἀνθίσταται

παρατατικός· ἐκτεταμένος

παρατέθηγμαι· παρηκόνημαι. παρωξύνθην

παρατεθηγμένος· ἠκονημένος

παρατείνει· παρέλκει. πλατύνει [702]

παρατενεῖς· ἀπολεῖς [4]

παρατηρημάτων· ἐπιτηρήσεων, παραφυλάξεων [6. 7. ad 8] κληδονισμῶν τε καὶ ἀπαντήσεων

παρατρέπει· παραγορεῖ

παρατρέχει· παρέρχεται [11]

παρατρέψαι· παρενέγκαι. πορθῆσαι [13]

παρατροπαῖς· μεταβολαῖς [15]

παρατρύζει· παραφωνεῖ. γογγύζει

παρατρύζουσι· γογγύζουσι. καὶ τὰ ὅμοια [18]

παρατυχών· παρών [20]

παραύλια· τὰ παρὰ τὴν αὐλήν, οἷον πρόχωρα

πάραυλος (Soph. fr. 460)·

πάραυλος Ἑλλησποντίς, ὡραία θέρους,

ἡ κατὰ τὸ θέρος ἀκμάζουσα

πάραυτα (Eur. fr. 1064, 5)· παραχρῆμα, εὐθέως, παραυτίκα ⟨736⟩ [24]

παραυχενίζων· παρακλίνων

παράφημι (*Α* 577)· παραινῶ. παραμυθοῦμαι. συμβουλεύω [27]

παράφορα· παρατετραμμένα

παραφορμά· ἀρχή τις τῶν συνεξιόντων βασιλεῖ

παράφορος· παραφερόμενος. †παρόμοιος. ἐξεστηκώς

παράφρων (Soph. El. 472)· ἀνόητος

παραχαράσσον· παραλλάσσον, παρασημαῖνον

παράχασον· ἀναχώρησον (888)

παρὰ χεῖρα· μετὰ χεῖρα, ἐν χερσί

παραχρᾶται· κακῶς λέγει [36]

παραχωρημάτων· ἐκβολῶν [38]

παραψυχή (Eur. Hec. 280)· παραμυθία

παρδακῶν (iambographi)· διύγρων [41]

πάρδαλις (Ar. HA. IX 19, 2)· ποιὸς ὄρνις [43]

†*πάρδικος*· ἡ οἰκοδομὴ τῆς καθέδρας

παρεᾶσαι· πλαγιάσαι [46. 47]

παρεγγεγραμμένος· ὁ μὴ κατὰ νόμον τοῖς πολίταις (ἐν)τεταγμένος. δημοποίητος

COD. 80 παραπήσασθαι   83 παραστήσουσα σημειουμένη   89 ξίφος ad παραστομοῦται?)   93 |σύρω   Post 94] 733 ἀναχώρισον   715 παρατροπῶν   18 *παρατροπῶν* (cf. παρετρώπασκε)   20 *παρατρυχών*   22 ἑλλησπόντου ὦρα   29 *παράφορμα*   40 *παρδάκων* (cf. πάρταζον)   45 παρεάσαι   48 *παραγεγραμμένος*

HES. Ad 88 ἢ *παραστίζων ἢ παραστιχθείς* — ἀνακλυσετῶν — Σώφρων δὲ κεντήματά φησιν ⟨cf. κατάστικον⟩   90 *παρασυνεβλήθη* (Ps. XLVIII 13. 21)· ὡμοιώθη   96 *παράταξις* (gl. Psalm.)· πόλεμος. φάλαγξ. καὶ ὄνομα ⟨ὅμοια⟩   702 *παρατεκτείνετο* (Ξ 54)· παρὰ τὰ ὄντα κατασκευάσειεν   4 *παρατέτακται* (Zachar. I 6)· ἡτοίμασθαι   6 *παρατούριον*· ἀντίπανον. κράσπεδον ⟨v. παρείσανον⟩   7 *παραχαράκτης*· διαστροφεύς, παρατρωτὴς τῶν εὖ τεθέντων νόμων   Ad 8 *παρατηρημάτων*· ἐπιτηρήσεων   11 *παρὰ τὸ εἰκός*· παρὰ τὸ δέον   13 *παρατρέψας* (Ψ 398. 423)· παρελάσας   15 *παρατροπέων* (δ 465)· παρατρωπῶν. παραλογιζόμενος   18 *παρατρωπῶσ'* (I 500)· παρατρέπουσι, παραπείθουσι τῆς ὀργῆς   20 *παραυδᾷ* (λ 488)· παραφωνεῖ, παρηγορεῖ   24 *παραυτόφι* (Μ 302)· παρ' αὐτῷ   27 *παραφθαίησι* (Κ 346)· παραδραμεῖ   36 *παραχρῆμα*· παραυτίκα. [ἀθρόως.] εὐθέως ⟨723⟩   38 *παραψίδες*· τὰ μεγάλα τρύβλια   41 *παρδαλέην* (Γ 17)· παρδαλέως δοράν   43 *πὰρ δέ* (Γ 262)· παρὰ δέ   46 *παρέβασκε* (Λ 104)· παρεβάτει   47 *παρεβλήδην*· ἐρεθιστικῶς

παρέγγραπτος (Aeschin. p. 51)· νόθος παῖς. παρεγγεγραμμένος

παρεγγραφέντων· ῥᾳδιουργηθέντων

παρεγγυᾷ (Herod. III 8)· παραγγέλλει. διαδίδωσιν

παρεγγυᾶται· λέγει. παραδίδωσιν. ἐντέλλεται. παραινεῖ. διδάσκει. προλέγει. παραγγέλλει. διαβεβαιοῦται. ἢ παρεγγυᾷ

παρεγγυήσαντος· παρασχόντος

παρεγχρί(μ)ψεται· ἐγγίσει, προσπελάσει [55]

πάρεδρον· παρακαθήμενον. [ad 56] σύνθρονος

πάρεδρος· ἀρχή τις ,καὶ αὐτὴ ἡ κελεύουσα παρέδρους δίδοσθαι ὑπὲρ τοῦ τὸν ἁμαρτάνοντα μηνύεσθαι' [58. 59]

παρεθείς· ἐκβληθείς ⟨508⟩. ἢ ἐαθείς [61]

παρεθήγοντο· παρωξύνοντο ⟨504⟩

παρειά· γνάθος [64]

παρεῖαι ὄφεις (Cratin. fr. VI p. 143)· ὄφεων εἴδη μεγάλας παρειὰς ἐχόντων· ταῦτα δὲ ἥκιστα δάκνει ἀνθρώπους

παρείθη· παρελύθη, ἐχαυνώθη. ἐκρεμάσθη, ἐχαλάσθη. ἐάθη ⟨896⟩ (non Ψ 868) [67]

παρεικάθη (Plat. Soph. p. 254 C)· παρέλθῃ [ad 68]

παρείκαμεν (Boeot. Rhod.)· παρεπέμψαμεν ⟨cf. προσείκαμεν⟩

παρείκει (Pind. Pyth. VI 43)· παρέρχεται [71. 72]

παρειμένος (Eur. H. f. 1043 al.)· παραλελυμένος, ἐκλελυμένος, παράλυτος ⟨906⟩. παρεωραμένος. τετελευτηκώς. ἢ καταπεφρονημένος

παρειμένως· καταφρονητικῶς, ὁμοίως

πάρειμι (Eur. Phoen. 859)· ἐῶ. ἢ παραλέλυμαι ⟨772⟩

παρείμην (Boeot. pro παρήμην)· εὑρέθην. ὑπῆρχον [77]

παρεῖξαι· παραχωρῆσαι [79]

παρειπεῖν· παραμυθήσασθαι. παραινέσαι. παραπείσειν. παραλογίσασθαι [81. 82]

παρείς (Soph. El. 732)· ἐάσας, ἀφείς, καταλιπών

παρείσακτον· ἀλλότριον

†παρείσανον· κράσπεδον, ἀκρωτήριον [86.87]

πάρεισιν· εἰσίν

παρεισκρίνεται· παρεισέρχεται. παρεισβάλλει

παρεισρέων· παρεισερχόμενος [91]

παρεκίρνα· παρέμισγε

παρεκλήθη· παρεμυθή(θη) [94—96]

παρεκναμεῦντο (Hipponact. fr. 130)· παρεπορεύοντο ἐπιπόνως

παρεκρότει· παρώξυνεν [99]

παρεκτικόν· παρεχόμενον

παρεκόπτου (Ar. Eqq. 807. 859)· ἠφάνιζες [802]

παρελάσας· παραδραμών

παρελέγετο· παρὰ τὸν αἰγιαλὸν ἔπλεεν

παρελέξατο· [ad 5] παρεκλίθη. ἢ παρεπλέξατο· τὸ γὰρ παραπλέξαι τινὲς παραλέξασθαι καὶ λέξασθαι λέγουσιν

παρελεύσεαι (Α 132)· παραδραμεῖς· καὶ παραλογίσῃ ⟨v. οὐ παρ—⟩

παρελεύσεται· παραδράμῃ, παρέλθῃ

παρεληλυθότας· παραβαίνοντας

παρελθόντων· εἰσελθόντων

παρέλκεται· διατρίβει

παρέλκον· περισσόν. [περιττόν.] βραδύ. παρατεῖνον [12—15]

COD. 49 παρεγγέγραπτος — παῖς] post 48 51 παραγγελύει 52 ἢ πάρεγγυς 56 |ίμενον 57 δίδουσθαι 60 ἰάσας 68 παρείεται em. Phot. 394, 5 75 παραλελυμένος 77 ἐάσαι 97 παρεκναμενοῦντο, παρεπιπο| 801 παρεκτύπου 5 (cf. 835) παρακλήθη — τινὰς 6 |ίσεις 11 παρατίνων

HES. 55 παρ' αἰδοίῃσι (Ζ 250)· παρὰ ταῖς αἰδοῦς ἀξίαις Ad 56 παραμένον ⟨ad gl. sacr. εὐπάρεδρον⟩ 58 παρέζεο (Α 407)· παρακαθέζου 59 παρεζόμενος (Ε 889)· παρακαθήμενος 61 παρεθεωροῦντο (Act. Ap. VI 1)· κατεφρονοῦντο 64 πάρει (Matth. XXVI 50)· ἦλθες (cf. ἐφ' ᾧ πάρει) 67 παρείεμαι· παραλέλυμαι ⟨772⟩ Ad 68 [παρελύθη] 71 παρείχουλον· ἀπόφασις ἄρχοντα 72 παρεῖμαι (Eur. Ph. 859 v. l. Ierem. XX 9)· παραλέλυμαι, ἐκλέλυμαι 77 παρεῖναι (Χ 298)· ἐᾶσαι 79 παρείπῃ (Α 555)· παραλογίσηται 81 παρειμένων· παρεωραμένων 82 παρεῖρξαν (Λ 615)· ἐκώλυσαν ⟨897⟩ 86 παρείσῃ· παραστίκης 87 παρείσθωσαν (Sophoniae III 16)· παραλυέσθωσαν 91 πάρ[ε]ιτε· παρέλθετε ⟨946⟩ 94 παρέκλησε (v. l. Psalm. CXXIII 4)· παρῆλθεν 95 παρὲκ νόον ἤγαγέ μου (Κ 391)· τὸν νοῦν παρελογίσατο μου 96 παρεκμητόν (Ψ 762)· παρατομητόν 99 παρεκρούσατο (Genes. XXXI 7)· ἐχλεύασεν. παρεψηφίσατο. διεσκέδασεν 802 παρέλαβες (Coloss. IV 17)· ἐπαιδεύθης Ad 5 ἐκοιμήθη (Β 515) 12 παρέλκυσις (Iob. XXV 3)· βράδος, βραδυτής 13 παρελογίσασθε (Iosu. IX 20)· ἠπατήσατε, ἐψεύσασθε, ἐχλευάσατε 14 παρελύθησαν (Ierem. VI 24)· ἠσθένησαν 15 παρέλυσε (Ierem. XXVI 15)· καθεῖλεν, ἐξέβαλεν

παρεμβαλεῖ· παρεντίθησιν [17]
παρεμβάλοιτο κλῆρον (Trag. inc.)· συγκληρώσαιτο [19]
παρεμπίνειν· τὸ ἐκτὸς τοῦ λόγου πίνειν [21]
παρεμφάρακτος· ἀσελγής. πέρπερος
παρεμφαίνεσθαι (Aristot. ausc. phys. IV 4)· παραδηλοῦσθαι
παρεμφερές· ὅμοιον
παρ' ἕν· κατὰ τὸ ἑξῆς
παρενδοθῇ· παρατεθῇ [27]
παρενεγκεῖν· παραθεῖναι. παραβαλεῖν
παρενήνεον (α 148)· †παρανιέων. παρετίθεσαν ἀθρόως. παρεσώρευον
παρένθετος· παρείσακτος
παρενθῆκαι· μετενήνεκται (ἢ) ἀπὸ τῶν τεχνιτῶν τῶν παρεργαζομένων ἔνια λεπτά. ἢ ἀπὸ τῶν πλοϊζομένων· παρεντιθέασι γὰρ τοῖς φορτικοῖς κοῦφα. ἀπὸ τῶν καμιν(έ)ων· τοῖς γὰρ πίθοις πινακίσκοι παρεντίθενται καὶ λεπτά
παρέντες (Aesch. Ch. 1032)· παραλείψαντες, ἐάσαντες
πάρεξ (Hom.)· χωρίς, ἐκτός
παρεξειρεσίαν (Thuc. VII 34)· τὸ κατὰ τὴν πρῴραν πρὸ τῶν κωπῶν· ὡσεὶ λέγοι τις, πάρεξ τῆς εἰρεσίας [35]
παρεξηυλημένος (Ar. Ach. 681)· ὑπὸ γήρως τὸν νοῦν παρεξηυλημένον ἔχων, ἀμυδρόν. μετενήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς· αἱ γὰρ κατατετριμμέναι ἐξηυλῆσθαι λέγονται [37. 38]
παρὲξ τὸ θεῖον χρῆμα· ἔξω τῆς μίξεως
παρεοικώς· παρόμοιος [41—44]
†παρεπτάμενα· περιττά
παρεπτάμενον· περιττόν
πάρεργον· νόθον, ὡς μικρόν τι τῶν ἀναγκαίων [48]
παρέργως· ἀκαίρως. ῥαθύμως [50. 51]
†παρερέωσαν· παρετάξαντο, ἐν πολέμῳ ἀντέστησαν, κυρίως δὲ μετὰ τῶν ῥεῶν
παρερ(ρ)υπωμένα βιβλία· οἷς κηροὺς προσπλάσσομεν, πρὸς τὸ ζητῆσαί τινα ⟨626⟩
παρέρχεται· ὑπερβάλλει (non μ 62)
παρερρωγότα· κατερρωγότα ⟨848⟩ [56. 57]
παρεσθίει (Ar. Eqq. 1026)· παραβιβρώσκεται [59. 60]
†παρέσμεθα· ἤλθομεν ⟨863⟩
πάρεσο· παραγενοῦ
παρεσόμεθα· [παρεγενόμεθα
παρεσόμενος· παρεῖναι μέλλων
(πάρεσσα [Dor.])· παραγιγνομένη
παρέσσυα· παρώρμησα
παρέσσυται· παρέρχεται [67]
παρεστέλλετο· παρεγίνετο [69. 70]
[ad 71] ἀποτυχεῖν ἐποίησεν
παρέσφαλεν (Pind. N. XI 41)· [ad 72]
παρέσχεν· ἔδωκεν
παρετάξατο· ἐν πολέμῳ τέθνηκεν [75]
παρέτμηξεν· ἐξηφάνισεν
πάρετος· παραλελυμένος
παρετρώπασκε· παρετρέπετο
παρευημερεῖσθαι· νικᾶσθαι [80]
παρευθύνουσι· βιάζονται. παραφέρουσιν
παρευθύνωσιν· ὁμοίως
παρευνάζων· παρακοιτάζων [84—86]
παρέφησε· παρεγράψατο. ἠπάτησεν
παρεχάσσατο· παρεχώρησεν ⟨733⟩
παρέχει· [ad 89] χορηγεῖ
παρῇ· ἔλθῃ

COD. 18 |βάλλοιτο 20 ἐκ 25 παρέν 29 παρανιέων] παρανήεον? 34 |έσιον 36 κατατρημμέναι 39 πάρεξ 40 παρέοικος 54 ὑπερβάλλεται 58 |ίεται 61 παρήμεθα? 64 |μεθα 64ª post 65 65 παρόρμησα 66 |εται, παρέσχεται 69 παρέστησε — ἐξέστη (forte παρέπαισε· ἐξέστη) 81 προσφέρουσιν 87 cf. παρφάμεν 88 |χάσετο

HES. 17 παρεμβαλεῖ (Ps. XXXIII 7)· ἐπισκέπει 19 παρεμβολή (gl. Psalm.)· στρατόπεδον. παράταξις. στῖφος στρατιᾶς, ἢ πλῆθος. ἢ οἴκησιν. ἢ κάστρον 21 παρ' ἔμοιγε (Α 174)· πάρεισι γάρ μοι 27 παραίνεσις· συμβουλία. διδασκαλία 35 παρελέξατο (Β 515)· παρεκοιμήθη ⟨805⟩ 37 πάρεξ ὁδοῦ (Κ 349)· ἔξω τῆς ὁδοῦ 38 παρεξείποιμι (δ 348)· παρὰ τὴν ἀλήθειαν εἴποιμι 41 παρεόντα (ξ 145)· παρόντα 42 παρέπαφεν (Ξ 360)· παρέπεισεν 43 παρεπίδημος· πάροικος (Genes. XXIII 4) 44 παρεπλέγχθη (Ο 464)· παρεκρούσθη 48 παρεργότατα· κατερρογότατα ⟨855⟩ 50 παρενεῖται· ὀλίγα ἀφαιρεῖται ⟨522⟩ 51 παρ' ἐρινεόν (Ζ 433)· παρὰ τὴν ἀγρίαν συκῆν 56 παρεσταμένη γῆ· ἐφ' ᾗ τις ὀφείλει δάνειον· καὶ ἡ ἐκδεδομένη ἐπὶ γεωργίᾳ 57 πάρεσαν (Λ 75)· παρῆσαν 59 πάρεσιν (Rom. III 25)· ἄφε[ω]σιν, συγχώρησιν ⟨916⟩ 60 παρέσεσται (Λ 213)· πάρεσται 67 παρεσπονδημένοι· ἔκθεσμοι. παρηνομ(ημ)ένοι 69 παρέστη (Ο 442)· παρεγένετο. ἐπέστη 70 πάρεστιν (ρ 457)· ἐστὶν ἐγγύς Ad 71 παρέσφηλεν (Θ 311)· παρεφάνετο Ad 72 ὁμοίως 75 παρετάξαντο (Genes. XIV 8)· ἐπολέμησαν 80 παρευημερηθείς (Philo in Flacc. 969 D)· παροραθείς 84 παρεφάσεις (Λ 729)· παραινέσεις 85 παρεφασίῃσι (Greg. Naz. Arc. VII 113 p. 15)· παραμυθίαις 86 παρεφέρετο (I Regg. XXI 13)· ἐδαιμονίζετο Ad 89 δίδει

πάρηβον· παρὰ Κτησίᾳ (Phot. Bibl. 47, 33) ξύλον τι

παρήγαγεν· ἤνεγκεν. ἢ ἠπάτησεν

†παρηγοναῖς (Aesch. Ag. 94?)· †παραγώγως ἀπάταις

παρηγορεῖ (Soph. fr. 179)· παρακαλεῖ, παραμυθεῖ(ται)

παρηέρθη (Π 341)· παρηνέχθη ⟨901⟩ [96—98]

παρῆκεν· ἀφῆκεν, εἴασεν, ἔλειπεν [900. 1]

[ad 2] ἀπέλυσεν

παρήλασα· παρεφθεγξάμην. παρέβην

†παρήλατοι· παραμύθιοι

παρῆλθ' (Soph. OT. 1241)· ἧκεν. εἰσελήλυθεν [6—10]

παρήορος· ὁ παραιωρούμενος. ἄφρων (Archiloch.). καὶ ἵππος ὁ παράσειρος, ὁ ἐκτὸς τοῦ ἅρματος τρέχων (Ψ 603)

παρήπαφεν (Ξ 360)· ἠπάτησεν. ἐξέστησεν ⟨842⟩

παρηρία· μωρία

?πάρερος· ὁ μωρός (πάρηρος)

παρήσει(ν) μοι δοκῶ· ..... [16]

παρήσομεν· ἐάσομεν. παράσχωμεν

παρήτασεν· ἐξήτασεν

παρημάρησαν· κατεφρόνησαν

παρθέμενοι (β 237)· παραθέμενοι, παραβάλλοντες

σφὰς γὰρ παρ[α]θέμενοι κεφαλάς

παρθενίας· ἀβυρτακῶδές τι πέμμα [22]

παρθένιοι· οἱ κατὰ τὸν Μεσσηνιακὸν αὐτοῖς πόλεμον γενόμενοι ἐκ τῶν θεῶν. καὶ οἱ ἐξ ἀνεκδότου λάθρα γεννώμενοι παῖδες, ἀπὸ τοῦ δοκεῖν ἔτι παρθένους εἶναι τὰς γεννησαμένας αὐτούς. καὶ ποταμὸς Παφλαγονίας Παρθένιος (Β 854)

παρθενοπίπας (Λ 385)· ὁ τὰς παρθένους ὀπιπεύων, οἷον περιβλέπων, ἢ ἀπατῶν

Παρθένοι (Phrynich. com. p. 591)· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων .....

Παρθένου Πᾶλληνίδος (Eur. Heraclid. 1031)· [ad 26] Ἀθηνᾶς. ἔστι γὰρ ἱερὸν Ἀθηνᾶς ἐν Παλληνίδι

παριαμβίδες (Epicharm.)· Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτά(ς) φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν

Παριανός· ἐξ ἐπιθέτου Πρίαπος [29]

παριδρύσαντες· παρακαθίσαντες

παρίεται· ἐᾷ (ἐᾶται?), παραπέμπεται

παρίημι· ἐῶ, καταλιμπάνω, συγχωρῶ, ἀφίημι

παρίησιν· ἀφίησι [ad 33]

παρικτόν· παρερχόμενον

?Πάροικοι· γένος τι Ἀθήνησιν

παριλλαίνουσα· παρεμβλέπουσα. ἴλλοι γὰρ οἱ ὀφθαλμοί [37. 38]

παριππεύει· ἀφεὶς αὐτοὺς ἄλλῃ ὁδεύει. παρατρέχει. παρακολουθεῖ [40]

παρίσθμια (Hippocr. 271, 40)· τὰ περὶ τὸν φάρυγγα

παρίστασθαι· τὸ ἁρπάζειν τοὺς παῖδας

παρισώματα (Cratin. min. p. 376)· ὁμοιοειδῆ [44. 45]

πάριτε· ἔλθετε ⟨791⟩ [47]

παρμέμβλωκε (Δ 11 Ω 73)· πάρεστιν. [ἢ παραμεμένηκεν. ἢ] παραμεμόληκεν

πάρμη· Θρᾴκιον ὅπλον, σκεπαστήριον, †κονδότρον θυρεοῦ

Παρνάσιος Φωκεύς (Eur. Tro. 9)· ......

Παρνασός· ὄρος Φωκίδος

Πάρνηθος ὄχθος (Com. Trag.?)· ὄρος [ad 52] [53]

πάρνοπες (Ar. Av. 588)· ἀκρίδες

†Παρνόπη (Com. fr. CCCLXXXIV)· Καλλίστρατος Ἀθηναῖος [56]

ε

COD. 91 παρῆβον π κτησὶ 905 παρήλθηκεν 11 παρασυρεὶς 21 cf. νεοδάρτης 23 θεῶν] παρθένων? 26 Παλαινίδι — ἱερὰ 27 πεποιεῖσθαι 39 ἀφεῖ αὐτοὺς καὶ 41 φάραγγα 49 παρμηθαίκιον, ὁπὸν 53 Nisi malis Πάρνης

HES. 96 παρήθη· ἐάθη ⟨766⟩ 97 παρῇξαν (Λ 615)· ἐκώλυον ⟨782⟩ 98 παρείϊον· ὁ παρὰ τὸ γένειον τόπος (Ψ 690). καὶ κόσμος ἐπὶ μετώπου τῶν ἵππων παρὰ γνάθον (Δ 142) 900 παρήκτης· πάντα πράττων ἐπὶ κακῷ ⟨1009⟩ 1 παρήθρει (Π 341)· παρῃωρεῖτο ⟨895⟩ Ad 2 παρῆκεν· εἴασεν, ἀφῆκεν, 6 παρήμενος (Λ 421)· παρακαθήμενος. ἔκλυτος ⟨ad παρειμένος⟩ 7 παρημένων (λ 578)· παρενηνεγμένων 8 παρημοσύνη· θεραπεία ⟨86⟩ 9 παρηνέχθη (Π 341)· παρεκρεμάσθη ⟨895⟩ 10 παρῆξαν (Λ 615)· ἐκώλυσαν ⟨897⟩ 16 πάρησιν· χαύνωσιν ⟨859⟩ 22 παρθενική (η 20)· παρθένος Ad 26 [ἱέρεια] 29 παριαύων (Ι 336)· παρακοιμώμενος Ad 33 συγχωροῦσιν ⟨παριεῖσιν⟩ 37 πάριον· πιστόν. κάτοχον ⟨πάγιον⟩ 38 Πάριος (Γ 325)· Πάριδος. πιστός. κάτοχος ⟨πάγιος⟩ 40 παρ' ἵππων (Δ 500)· παρὰ τῶν ἵππων 44 παρίστατο (Β 244)· παρέστηκεν 45 παριστῶ· ἀποδείκνυμι 47 παρκατελέκτο (Ι 661)· παρεκοιμᾶτο Ad 52 τὸ αὐτό 53 Παρνησός· τὸ αὐτὸ ὄρος 56 παρξιφεῶς (Γ 272 Τ 253)· παρὰ τὴν τοῦ ξίφους (θήκην)

παροδικός ⟨—ῶς Cyrill.⟩· παρόδῳ χρώμενος

πάροδος· μέρος τι τῆς νεώς (Poll. I 88)

παροδούμενον· παροιμιαζόμενον. ᾀδόμενον

παρόδους· διαβάσεις

πάροιθεν (Hom.)· ἔξωθεν. ἔμπροσθεν. ἐπὶ τόπου καὶ χρόνου [62]

παροιμίαι· παραινέσεις, παραμυθίαι, νουθεσίαι, ἠθῶν ἔχουσαι καὶ παθῶν ἐπανόρθωσιν

παροιμία (Plat. com. p. 674)· βιωφελὴς λόγος, παρὰ τὴν ὁδὸν λεγόμενος, οἷον παροδία. οἶμος γὰρ ἡ ὁδός

παρ' οἶμον (Eur. Alc. 835)· παρὰ τὴν ὁδόν [ad 65]. καὶ πάροιμος ὁ γείτων

παροιμώσαντες· ἐκτραπέντες τῆς ὁδοῦ

παροινία (Amphid. com. p. 312)· ἡ ἐκ τοῦ οἴνου ὕβρις. καὶ οἱαδήποτε ἁμαρτία

παροινίαι· κραιπάλαι. ὕβρεις ἀπὸ οἴνου

παροινιάσαι· ὑβρίσαι, λοιδορῆσαι

πάροινος (Antiph. com. p. 80)· ἁμαρτωλός. μεθυστής ⟨cf. φλύαξ⟩. ὑβριστής, λοίδορος. ἔκλυτος [71. 72]

παροισθέντι· παρενεχθέντι

παροίσομεν (Soph. OC. 1676), παρενέγκωμεν. παρακομίσομεν [75]

παροιστρήσουσι· μαίνονται [77]

παροίτεροι (Ψ 459)· μᾶλλον ἔμπροσθεν προάγοντες

παροκλάζοντες· γονατίζοντες (1028)

παρολκή· ὑπέρθεσις

παρομαρτεῖ· παρακολουθεῖ [82]

παρόν (Aesch. Prom. 98)· ὑπάρχον. συνόν

παρόντα· προκείμενα

παροξυνταί· οἱ τρεφόμενοι ὑπὸ τῶν ἑταιρῶν ὡς †ἂν †δὴ ἐρασταί

†παροπαιδία· εἶδός τι πήρας

παροπλίδιον· μικρὰ μάχαιρα

παρορμᾷ (Xen. KΠ II 3, 12)· προτρέπεται. διεγείρει. παροξύνει

παρ' ὅρμον· παρὰ τὸν λιμένα

πάρος (Α 453)· ἔμπροσθεν. πρότερον [91]

παροτρύνει· διεγείρει

παρ' οὐδέν (Aesch. Ag. 229)· εὔκολον. εὐχερές

παρουσία· οὕτως ἐκάλουν καὶ τὰ ὑπάρχοντα [ad 94]. καὶ μήποτε ἡ παρὰ πρόθεσις παρέλκει. Μένανδρος Ὑδρίᾳ (p. 209)

παρουφά (Lac. Boeot.)· ἡ ἐν τῷ χιτῶνι πορφύρα

παροχετεύει· παραπλαγιάζει. προσεγγίζει. [ad 96] παραφέρει. παρορμᾷ

'παρυστρίδες· αἱ τὸ ἔλαιον χέουσαι

πάροχοι· παραβάται. παράπομποι, καὶ οἱ συμπορεύοντες τὴν νύμφην ἐπὶ τοῦ ζεύγους, καὶ (οἱ) παράνυμφοι (Ar. Av. 1740)

πάροχος· παράνυμφος

παροχῶν· δωρημάτων, χαρισμάτων

παροψίς (Ar. fr. p. 1016)· ὀξυβάφιον, ἢ ἐμβάφιον

πάρπαγος· ὁ ἄνω τῆς θύρας μάνδαλος (608)

Πάρπαρος· ἐν ᾧ ἀγὼν ἤγετο καὶ χοροὶ ἵσταντο

(παρπεπίθοιμι· παραπείθοιμι) cf. 617

παρπεπιθόντες (Ψ 37)· παραπείσαντες, παραλογισάμενοι

πὰρ πυλεῶνα (epic. inc.)· παρὰ πυλεῶνα [1006. 7]

Παρράσιον (Call. D. 99 Iov. 10)· ὄρος Ἀρκαδίας

παρρέκτης· πάντα πράττων ἐπὶ κακῷ (900)

παρρησία (Philem. fr. XXVIIa p. 43)· ἐξουσία. ἄδεια

παρσουλακίρ (Lacon.)· τὸν τρίβωνα, ὅταν γένηται ὡς θύλακος

παρτάδες· ἄμπελοι

πάρταξον· ὕγρανον. Λάκωνες

παρτέλλεται· παραινεῖται

παρτετύ(φωται)· μύει παραφρονεῖ. ἡμάρτηκεν [16]

παρτομίς· μικρὸν τῷ μήκει βιβλίδιον

παρυφή· ὕφασμα

COD. 59 παρω| 64 βιο| 74 |γκομεν 81 cf. οὐ παρομαρτεῖ 86 πάρη = πήρα Iones ap. Eustath. 1714, 55 87 |αίδιον 94 ὑδρείας 95 παράφα 96 παραπλησιάζῃ (cf. παρωχ—) 97 ἔχουσαι 98 τῇ νύμφῃ 1009 παρρήκης 11 παρσουλάκηρ 12 παρτάδαι 13 πάρταζον 15 μβει

HES. 62 πάροικοι (Eph. II 19)· ξένοι, παρεπίδημοι (Genes. XXIII 4, q. v.). Ad 65 λεγόμενος 71 πάροιος· πρᾶος (πατροῖος· πατρῷος) 72 παροῖραι· ἡγούμεναι, πρότεραι 75 παροιστρῆσαι (Ezech. II 6)· παροξῦναι, ἐρεθίσαι 77 παροιστρῶσαι (Basil. M. I p. 105 E)· ἐρεθίζουσαι. ἐξεστηκυῖαι 82 παρομαρτοῦν (Theodoret. Gr. aff. cur. p. 102, 1)· παρεισόμενον 91 πάρος γε (Σ 386)· πρώην. καὶ τὰ ὅμοια Ad 94 παρουσίαν Ad 96 περιπλησιάζει 1006 πὰρ πυμάτην (Σ 607)· παρὰ τὴν ἐσχάτην 7 Παρρασίη (Β 608)· πόλις Ἀρκαδίας 16 πάρ τοι (Ι 43)· πάρεστί σοι

παρυφίς· Μένανδρος ἐν Ὑμνίδι (fr. VII p. 20)

παρφάμεν (Pind. Ol. VII 120)· παραβῆναι ἅπαντα [21]

πάρφασις· παραίνεσις. συμβουλία. παρηγορία. ἡ ἀπάτη (Ξ 217)

παρφυσίδες· βάτραχοι

παρῶ· παραλείπω. ἢ συνῶ

παρωάς· παρωαὶ (Ar. HA. IX 32, 1) λέγονται ἵπποι τινὲς τὸ χρῶμα πυρ(ρ)οί (1034)

παρῳδοῦντες· παρατραγῳδοῦντες. χλευάζοντες. ἢ † λέγοντες

παρωθοῦντες· ἐκβάλλοντες (508)

παρώκλασεν· ἐγονάτισεν (979)

παρωλένια· τῶν χειρῶν τὰ ὄπισθεν

παρώλισθεν· ὠλίσθησεν, ἐξέπεσεν

παρώλοφα· τὰ ἀπὸ τῶν τενόντων μέρη (Poll. II 134)

παρ†ώμφημα· παρωνυμίασμα

παρώνυμον· ἐκ τοῦ συμβεβηκότος καλούμενον

πάρωος· εἶδός τι πυρ(ρ)οῦ χρώματος ἵππου (1025)

[ad 35] ἐν τῷ περὶ ἱπποτροφίας [36]

παρώπια· τὰ τοῖς ἵπποις παρατιθέμενα δέρματα, ἃ τινες ἀνθήλια λέγουσι [ad 37]

παρῶπται· παρεώραται

παρῶπτο· παρεώρατο

πάρωρον (Theoph. CP. V 1, 4)· παράκαιρον

παρωσάμενος· ἀπωθήσας. ἀποβαλών

παρώσας· ἐάσας. ὤσας, ὠθήσας· ἐκβαλών (Soph. Tr. 358) [43]

παρωσμένων· δεδιωγμένων [45. 46]

παρωχ†ετεύων· ὅταν ἀπὸ τούτου τοῦ μέρους στρέφῃ τὸ ὕδωρ εἰς ἄλλον ὑδρα(γω)γόν

παρῳχημένας· παρελθούσας [49]

πᾶσαι (B 809)· ὅλαι

πασάμενος· [ad 51] κτησάμενος (Theocr. XV 90)

πασάμην· ἐδεξάμην (non Φ 76) [53]

πάσανος· ἀρτοπώλης, ἢ ἀρτόπτης [55]

πάσατο· ἐγεύσατο. ἐκτήσατο [57. 58]

πᾶσις· κτῆσις

πάσκος· πηλός

πάσμα· ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον. ἔνιοι μαλλὸν ἐρίου (πέσμα)

πάσορ· πάθος. Λάκωνες

πασπάλη (Ar. Vesp. 91)· τὸ τυχόν. οἱ δὲ κέγχρον· ἢ ἄλευρα κρίθινα

Πασπάριος· ὁ Ἀπόλλων· παρὰ Παρίοις καὶ Περγαμηνοῖς

πασσακίζουσα· πασσαλεύουσα

πασσακίῳ (Ar. Ach. 763)· πασσάλῳ

πάσσακον· πάσσαλον

πάσσαλερ (Lacones)· σφῆνες

πασσάλιον· τοῦ ζυγοῦ τῆς κιθάρας τὸ μέσον

πασσαλόφιν (Hermipp. com. p. 402)· τοῦ πασσάλου. ὁ δὲ σχηματισμὸς Βοιώτιος

†πασσάριος· σταυρός

πάσσε (I 214)· συνήθως ἡμῖν·
πάσσε δ' ἁλὸς θείοιο κρατευτάων
καὶ ἐνεποίκιλλε (Γ 126)·
πολέας δ' ἐνέπασσεν ἀέθλους
ἔνθεν καὶ παστὸς τὸ γαμικὸν ποίκιλμα

πάσσεται· ἐσθίει

Πάσσιρος· ὁ τὴν Εἰρήνην κτίσας Ὑπερβόρειος. ἐκαλεῖτο δὲ Εἰρήνη καὶ Πελαγοῦ(σ)σα

πάσσονα (ζ 230 θ 20)· παχύτερον, ἢ πλατύτερον. καὶ πάσσους † εἶναι [76]

πασσυδίᾳ (Eur. Tro. 792 Xen. Hell. IV 4, 9)· ὁμοῦ πάσῃ σπουδῇ, ἢ ὁρμῇ. τινὲς δὲ πανδημ(ε)ί

πασσυδίῃ (B 12)· ὁμοίως

†πασσύριον· ἀντὶ τοῦ πασσυδίην. Αἰολεῖς. τὸ πασσύριον ἡμῶν ἁπάντων γένος (Bergk. Lyr. p. 1055, 64)

πασσύρως· ἄρδην. πανοικί [81]

COD. 19 ὑμνιδι 23 Ranulae, partes in media ungula tenerrimae 27 παρῳδοῦντες 38 παρεωρᾶτο 40 παρὰ καιρὸν 41 ἀποθήσας 44 παρυσμένων, δεδιωμένων 51 πασσάμενος 54 πάσσανος — ἀρτώπτης 61 cf. μίσχη τὸ τοῦ φυτοῦ φύλλον 62 πάσον 68 σφῆκας 72 ἄλλος θεῖοι κρατευτῶν 74 κτήσας ὑπερβόριος

HES. 21 παρφάμενος (M 249)· παραπείσας. εἰπών. παρηγορήσας Ad 35 παρώπαλα· τὰ περὶ τοῖς ὀφθαλμοῖς 36 παρόπανος· ἐμβρόντητος Ad 37 παρὰ τοῖς ὀφθαλμοῖς 43 παρώσατο (II Macc. IV 11)· ὤσατο. καὶ ὤθησεν 45 παρώτρυναν (Act. Ap. XIII 50)· παρώξυναν 46 παρῴχετο (Δ 272)· παρῆλθεν. ἐπορεύετο 49 πᾶς (O 537)· ὅλος. ἕκαστος Ad 51 γευσάμενος (α 124) 53 πᾶσαν ἐπ' αἶαν (Θ 1)· πᾶσαν τὴν γῆν 55 πάσσασθαι (π 384 non Soph. A. 202)· γεύσασθαι 57 πασάτω (Exod. IX 8)· ῥανάτω 58 πασιδέκεν (Δ 95)· περὶ πάντων δέ 76 πάσσοντος (Ps. CXLVII 16)· εἰς ἀέρα χέοντος, ἢ σκορπίζοντος, ἢ ῥίπτοντος (1081) 81 πάσσων· ῥίπτων. χέων. σκορπίζων (1076). ἐπιπάσσων (B 401. 900)

πάστα (Aristoph. p. 1184 Eupol. fr. CVIII[a])· βρῶμα ἐκ τυροῦ ἀνάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον. οἱ δὲ ἔτνος ἀλφίτοις μεμιγμένον

παστάδες· παστοί, στοαί. καὶ τῶν ἀμπέλων αἱ συστάδες. καὶ τόποι, ἔνθα ἐδείπνουν, ἀπὸ τοῦ πάσ[σ]ασθαι. ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι· πάσαι γὰρ τὸ ποικῖλαι. καὶ ἔτνος ὅμοιον

†πασσάξ· πάσσαλος

παστάς· στοά. προστάς. παστάδας (Herod. II 148 Xen. Mem. III 8, 9)· νυμφῶνας

παστήρια· σπλάγχνα. τὰ ἐντοσθίδια. κοιλία [87]

†πασχαλκεύς· πολύτεχνος

πασχητιᾷ· πάσχειν θέλει[ν]. ἢ ἀκόλαστος ...., ἢ αἰσχρᾶς ἡδονῆς ἡττᾶται

παταγεῖ (Ar. Nub. 389)· ψοφεῖ. κτυπεῖ (cf. λαταγεῖ) [91]

Πάταικοι (Herod. III 37)· θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν

πατταλους (Ar. Vesp. 129)· πασσάλους

πάτανα (Sophro fr. 31 ?)· τρύβλια (391)

πατάνια (Eubul. p. 223 Antiph. p. 39)· τὰ ἐκπέταλα λοπάδια, καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ πέδαχνα καλοῦσι. τινὲς δὲ διὰ τοῦ β βατάνια λέγουσιν

†παταπῶ· πάλαι ποτέ

Παταρ(η)ίς· πόλις, καὶ ὄρος Λυκίας

πάτασσε (Ψ 370)· ὑπὸ ἀγωνίας ἐπλήσσετο, ἐταράττετο

πατάσσει (c. c. Ν 282)· πλήσσει, κρούει. τρέμει. πηδᾷ. φοβεῖται. ἅλλεται [ad 99]

πατάσσω· ἠχῶ (1090). δέρω, πλήσσω

πάταχνον· σκεῦος λοπαδίῳ ἐμφερές

πατεῖσθε· ἐσθίετε

πατεῖν· πορεύ[σ]εσθαι

πατέοντο· ἐγεύοντο

πατέουσι· καταπατοῦσι [1106—9]

πατηνόν· πεπατημένον. κοινόν [11. 12]

πατηταί· οἱ τραπηταί [14. 15]

πατνή· καλὴ ὑπὸ Πάρθων

πατνώματα· στεγάσματα οἴκου (φατ—) [18]

πάτορες· πλούσιοι

πάτος· ἡ πεπατημένη καὶ λεωφόρος ὁδός (ι 119). καὶ ἔνδυμα τῆς Ἥρας (Callim. ap. Melet. de hom. p. 83). καὶ κόπρος

πατράδελφος· θεῖος πρὸς πατρός [21]

πατραλοίας (Philonid. com. p. 421)· ὁ τὸν πατέρα ἀτιμάζων, πατροτύπτης. καὶ τὸ μητραλοίας (οὕτω) συντίθεται

Πάτραι· πόλις τῆς Ἑλλάδος (Philemon. p. 31) [24]

πάτρην· πόλιν ἐπαρχίας. φυλήν. πατρίδα [26]

πατριαί (Herod. I 200)· φυλαί (1114)

πατρίδι (Dem. 296, 15)· πατρῴᾳ [29—32]

πατριώτης (Nico com. p. 578)· παρὰ Ἀθηναίοις, ὁ βάρβαρος. καὶ ο(ὐ) πολίτης

πατρόθεν πορδακίδαι· ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι [35]

πατρόπολις (Antiph. com. p. 129)· ἡ πατρῴα οἰκία

πατρῴζουσαι· τὰ τοῦ πατρὸς φρονοῦσαι [38—41]

πατρῷος Ζεύς (Ar. Nub. 1470)·
ναὶ ναὶ καταιδέσθη(τι) πατρῷον Δία
καὶ ἄλλοι πολλοί

†πατώσας· διατριβούσας

COD. 82 πάστα (Dor.) et παστά 83 παστάδαι 85 πρόστὰς παστάδας νυμφῶν 86 ἐντοσθήδια (cf. ἐμπαστήρια περιστατήρια πλαστήρια πατήρια) 89 αἰσχρᾷ ἡδονῇ 92 παταῖκοί 94 τρυβλίον 95 παιδάχαια 98 ἀγῶνος 1102 πάτειθε· ἐσθίεται 4 ἐγένοντο 22 μητρο— 28 πατρῴᾳ· πατρίδι 33 πατριότης 34 πορδικάδαι — πρων 37 πατρόζουσαι 38 πατρύϊον 40 κτένων 43 πατώμας (cf. ματᾷ)

HES. 87 παστοφόριον (Ierem. XXXV 4)· τὸ τὸν παστὸν φέρον. ἡ οἰκονομία. ἡ συναγωγή. ἡ ναὸς εὐανθής 91 πάταγος (Ν 283 Π 769)· ψόφος, κτύπος Ad 99 ἢ πατάξαι 1106 πατεύσουσι· καταφρονήσουσιν (πατή—) 7 πατερῆται· ἐσθίουσι (πατέονται) 8 πατέρες· πλούσιοι (πάτορες). ἢ πρόγονοι 9 πατευτικόν· θηρευτικόν (παλ—) 11 πατήρ· ὁ φύσας 12 πατήρια· ἐγκοί[κ]λια (1086). καὶ τῆς λη[μ]νοῦ μέρη τινά (πατητήρια) 14 πατίαι· χῶραι (πατριαί) 15 πάτησαν (Δ 157)· κατεπάτησαν 18 πάτον (Ζ 282)· ὁδὸν πεπατημένην 21 Παῦλος (Iesai. IX 6)· θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος 24 πατρέμβατοι· ὑψηλοί (Aesch. Suppl. 350) 26 πάτρης (Λ 30)· πατρίδος. σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν (Ν 354) 29 πατρίδα γαῖαν (Ν 645)· πατρῴαν γῆν 30 πατρίδος αἴης· πατρῴας γῆς 31 πάτριον· τὴν πομπήν (πατριώτην· οὐ πολίτην) 32 πατρίς· φυλίς. πατρίδος 35 πατροκασιγνήτῳ (ν 342)· τῷ τοῦ πατρὸς ἀδελφῷ 38 πατρώϊον (c. c. Β 46)· τὸ τοῦ πατρός. καὶ ἀπὸ προγόνων 39 πατρώϊος (c. c. Ζ 215)· πατρικός 40 πατρωλοίας· ὁ τὸν πατέρα τύπτων, ἢ κτε(ί)νων 41 πάτρωνες· οἱ πρῶτοι τῶν ἀξιωθέντων τῆς Ῥωμαίων πολιτείας ὑπὸ Ῥωμύλου ἑκατὸν ὄντες, ὥσπερ δευτέρων πατέρων τάξιν ἐχόντων· καὶ ἐκ τούτου οἱ κρινόμενοι(ς) βοηθοὶ παραγινόμενοι

παύεται (Arist. fr. XC)· ἥσυχος γίνεται
παῦλα (Soph. Tr. 1257)· ἄνεσις, ἀνάπαυσις
παυνί· μικρόν. οἱ δὲ μέγα. ἢ ἀγαθόν
παῦνις· ἀπόχρεως
παῦνον· μέγα
παῦρα (Γ 214?)· ὀλίγα, εὐαρίθμητα
παυράκις (Theognid. 859)· ὀλιγάκις, ἢ οὐδὲν ὅλως
παυρακίς· τὴν πέμπτην Σαμοθρᾶκες καλοῦσιν
παῦροι· ὀλίγοι [ad 52]
παυσιβάκτρων· ἰσχυρῶν βακτηρίων χρωμένων [54]
παυσικάπη (Aristoph. p. 1072)· μηχάνημα τροχῷ ἐοικός, δι' οὗ τὸν τράχηλον εἶρον, ὡς μὴ δύνασθαι προσενεγκεῖν τὴν χεῖρα (τῷ στόματι)
Παυστήρια· ὄρη τῆς Ἀχαίας, ἐν οἷς ὁ Ὠρίων ἀπέθανε. καὶ προβλήματα, ἢ φράγματα [57. 58]
παφλάζει (Cratin. p. 136)· βράζει, ἀναζεῖ
παφλάζοντα· [ad 60]. καχλάζοντα. ἀναβράζοντα, θερμαίνοντα
πάφων· κτείνας
παχείᾳ δραχμῇ· τὸ δίδραχμον. Ἀχαῖος [63. 64]
πάχητες (Hippocr.)· πλούσιοι. παχεῖς
πάχνη· ἡ ψυχρότης· ἀπὸ τοῦ πήσσειν. ἢ λεπτὴ χιών. ἢ παχεῖα δρόσος. ἢ τὸ πηγνύμενον ὕδωρ ὑπὸ ψύχους
παχνουμένης (cf. Aesch. Cho. 81)· ἀνιωμένης
παχνοῦται (Ρ 112)· θυμοῦται. πήσσεται· παρὰ τὴν πάχνην. φρίσσει. λυπεῖται, ἀνιᾶται (Greg. Naz. C. XXVIII 14?)
†παχή· μύρον τὸ Μενδήσιον λεγόμενον
παχυμερῶς· ἁδρῶς, παχέως
παχύνοοι· παχὺν νοῦν ἔχοντες, ἀνόητοι
παχύποδα· τὸν ὑπὸ λιμοῦ καὶ φιλαργυρίας οἰδήσαντα
παχύτερον· ἁδρότερον. οὐκ ἀκριβῶς
(παώτα· συγγενοῦς)
παῶται· συγγενεῖς. οἰκεῖοι. Λάκωνες
(παώταρ· συγγενής) cf. 40
πέαρ· Γλαυκίας λιπαρόν
πεδά (Alcae. fr. 48)· μετά. ἢ γῆ ⟨πέδον⟩
πεδάγρετον· μεταμέλητον. μεταληπτόν. ποικίλον. μεταδίωκτον
πέδαι· δεσμά. περισκελίδες. καὶ κρίκοι ἐσχυρωμένοι τῆς νεὼς τοῖς πηδαλίοις καὶ τῷ ἱστῷ
†πέδαλα· ποικίλα
†πεδαλευόμενος· μεταμελόμενος. μεταδιωκόμενος
πεδανῷ ὕπνῳ ἢ ἠπεδανῷ· κούφῳ. Ἴων Ἀγαμέμνονι (fr. 4). τινὲς δὲ οὐ βεβαίῳ
πεδανός· ταπεινός, πεδεινός. ἢ ὁ τῷ μάντει διδόμενος μισθός
πεδαοριστής· ἵππος φρυ(α)γματίας. καὶ μετεωριστής
πεδάρσιον· μετέωρον. ὑψοῦ
πέδαχνα (Alexid. p. 408)· τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια ⟨1298⟩
πεδαχνοῦται (Aristoph. p. 1063)· ἐξυπτιοῦται. καὶ τρυφᾷ
(πεδάορον· μετέωρον) 1356. 1204
πέδειλα· ὑποδήματα (Eustath. 179, 24)
πέδελθε· ἱκέτευσον. μέτελθε
πεδέλθῃ· ἱκετεύῃ. μετέρχηται
πέδευρα· ὕστερα. Λάκωνες
πέδευρον· ὕστερον. πάλιν. ὀπίσω
πέδη (Xen. Eq. VII 13. 14)· εἶδος ἱππασίας. καὶ περισκελίς. δεσμός
πέδησεν· ὑποχείριον ἐποίησεν [94]
πεδιάδα γῆν· τὴν Φωκίδα
πεδιάλαι· μεταπέμψασθαι. μεταβαλεῖν
πεδιακὰ πρόβατα (Lysias)· πρόβατα ἀπὸ πεδίου, καὶ οὐ λειμῶνος
πεδιάτιδες πύλαι· τὰς πλησίον τοῦ Θυμβραίου ἐν Ἰλίῳ φησί, ἃς τινες Ἐπιχηλὰς καλοῦσι
πέδιλα (α 96)· ὑποδήματα. καὶ ἔστιν οἷον ποδόειλα [1200]
πεδοίκους (Dor.)· μετοίκους

COD. 44 ἡσύχως 49 εὐρύθμητα 52 ἔλαττοι 55 ἥρωνος μὴ 56 παυστίρεια (Χίου?) 57 κατέληξις 61 πάφων 62. 63 = 63. 62 62 |η δραχμῇ — Ἀχαιοί 63 |α χειρὶ — ἰσχύϊ 66 πεσσεῖν 69 παχήμερον 71 παχυννοί 74 πραῶται ⟨75 = πῖαρ⟩ 76 πέδα 80 μεταμελώμενος 81 ἢ πεδανῷ 83 πεδάρσειον, μεταίωρον 83] post 86 πεδαωριστής 84 πεδαυνά 87 πέδηλα 89 πεδελύει· ἱκετεύει, μετέρχεται 96 πεδιάλαι — μεταλαβεῖν 97 ἀποδεδία 98 πεδιά τινες, πύλαι — ἡλίῳ 99 ποδόειδα

HES. Ad 52 (παυρότεροι·) ἐλάττους. ὀλιγώτεροι (Θ 56) 54 παύσειεν (Α 192)· καταπαύσειεν 57 παυσωλή· ἀνάπαυσις (Β 386). τελευτή. κατάληξις 58 Παφλαγόνες (Ν 656)· ἔθνος Ad 60 ἠχοῦντα (Ν 798) 63 παχείῃ χειρί (Γ 376)· τῇ ἰσχυρᾷ 64 πάχετον (Θ 187)· παχύτ(ε)ρον 94 πεδῆται (Sap. Sal. XVII 2)· πεπεδημένοι 1200 πεδόθεν (ν 295)· ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παίδων

πεδοίκου χελιδόνος· συνοίκου. Αἰσχύλος Τροφοῖς (fr. 52)
πέδον· γῆ, ἔδαφος [4]
πέδορτος (Aeoles)· ἡμέρα, ἐν ᾗ οὐ γίνεται ἑορτή
Πεδῶ· ἡ νῦν καλουμένη Κλεψύδρα (q. v.), κρήνη ἐν ἄστει
πέζα· ἡ ἀρχὴ τοῦ ῥυμοῦ· διὰ τὸ πρὸς τῷ πέδῳ ...., ὅθεν καὶ πέζα ἱματίου λέγεται ἡ ὤα, ἡ πρὸς τῷ πέδῳ τὰ κατώτατα μέρη (Ω 272)
πεζὰς μόσχους (Eupol. fr. VI p. 489)· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου (1215)
πεζεταίροις (Demosth. 23, 2)· τοῖς περὶ τὸν βασιλέα δορυφόροις
πεζὴ λέξις· κοινὴ λέξις
πεζήν· τὴν συνήθη, ἡ κοινήν
πεζός· κοινός. ταπεινός. Πεζοῖς δὲ τοῖς ἐκ ποδῶν πεζεύουσιν
πεζοφόροις ζώμασιν· Αἰσχύλος Τοξότισιν (fr. 242). ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων· τινὲς δὲ ποδήρεσι. Ζῶμα δὲ τὸ ἔνδυμα [14]
πεζῷ γόῳ (Scenic.)· τῷ ψιλῷ. καὶ πεζὰς ἑταίρας ἔλεγον τὰς μισθαρνούσας χωρὶς ὀργάνου (1208) [16]
πειθαρχήσαντες· πεισθέντες [18. 19]
πειθήνιοι· ὑπήκοοι, πειθόμενοι [21. 22]
πείθονται· πειθήνιοί εἰσιν (Α 79)
πειθώ· ἡ ὀγδοάς
πεικαλίμαις· ὀξείαις, καὶ λεπταῖς
πείκειν· ξαίνειν (2276)
πεῖκος· ἔριον. ξάμμα [28. 29]
πεινέων· πεινῶν [31]
πεινῆν· πεινᾶν [33]
πειράζων· ἐνεδρεύων. ληστεύων (non ι 281) [35]
πείρᾳ δοῦσα (Menand. p. 104)
πεῖραι· πειρατ(ε)ῖαι. δόλοι
Πειραιῆς· νῆσος (h. e. δῆμος)
πειρᾶν (Menand. p. 225)· πειράζειν ......
πεῖραν ποιούμενος· πειράζων
πείραντες· ἐκκεντήσαντες
(Πειρασία [Thuc. II 22])· Ἀστέριον
πείρατα (Η 102)· πέρατα. τέλος
πειραταί· κακοῦργοι, λησταί. θηρευταὶ ἐν ὕδασι
πειρᾶται· [ad 44] πειράζει. ἐπὶ δὲ ληστῶν, πειρατεύεται (εὐει?) [45]
†πειρεᾶσθε· πειράσθητε (Aesch. Ag. 1401?) [47. 48]
πειρῆσθαι· ἐσθ' ὅτε ληστεῦσαι [50]
πειρήσοντα (Μ 301)· διάπειραν ληψόμενον [52]
πειρητίζειν· πειρᾶσθαι. †πεφυσῆσθαι. πεφοβῆσθαι [54]
Πείρηθοι· νύμφαι ἐν Κύπρῳ (—ιθοι)
πείρινθος· πλέγμα, τὸ ἐπὶ τῆς ἁμάξης· τὸ πλινθίον, τὸ ἐπιτιθέμενον τῇ ἁμάξῃ τετράγωνον
πειρῶ (Soph. Phil. 149)· σπεῦδε. πείραζε [58. 59]
πείσαντες· ποτίσαντες, ὑγράναντες
πείσεα (ζ 124)· λειμῶνες. ἕλη. [ad 61] ποτάμιοι, π(ο)ιώδεις, ὑδατώδεις τόποι [62]
πείσει (Eupol. fr. XXIV p. 471)
πεῖσεν· ἔπεισεν [64—66]
πείσματα· σχοινία ἀπόγεια, πρυμνήσια (e. c. ζ 269). περιβόλαια
πεισόμενον (Herod. IX 37)· παθεῖν μέλλοντα

COD. 1202 αἰσχυλοτρόφοις 5 πέδοτα 8 πέζας, μόσχους 9 πεζετέροις 15 πεζολόγῳ 25 πεικαμμαῖς 26 πεικεῖν 27 πεικός 29 πεπη| 36 πειδαίρουσα, δέρουσα 37 πειρατίαι, δόλος 38. 38ª post 1253 Πειριεῖς κτλ. (44 cf. 1914) 51 |ται — λήψονται 56 πλήνθιον (schol. Ω 190) 60 ὑγραί— 61 πείσσεα 63. 63ª πείσεν· πείσει, ἐπ|

HES. 4 πέδουρος· μετέωρος 14 πεζῶν (Δ 274)· τῶν ὁδευόντων 16 πιθανότης· πιστότης 18 πείθεο (Α 214)· πείθου 19 πείθεσθε (ω 455)· πείσθητε 21 πειθήσας· πεισθείς 22 πειθή· πεισμονή, πίστις 28 πεικόν· πικρόν, πευκεδανόν (2016. 2278) 29 πειλός· πᾶν τὸ πεπιλωμένον 31 πειναρόν· ῥυπαρόν (2317) 33 πεῖρω (Ω 390)· πέρας 35 Πειραΐδαο (Δ 228)· Πειραίου παῖδα Ad 44 πεῖραν λαμβάνει (Β 193) 45 πειρατήριον (Iob. VII 1)· τόπος ληστῶν 47 πείρησαι (Α 302)· πείρασον 48 πειρήθηξαι (Τ 384)· πεῖραν λαμβάνει 50 πειρήσομαι (Β 73)· πειράσομαι 52 πειρήτιζε (Η 235)· πείραζε 54 Πειριεῖς· νῆσος. καὶ Ἀστερία (1238) 58 πειρώμενος (Ε 129)· πειράζων 59 πειρῶν τὴν παῖδα (Moer. 310)· πειράζων. διαφθείρων Ad 61 [πίδη.] 62 πείσσεασποιήεντα (Υ 9)· τοὺς διύγρους τόπους καὶ βοτανώδεις 64 πείσεσθαι (Α 289)· παθεῖν 65 πείσεται (Λ 788 Υ 127)· ὑπομενεῖ 66 πείσῃ· πεισματικῇ χώρᾳ (υ 23)· τῷ δὲ μάλ' ἐν πείσῃ κραδιήμεναι

πείσονται· πάθωσι (non Hom.)

†πείχισον· δοχίμασον [71]

πεχτεῖ (Ar. Av. 714)· χτενίζει. τίλλει. χείρει. ξαίνει

πεχτοῦμαι· †τρίχομαι. τίλλομαι

πεχτούμενον (Ar. Lys. 684)· τιλλόμενον. τίλλοντα. Πεχτεῖν γὰρ τὸ χείρειν

πελάγια· τὰ χρόταλα. †ἡ δὲ ῥίνος πελαγία

πελαγίζειν (Hyperides)· τοὺς ὀδόντας συγχρούειν. καὶ πλεῖν πέλαγος ἄβατον. καὶ ἀλαζονεύεσθαι, καὶ ψεύδεσθαι μεγάλα

πέλαγος· μέγεθος, πλῆθος, βυθός, πλάτος θαλάσσης [78]

πελαζόμενοι· ἐγγιζόμενοι

†πέλαιτον· τὸ ἐφιχτόν. μέγιστον

πέλαινα (Alcm. fr. 69 Bgk.)· πόπανα, μειλίγματα

Πελάνα· ἡ Σαλαμίς. ἐν τοῖς Εὔχλου χρησμοῖς: ἢ τὰ ἀπὸ τῆς ἅλω ἀπάργματα. καὶ θυσίαι, καὶ πέμματα

πέλανοι (Eur. Hel. 1334)· πέμματα εἰς θυσίας ἐπιτήδεια

πέλανον· ἀφρόν, τὸν περὶ τὴν γῆν ἀφρόν (Aesch. Pers. 816). ἢ πέμμα τι πλακουντῶδες

πέλανος· πέψιν ἔχων ῥυπαράν. ἢ τὸ ἐκ τῆς (παι)πάλης πέμμα. οἱ δὲ ἐπὶ τοῦ κηρίου τιθέασι. καὶ τὸν περιπεπηγότα τῷ στόματι ἀφρόν (Eur. Or. 220)

πέλανορ· τὸ τετράχαλκον. Λάκωνες

πελαργικοὶ νόμοι· τὸ ἀντιτρέφειν τοὺς γονεῖς

Πελαργικὸν (Ar. Av. 832)· ἀντὶ τοῦ Πελασγικόν. Πελαργοὺς γάρ φασι τὴν Ἀττικὴν οἰκῆσαι· ἀπὸ τῶν †Πελασγῶν μεταφέροντες ἐπὶ †τὰ πτηνά

πελαργός· ἄγγος τι κεράμεον

πέλας· γείτων, ἐγγύς, πλησίον [91]

πελάσαιμι· προσεγγίσω

Πελασγοί (K 429)· οἱ Θεσσαλοί. καὶ Πελασγικὸν Ἄργος (B 681) ἡ Θεσσαλία νῦν. καὶ ἔνιοι τῶν βαρβάρων. καὶ γένος ἀπὸ Πελασγοῦ τοῦ Ἀρκάδος γενόμενον πολυπλάνητον (Cratin. fr. XXII p. 182) [94. 95]

Πελαστικόν (Herod. V 64)· τειχίον οὕτω ἐν Ἀθήναις καλούμενον Τυρρηνῶν κτισάντων

πελάται (cf. Plat. Euthyph. p. 4 C)· οἱ διὰ τὴν ἀναγκαίαν τροφὴν μισθῷ δουλεύοντες, †τρεῖς μίσθαρνοι· ἀπὸ τοῦ πέλας. ἢ θρέμματα

πελάχνιν· τρύβλιον ἐκπέταλον (1185)

πελδασταί· οἱ τὰ ἀσπιδίσκια ἔχοντες

πελεθοβάψ· Θεόδ(ω)ρος ὁ τραγικὸς ὑποκριτὴς οὕτως ἐπεκαλεῖτο. τινὲς δὲ ποιητὴν αὐτόν φασι γεγονέναι

πελεθρίσματα· δρομήματα (cf. πλ—)

πέλεθρον (Φ 407)· μέτρον γῆς, ὅ φασι μυρίους πόδας ἔχειν· τινὲς δὲ σταδίου ἕκτον

Πελεθρόνιον· πολυφάρμακον

Πελεθρόνιος· ὁ Χείρων, ἀπὸ τοῦ Πελεθρονίου, ἐν ᾧ ἐτράφη· οἱ δὲ πολυφάρμακος

πέλει· ὑπάρχει (I 134), ἐστί. (δίδωσι. γίεται [Γ 3])

πέλειαι (μ 62)· περιστεραί. καὶ αἱ ἐν Δωδώνῃ θεσπίζουσαι μάντεις. Ἀριστοτέλης (ΗΑ. V 13) φησὶ διαφέρειν περιστερὰς καὶ πελειάς

πελειοθρέμμονα νῆσον (Aesch. Pers. 309· Σαλαμῖνα)

πελείους· Κῷοι καὶ οἱ Ἠπειρῶται τοὺς γέροντας, καὶ τὰς πρεσβύτιδας ......

πελεκάν (Ar. HA. VIII 12)· ὄρνεον τὸ κολάπτον καὶ τρυποῦν τὰ δένδρα

πελέκεα πέλεκυν δίστομον (Eur. fr. 531, 5. 6)

πέλεκκος· στελεός, ὅ ἐστι ξύλον εἰς τὴν ὀπὴν τῶν πελέκεων βαλλόμενον (N 612)

πέλεκρα· ἀξίνη

πέλεκυς (Γ 60)· ἀξίνη δίστομος. ἢ σταθμίον ἑξαμιαῖον· οἱ δὲ [δω]δεκαμνιαῖον (Cretes)

†πελεκύστερον· τὸ στελεόν

πελεμίζειν· σείειν, κραδαίνειν [1316]

πέλεν· ἦν, ὑπῆρχεν (E 729)

COD. 69 πάθουσι ⟨70 πύρωσον· δοκίμασον gl. Psalm.⟩ 72 πέκτει, κτείνει ⟨75 ἡ δὲ ῥίνη πελαγία] squalus, cellis⟩ 82 εὖχε — πράγματα 85 πέμψιν — πώλης — περιπεπηκότα 87 |στρέφειν ⟨89 πέλλα· ἄγγος?⟩ 96 cf. schol. Il. Π 233 98 τρυβλίον (cf. βίλλιν, ἠθμάριν) 1300 |όβαψ — κωμικὸς ὁ ὑ| 1 πελέθρησμα, τὰ δρόμηκα 2 |ίους ἑκατόν 3 ποιησιφάρμακον 4 πελεθροίνου Post 4] δίδωσι γίνεται cf. 1305 5 cf. πέλω 7 πέλειον, θρέμμονα (cf. 1282. 1320) 8 cf. πέληος, πελλῦς 11 πελεκκός

HES. 71 πεκούλιον· (βαλάντιον peculium) 78 πελάζειν (E 766)· ἐγγίζειν, πλησιάζειν 91 πελάσαι (χ 176)· ἐγγίσαι, πλησιάσαι 94 πέλασε (Θ 277)· προσήγγισεν 95 πέλασσεν (B 744)· ἐγγίσαι ἐποίησεν,πλησίασεν 1316 πελεμίχθη (Δ 535)· διεσείσθη

πελένα· ζεῦγος βοῶν

Πελεός· Ἀχαιὸς Φρίξῳ (fr. 36). καὶ μήποτε τὴν παρ' Ὁμήρῳ (Β 594) Πτελεόν. δύναται δὲ καὶ τὰ Πέλη τὰ ἐν Θεσσαλίᾳ λεγόμενα δηλοῦν [20]

†πελεσσύδραι· συ[ν]στρέμματα ὑδάτων [22]

πελήαρ· περιστερὰς καὶ †περσικῆς τὸ ἥμισυ. Λάκωνες [24]

πέληος (Dor.)· γέρων [26]

πελιαί· μέλαιναι [ad 27] [28]

πελιγᾶνες· οἱ ἔνδοξοι· παρὰ δὲ Σύροις οἱ βουλευταί

†πελίγξαι· ἐπιδραμεῖν

πελιδνόν (Thuc. II 49)· μέλαν ὡς μόλυβδος. ἢ ὕφαιμον

πελίκαν (Cratin. p. 64)· εἶδος ποτηρίου ξυλίνου. διὰ τὸ πεπελεκῆσθαι. ἄλλοι ξυλίνη λεκάνη

πελιοί· μέλανες, ὡς ὠχροί, ἢ χλωροί

Πελινναῖος· ὁ Ζεὺς ἐν Χίῳ

(πελιόν· φαιόν [cf. 1338]. μεμελανωμένον [1401])

πελιτνόν (Thuc. II 49 Alexid. p. 429)· πελιόν

πέλλα· λίθος

πέλλαι (Plut. Mor. 409 B)· ἀγγεῖά τινα, εἰς ἃ ἀμέλγεται τὸ γάλα, οἷον πύελ[λ]οί τινες οὖσαι, ἐν αἷς τὸ πῦος, τουτέστι τὸ γάλα, εἰλεῖται

Πελλαῖον (Call. epigr. XIV 6)· Μακεδονικόν

πελλάνιος· Ποσειδῶν ἐν Κυρήνῃ

πελλαντῆρα· ἀμολγέα ⟨1350⟩

πελλᾶς· πέληος. πρεσβύτης ⟨onom.⟩

πέλλας (Π 462) καὶ πέλλαι· ποιμενικὰ ἀγγεῖα [43]

?πελλαιχρὸν ἢ πελλαιχνόν· πυρρόν

πελλήν (Macedones)· †κούφην, καὶ φαιὸν τῷ χρώματι [46]

Πελλ(ην)ικαὶ χλαῖναι· ἐπεὶ διαφέρειν ἐδόκουν αἱ ἐν Πελλήνῃ γινόμεναι, ὡς καὶ ἆθλα τοῖς νικῶσι δίδοσθαι

†πέλληον· στέφον

πελλητήρ (Ath. 495 E)· πολυφάγος. ἀμολγός

πελλητῆρες (Thessali, Aeoles)· ὁμοίως

πελλία· σπέλεθοι

πέλλιξ· κράνος

πελλίς (Hipponact. fr. 37)· λεκάνη

πελλόν· φαιὸν χρῶμα, ἐμφερὲς τῷ πελιδνῷ

πελλοπ†λαύραστον· ὀξύθυμον. ἢ ἔκλιμον ⟨πέλλοπα⟩ [56]

πέλλυτρα (Aesch. fr. 260)· οἱ δεσμοί, οἱ περὶ τὰ σφυρὰ καὶ τοὺς ἀστραγάλους τῶν δρομέων περιελισσόμενοι, εἰς τὸ μὴ ἐκ(σ)τραφῆναι ⟨1343⟩ [58]

πέλμα (Eratosth.)· τὸ κάτω τοῦ ποδός

Πελοπίδαι· Ἀγαμέμνων γε (with ν, written above)

Πελοπόννησος· πόλις τοῦ Ἄργους

†πέλος· μέγα. τεράστιον

πέλτη (Eur. Rh. 305)· εἶδος ὅπλου. δόρυ. ἢ μικρὰ ὅπλα

πέλτη· ἀσπὶς ἴτυν οὐκ ἔχουσα. ἢ ὅπλου σκέπασμα. ἀκόντιον

πέλτης (Eur. fr. 370)· Θρᾴκιον ὅπλον. καὶ εἶδος ταρίχου

πέλω (Soph. OT. 245)· εἰμί, δίδωμι, γένομαι

πέλωρ (Σ 410)· μέγα. ὑπερφυές

πέλωρα (Β 321. κ 219)· θηρία. δείματα. τέρατα. σημεῖα μεγάλα

πελωρεύει· φανερῶς ποιεῖ (τέρατα)

†πελώρης· τινὲς εἱμαρμένης [71]

πελώριος (Γ 167)· μέγας, δεινός [73]

πέμμα· εἶδος πλακοῦντος. καὶ πᾶν πεπτόμενον

πέμματα· ποικίλα ἐδέσματα πλακουντικά

πεμπάδος· πεντάδος

πεμπαζόμενοι· ἐπιστρεφόμενοι. ἐκπληττόμενοι. μεριμνῶντες

πεμπάς (Xen. Hell. VII 2, 6)· τριακάς

COD. 19 πτελέον (G. F. Unger Philol. Suppl. II 6 p. 737) 23 πέληρ, περιστερᾶς 25 πολητός 29 πελιγάνες 30 cf. σωλίγξαι 31 μελανός 32 πελικάν — |ίσθαι 33. 34 = 34. 33 34 πέλιοι 35 πελιδνόν, πελειόν 37 τὸ μέγα — πυελλοί 38 πελλαιόν φαιόν, καὶ 41 πέλλας, πέλλητος 44 πελιόχρων? 45 cf. πιλνόν 49 πελλήρ 51 ἐπέλεθοι 53 ἢ πελλὰς λ| 57 πελλυταί — περὶ τὰς 62 τεραστικόν 71 τέρατα 75 πληθυντικά 76 πεμπάυδος

HES. 20 Πελεστόθρην (Aesch. Pers. 309)· νῆσον τὴν Σαλαμινίαν 22 πέλεται· ὑπάρχει (Δ 281), γίνεται (Δ 392) 24 πέληται (Γ 287)· γένηται 26 πελειάδες (Δ 633)· περιστεραί Ad 27 περιστεραί. φράσθαι (Boeolicum foret πέλιη) 28 πελιανόν· μολύβδῳ ἐοικὸς κατὰ τὴν χρόαν ⟨1331⟩ 43 πελλασταί· ὑποδήματα, ἃ περιετίθεσαν οἱ δρομεῖς περὶ τὰ σφυρά, ἵνα μὴ ἔξω στρέφηται ⟨1357⟩ 46 Πελλήνη (Β 574)· πόλις ἐν Ἄργει 56 πελλύρον· μετέωρον ⟨πεδάορον⟩ 58 πελλύτα καὶ πελλύτεμα. δεσμός 71 πελώρια· μεγάλα (Κ 439)· τεράστια 73 πελώρου (Β 741)· θηρίου

πεμπάσασα· ἐξαριθμήσασα

πε(μ)πάσσεται (δ 412)· κατὰ πέντε ἀριθμήσει· τὸ γὰρ πέντε Αἰολεῖς πέμπε λέγουσι. καταχρηστικῶς δὲ καὶ ψιλῶς ἀριθμήσει [80a]

πέμπελον (Lycophr. 826)· στωμύλον, λάλον. οἱ δὲ λίαν γηραλέον

πέμποι (Soph. Phil. 1160)· ἀναπέμποι [83]

πεμπωβόλους (Α 463)· πέντε ὀβελίσκους, ἐκ μιᾶς λαβῆς συνεχομένους τριαινοειδῶς

πέμφελα ⟨δυσπ—⟩· δύσκολα. τραχέα. βαθέα

πεμφίδες (cf. Lycophr. 1106)· πομφόλυγες. καὶ πτηνῶν ψυχαί

πεμφιδώδεες πυρετοί (Hippocr. III p. 687 K)· φλυκταινώδεις. πνευματίαι

πέμφιξ (Soph. fr. 326 Aesch. fr. 161)· πνοή. ψυχή. καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες

πέμψις· ἐνεχυρασμός

πενεῖν· πενητεύειν (cf. Aesch. Suppl. 362) [91. 92]

πενέσται (Theocr. XVI 35)· οἱ μὴ γόνῳ δοῦλοι, οἵτινες εἰργάζοντο τὴν γῆν. τινὲς δὲ οἱ εἵλωτες. τινὲς δὲ λάτρεις. ἢ ἐργάται πένητες ἢ ὑπήκοοι

?πενειαδεῖν· κατεπιστατεῖν

πένης· ὁ αὐτοδιάκονος

πένησσα· πτωχή

πενθέριον· τὴν προῖκα. Θάσιοι

πενθερός (Θ 582 Soph. fr. 284)· τῷ νυμφίῳ ὁ τῆς κόρης πατήρ. καὶ πενθερὰ ἡ μήτηρ. τίθεται δὲ καὶ ἐπὶ τοῦ γαμβροῦ

πένθος· συμφορά. θρῆνος, λύπη [1400]

†πενόν· μεμελανωμένον ⟨πελιόν⟩ [2. 3]

πεντάσχοινον· †στάδιον

πεντάχα ⟨1416⟩· ἡ χείρ [ad 5]

πένταχος· τὴν τάλαρον. Βοιωτοί

πεντεκτενῆ (Antiph. fr. LXXVI Menand. p. 95)· ἐνδύματα, οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ, πεποικιλμένα

πέντε κριταί (Epicharm.)· τοσοῦτοι τοῖς κωμικοῖς ἔκρινον, οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ

Πεντέλεια· ὄρος Ἀρκαδίας, ἐξ οὗ Λάδων ὁ ποταμὸς καταφέρεται [10]

πεντεσύριγγον ξύλον (Ar. Eqq. 1058)· πέντε ὀπὰς ἔχον κατὰ τὸ δεσμωτήριον· τέσσαρας μέν, εἰς ἃς οἱ πόδες καὶ αἱ χεῖρες διείροντο· μίαν δέ, δι' ἧς ὁ τράχηλος

πεντετηρίς (Thuc. III 104)· πενταετηρίς

πεντηκοντόγυον (Ι 579)· πεντήκοντα γύας ἔχον· οἷον πεντηκοντοπέλεθρον

πεντηκοντομέσοδμον· πολύστεγον. αἱ γὰρ μέσοδμαι στέγαι

πεντηκοντόστ†ολον· ὅπου οἱ δραπέται †ἀνάγονται

πέντοζος (Hesiod.)· χείρ ⟨1405⟩

πεντόροβον· ἡ γλυκυσίδη

πέξαι· κεῖραι, κτενίσαι

πεξαμένη (Ξ 176)· κτενισαμένη τὰς τρίχας, καὶ ξάνασα

πέξις· ψίλωσις, κουρά, ξύρησις

†πεπάγουσα· ἁπαλή

πεπαιδεῦσθαι· πεπαιδοποιῆσθαι [23]

πεπαίνεται· μελανοῦται (Ion. trag. fr. 57). ὀπτᾶται. μαλάσσεται (1455). πέπειρον γίνεται. πραΰνεται [25]

πεπαληκέναι· ἐκπεσεῖν

πεπαλημέναι· βεβλα(μ)μέναι

πεπαλ(η)μένος· βεβλαμ(μ)ένος, ἔξαρθρος γεγονώς [29. 30]

πεπαμένος (cf. Aesch. Cho. 191)· κεκτημένος

πέπανα (Boeoti)· πλακοῦντια

πεπᾶναι (Ar. Vesp. 645)· πραῧναι

πεπανός· ὁ πολὺν χρόνον ἔχων παρὰ τὸ ὀπτηθῆναι

πεπαρεύσιμον· εὔφραστον, σαφές

πεπαρεῖν (Pind. P. II 57 [105])· ἐνδεῖξαι, σημῆναι

πεπάρθαι· παρακεῖσθαι

πέπαρμαι· δι' ἥλου κατέχομαι. πεπερόνημαι. καθήλωμαι [39]

πεπαρφνηκότων· ἀτακτησάντων. ὑβρισάντων. Παροινία γὰρ ἡ ὕβρις

πεπᾶσθαι (Eur. H. f. 1426)· κεκτῆσθαι

COD. 81]λέος 84 πεμποβόλους 86 πεμφολίγες 87 |ώδεις πύθετοι 97 Θάσσιοι 1400 πτέρνα 5 cf. ἐμῇ πεντόζῳ 8 κοιταί (cf. ἐν πέντε) 9 πεντελεία 14 πεντήκοντομέσολμον — μαισδμαί 26 ἐκμεσεῖν 33 πεπάναι 36 cf. πεπορεῖν 38 |ομαι 39 |ομένον

HES. 80a πέμπε (Alcaei fr. 26 A)· Αἰολεῖς πέντε 83 πέμπουσιν (π 228)· ἔπεμψαν, ἀνέπεμψαν, κατέπεμψαν 91 πενία· ἀχρημοσύνη, ἀπορία 92 πένεται (Levit. XXV 25)· πονεῖ, ἐνεργεῖ. ἀχρηματεῖ. κάμνει 1400 πέννα· πτερά (Ducang.) 2 πένοντο (Α 318)· ἐνείργουν 93 πενταέτηρον (Β 403)· πέντε ἐτῶν Ad 5 ἢ πέντε μέρη (Μ 87) 10 πεντεστατήριον· πενταετῆ 23 πέπαιξεν (Oseae VI 1)· ἐπάταξεν 25 πεπαλαγμένον· μεμολυσμένον ⟨1461⟩ αἵματι καὶ λύθρῳ (Ζ 268). ἢ λελευκαμένον 29 πεπαλόεντος (Ν 17)· τραχέος 30 πεπαλόεσσα (κ 97)· τραχεῖα 39 πεπαρμένον (Α 246)· ἀνειρμένον. πεπερονημένον. καθηλωμένον. κατεσχημένον. ἐμπεπηγός. διαπεπερονημένον (onomast.)

†πεπάσωται· πιότητος γέμοι
πέπαστο· ἐγέγευστο. ἐπεπλήρωτο [44]
πεπαχυμμέναις· πεπυκνωμέναις
πεπεδημένος· δεδεμένος [47. 48]
πέπειρα (Anacreo. fr. 87)· γραῖα
πεπειρῆσθαι· γεγυμνάσθαι. (δια)πεπαρθενεῦσθαι
πέπειρον· πεπανθέν, ὥριμον, ὠπτημένον, ἀκμαῖον
πεπείρους (Eupol. p. 439)· ἑψημένους. ἐπὶ ὀπώρας [λαβεῖν] ἤτοι σταφυλῆς [53—55]
(πεπέπανται· πεπράϋνται) cf. 1441
πεπεραγκέναι· ἠνεγκέναι ......
πεπερασμένος· πεπληρωμένος [58]
†πέπευται (πέπεχται?)· πέπειχται
πεπιεσμένος· τεθλιμμένος [61]
πεπλαδηκώς· σεσηπώς. ὑγρανθείς
πεπλασμένον· μὴ ἀληθές, ψεῦδος [64]
?πέπληγε· πέπληκται
πεπλεγμένον· (κε)κοσμημένον. ἐκτενισμένον [67—69]
πέπληται· κύει
πέπλον ἢ πέπλος (Z 90)· ἱμάτιον ἢ ἔνδυμα γυναικεῖον [72]
πεπνυμένοι· σώφρονες, συνετοί
πεπνυμένον στόμα· σεσωφρονισμένον. σιγηλόν [75. 76]
πέπνυται· συνετός ἐστι
πεποδήγημαι· δεδίδαγμαι. ὡδήγημαι [79—81]
πεποίθασιν· ἠλπίκασι. πιστεύουσι. θαρροῦσιν
πεποιθήσεις· θαρρήσεις. πιστεύσεις. ἐλπίσεις [84]
πεποιθίαν(!)· ἐλπίδα. προσδοκίαν
†πεποιθότατε· προσφιλέστατε. φίλε ⟨1492⟩ [87]
πεποίωται· †ὅπου τις ῥέπει
πεποιωμένον· ποιότητα ἔχον, ἢ περιδραξάμενον ⟨1479⟩ [90]
πέπομφα (Plat. epist. 2 p. 312 D)· ἔπεμψα
πέπον (E 109)· προσφιλέστατε, προσηνέστατε. ἔκλυτε, μαλακέ [93]
πεπορασμένος· φανερός ⟨1435⟩
πεπορεῖν (Pind. P. II 57)· δοῦναι ⟨3012⟩
πεπορθῆσθαι (Aesch. Ag. 591)· ἀπολωλέναι. συν(τε)τελέσθαι
πεπορπημένη· τῇ περόνῃ συνεχομένη
πέποσμαι (Cyprii)· ἀκήκοα
(πεπότημαι·) ἵπταμαι [1501]
πεπραδῖλαι· εἶδος ἰχθύων ⟨1506. 2065⟩
πεπρημένος· πεφυσημένος
?πεπράχαμεν (Ar. Ran. 302)· ἐπράξαμεν
?πεπράτορα· θαυμασία ⟨πρεπτά?⟩
πεπρίλος· ἰχθῦς ποιός [7—10]
πεπρυτανευκώς· ἐπιμεμηνιευκώς. καὶ προανηλωκώς
πέπτασθαι· ἀνεῷχθαι. περιέχειν [13]
πέπτει· πραΰνεται τὴν τροφήν
πεπτέον· φυλακτέον. †εὐρυτέον
πεπτῆνας (Aeol.)· περιβλεψάμενος [17—20]
πεπυρακτωμένα· πεπωρωμένα
πέπυσμαι· ἀκήκοα. ἔμαθον, εἶδον (λ 504?)
πεπύσμεθα· ἠκούσαμεν. καὶ τὰ ὅμοια
πεπυσμένος (Plat. Symp. p. 179 E)· ἰδὼν καὶ τὰ ὅμοια [25]
†πεπωγμένον· κεκλασμένον [27]
πέπων· ἔκλυτος. ἀσθενής

COD. 43 πέπευστοι 45 πεπλαχομέναις 65 πέπληται ⟨an πεπλήαται· EM?⟩ 66 πεπληγμένον 70 πέπληκται (cf. πλείη) 74 σιγχλόν 75 πεπνι 83 πεποθήεις 97 |ιμένη 1500 ἥπταμαι 10 ζητεῖν 12 ἀνεώχθη 21 πεπυρωμένα (cf. μύδρος) 22 ἴδον

HES. 44 πέπαυται (Γ 131)· πεπράϋ(ν)ται ⟨ad πεπέπανται⟩ 47 πεπείθοιμεν (Α 100)· πείσαιμεν 48 πεπείθουσα (Ο 26)· πείθουσα 53 πέπεισμαι (II Macc. IX 27 Rom. VIII 38)· ἤλπισα. θαρρῶ 54 πεπεμμένην (Levit. II 4)· ζυμωθεῖσαν, ἐν κλιβάνῳ γεναμένην 55 πεπένεται· μαλάσσεται. καὶ τὰ ὅμοια ⟨1424⟩ 58 πεπερημένος (Φ 58)· ὁ πεπερεσμένος 61 πεπλαγμένον (Z 268)· μεμολυσμένον ⟨1425⟩ 64 πέπλαται· ἥπλωται ⟨πεπτ—⟩ 67 πέπληγον (Ψ 363)· ἔτυπτον. ἐκρότουν 68 πεπληγυῖα (E 763)· πλήξασα 69 πεπληγώς (B 264)· πλήσσων 72 πεπνοιῶν· ἐνεργῶν, θεραπεύων ⟨ποιπνύων⟩ 75 πεπνυμένος (Γ 203)· φρόνιμος, συνετός (Call. L. P. 129) 76 πέπνυσαι (Ω 377)· συνετὸς εἶ 79 πεποιημένον· ποιότητα ἔχον ⟨1489⟩ 80 πεποίηται (Z 56)· πέπρακται 81 πέποιθας (IV Regg. XVIII 20)· θαρρεῖς 84 πεποίθῃς (Α 524)· θαρρήσῃς 87 πεποιθώς (Hom.)· ἐλπίσας. πιστεύσας 90 πεπόληστο (Υ 217)· ἔκτιστο 93 πέπονθα (ρ 284)· ἔπαθον 98 πεπορωμένοι· τετυφλωμένοι ⟨1529⟩ 99 πέποσθε (Γ 99)· πεπόνθατε 1501 πεποτ.ανται (B 90)· ἥπτανται 7 πεπρυμένοι· συνετοί ⟨πεπν—⟩ 8 πεπρωμένη· εἱμαρμένη ⟨1379⟩ 9 πεπρωμένον (Γ 309)· μεμοιραμένον 10 πέπρωται· τετύπωται. ὥρισται. [τὸ εἱμαρμένον ζήτει] 13 πέπταται (ζ 45)· ἥπλωται ⟨1464⟩ 17 πεπτηώς (ξ 354)· δι' ἀσθένειαν καὶ δειλίαν πεπτωκώς 18 πεπ.γμένοι (Aesch. Suppl. 185)· μαθόντες, ἢ εἰδότες 19 πεπύθωνται (H 195)· ἀκούσωσιν. Ἀττικῶς 20 πεπυκασμένα (B 777)· ἐσκεπασμένα, περικεκαλυμμένα 25 πέπυστο (N 521)· ἠκηκόει 27 πέπωκα· ἔπια

πεπωρωμένοι· ἐσκληρωμένοι. τετυφλωμένοι (1498)

πέρα· πλέον. ἐπέκεινα. ὑπεράνω [31. 32]

περάγην· διέρρωγα. Ῥίνθων

περαίνει (Aesch. Suppl. 462)· ἐπὶ πέρας ἄγει. πληροῖ. ἀνύει

περαίνειν (Posidipp. p. 514)· ἐξανύειν. ἀποπληροῦν

πέραινον· οἱ Πυθαγορικοὶ τοὺς περι(τ)τοὺς ἀριθμούς

(περαιούμενοι· τελειούμενοι)

(περαιοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα)

περαίτατον· πορρώτατον

περαιτέρω (c. c. Eur. Andr. 270)· πλείω ἔμπροσθεν. μετὰ τὸ τέλος ἄλλο

περαιωθῆναι· τελειωθῆναι

πέρα λόγου (Cratin. p. 60)· ὑπὲρ λόγον

πέρας· τὸ τέλος. καὶ ἡ λύσις. καὶ τὸ τῆς γῆς πέρας

περᾶσαι· διαβῆναι. ἀποδόσθαι ἐπὶ πέρατα τῆς γῆς, ἢ εἰς τὸ πέρας διελθεῖν [43]

πέρασας (Hom.)· εἰς τὸ πέρας τῆς θαλάσσης διεπέρασας, ἐπώλησας

περατ†εύει· ὁρίζει. †στέλλει. †λέγει

περατουμένην· ἐκπληρουμένην

Περγαία θεός· ἡ Ἄρτεμις

πέργαμα (Soph. Phil. 347 al.)

περγάμιον· δήμιον

(Πέργαμον·) ἡ ἀκρόπολις τῆς Ἰλίου

πέργουλον· ὀρνιθάριον †ἀργειλέγω ⟨ἄγριον. Λάκωνες⟩

πέργουν· πρέσβ†εις. οἱ αὐτοί

Πέρδικος καπηλεῖον [ad 53] [54—58]

?περάτρια· ἡ παραγγέλλουσα τὴν ὥραν ταῖς κεκτημέναις [60. 61]

πέρι· περισσόν. περίεστι

περιαγαῖς· καμπαῖς

περιαγγέλλειν· τὸ [μὴ] συνάγειν ὄχλον ἐπὶ τὰς ἐκφορὰς τῶν τετελευτηκότων

περιάγει· περιφέρει. ἢ κάμπτει

περιάγνυται (Π 78)· περικλᾶται. συντρίβεται. περιέρχεται. περιηχεῖ

περιάγνυτο (Hesiod. Scut. 279)· περιεκλᾶτο. καὶ τὰ ὅμοια

περιαγόραιος· περίλογος. περιαγορευτής

περιαεῖς· περίρρυτοι. περίπνοοι

περιαθρεῖν· περισκοπεῖν

περιαίνυτο· περιελάμβανεν. περιεῖχεν

περίαλλος· τὸ ἰσχίον |ὅταν εἱλεῖν

περιαμησάμενος· θερίσας [74—76]

περιαυθαδίζεται· ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μεγαλοφρονεῖ

περιαυτίζεσθαι· τὸ ἐν αὐτῷ ἐνδιατρίβειν, ἢ ἀποδιδόναι ἑαυτῷ [79]

περὶ αὐτόν (Demosth. 23, 24)· πρὸς αὐτόν

περιβάλλειν· περιλαμβάνειν. πείθειν. στρέφειν. εἰδέναι

περιβάλλουσαν· ὁμοίως

περιβάλλεσθαι· ὑπερβάλλεσθαι

περίβαρα (Ar. Lys. 45)· ὑποδήματα

περιβαρίδες (Theopomp. com. p. 811)· ὑποδημάτων εἶδος γυναικεῖον ⟨—ίων⟩

Περιβασώ (Argivi)· ἡ Ἀφροδίτη

περιβεβυσμένος· περιπεφραγμένος

περιβῆναι (Ε 21)· πεπτωκότος ὑπερασπίσαι, ὑπερμαχῆσαι [89]

περιβλέπεται· περισκοπεῖ

περίβλεπτος (Herc. fur 508)· ἔξοχος [ad 91]

περιβόητος (non Soph. OT. 191)· ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων

(περίβοιος· ὑπέρτιμος)

περιβολή· †περιδέρματος

περίβολοι· τείχη πόλεων, ἢ περίδρομοι [95. 96]

περιγηθής· περιχαρής [98]

COD. 33 περάγειν, διερρωγέρειν θω˜ 34 πληρεῖ 36 περὶ (cf. βωμίσκοι) 37. 38 περρ— 40 cf. οὐχυπέρα λόγου 45 ὀργίζει (Forte περατοῖ· ὁ. τελεῖ) 47. 48. 49 = 49. 48. 47 47 περγέα — ἡ 48 πέργαμας 49ᵇ post 1548 50 περγοῦλον, cf. σπέργουλος 51 cf. σπέργυς 52 καὶ πηλός 63 περιαγκάμψαις (cf. Phot. 414, 15) 66 περιάγνοιται 67 περιάγνοιτο 68 |ορίος 69 περιαδεῖς (cf. εὐαδεῖς) 73 |χάμενος 74 περιαπατῶν 75 ὠδίς 76 περιαπτάω, περιαματάω 93 περιβ. περίβοιος. περιδ. ὑπερτ.

HES. 31 περάαν (Β 613)· διαπερᾶν 32 Περαιβοί (Β 749)· ἔθνος Θεσσαλικόν (Thuc. IV 78) 43 πέρατα (gl. Psalm.)· τὰ τέλη Ad 53 χωλὸς κάπηλος ὁ Πέρδιξ ἦν. ἔνθεν ἔνιοι τὴν παροιμίαν φασὶ διαδοθῆναι .... (append. prov. IV 56) 54 περιδόμεθα (Ψ 483)· συνθήκην παράσχωμεν 55 περεούμενοι· τελειούμενοι ⟨περαι—⟩ 56 περεοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα ⟨περαι—⟩ 57 περέτισαν (Ι 110)· ἐτίμησαν 58 περ(ῆ)σαι (Μ 53)· διαπεράσαι 60 πέρθαι (Π 708)· πορθηθῆναι 61 πέρθετο (Μ 15)· ἐπορθεῖτο 74 περιαμμάτων (schol. Greg. Naz.)· περιάπτων (amuleta) 75 περιάοιδος ⟨περίοδος⟩· ἡ ἐγκύκλιος ᾠδή 76 περίαπτα· περιάμματα (1574) 79 περιαυτίζεται (Cyrill. c. Iul. p. 100 D)· μεγαλοφρονεῖ 89 περίβησαν (Ξ 424)· ὑπερήσπισαν. καὶ τὰ ὅμοια Ad 91 περιβόητος 95 περιβομβεῖσθαι (Greg. Naz. or. XXXIII vol. I p. 629 D)· περιηχεῖσθαι 96 πέρι γάρ (Hom.)· περισσῶς γάρ 98 περίγειος· πρὸς τὴν γῆν

περιγίνεται· †περιοικεῖ. περιττεύει (Aristoph. Phot. 415, 18) [1600]
περιγλαγές· περίπλεω(ν) γάλακτος
περιγράφει· περιγίνεται ⟨1645⟩· [ad 2] ἢ χωρεῖ. ἢ συλλαμβάνεται. †ἢ ἐν ἀγρῷ ἐστι
περιγραφήν· περιαίρεσιν τοῦ πράγματος
περίγραφον· οἱ δανείζοντες τοῖς μὴ ἀποδιδοῦσι τὸ ἀργύριον περιέγραφον, καὶ οὐχ ὑπερέβαινον ἕως †λύτουν
περιγυρίδας· περιφερείας [6]
περιδαρδάπτεσθαι· κατεσθίεσθαι
περιδαρδάπτειν· κατεσθίειν [9]
περιδεής (Herod. VII 15)· περίφοβος
περιδείδιθι· φοβοῦ
περιδεινεῖσθαι· περικινεῖσθαι. περιπορεύεσθαι. περιστρέφεσθαι. περιέρχεσθαι [13]
περιδεινήσεως· περιόδου. καὶ τὰ ὅμοια
περιδεινηταί· περικινηταί. καὶ τὰ ὅμοια
περίδεινον (Plat. Legg. 777 C)· πειρατήν
†*περιδεινός*· περιπαθής
περιδεινοῦσι· περιστρέφουσιν
περιδεινοῦντα· περιοδεύοντα
περίδειρον· τὸ κατώτατον τῆς περιγραφῆς τοῦ τραχήλου (Poll. II 135) [21]
περιδεῖσθαι· συντείνεσθαι [23]
περιδέξιον· φρόνιμον. ὀρθόν, μηδὲν ἀριστερὸν ἔχον. καὶ οἱ μὲν περισσῶς δεξιὸν περὶ τὴν τοῦ δόρατος βολήν. οἱ δὲ ἀμφοτέραις ταῖς χερσὶν ὡς τῇ δεξιᾷ βάλλων (Apoll. lex.) [25]
περιδέραια (Aristoph. p. 1078)· περιτραχήλια. ἢ ἐνώτια [27]
περιδευκές· περισσῶς πεποικιλμένον
περιδεῶν· ἐμφόβων
περίδηλον· περιφανές. καλόν [31]
περίδοσιν· συνθήκην
περιδοῦ (Diphil. fr. XLIX)· σύνθου. τοῦτο δὲ παραβάλλεσθαι λέγουσιν, ἢ συνθήκης θέσιν [34]
περίδρομος· τοῦ δικτύου τὸ διειρόμενον σχοινίον (Xen. Cyn. II 5 X 7)· διὰ τὸ καὶ κάτω βρόχοις ...... καὶ πάντῃ περιεχόμενος τύπος (§ 7) [ad 35]
περίδρομον τείχους (Plat. Critia 116 B)· τοῦ περιβεβλημένου τείχους κύκλον [37]
περιδύεται· περιβάλλεται. κρύπτεται. εἰσδύεται
περιδῦσαι· περιδύνασαι ⟨1631⟩ [40—42]
περιδώσομαι (ψ 78)· συνθηκοποιήσομαι
περιεβάλοντο (Herod. VII 191)· ἐκύκλωσαν
περι(έ)γραψε· περιεγένετο ⟨1602⟩
περιεδίνει· περιεκύκλευεν [47]
περιεζόμενον· περιεχόμενον
περιέθει· περιέτρεχεν
περιειλημμένως· περιεκτικῶς
περιείληπτο· περιεγέγραπτο. ἢ ἐκεκράτητο. ἐκ τοῦ περιλαμβάνεσθαι
περιεῖναι (Plat. Civ. 416 E)· περιττεύειν
περιεῖπεν (Herod. I 73 Xen. Mem. II 9, 6)· ἐτημέλει
περιείργασμαι (Dem. 248, 25)· περιττὸν ἐποίησα[ν]
περιεχωκύετο· περιηχεῖτο
περιεκτικόν· τὸ περιέχον. ἤτοι γενικόν. ἢ περιληπτικόν· ἐκ τοῦ περιβάλλειν [ad 56]
περιεκτικώταται· ὁμοίως
περιεκτικώτερον· γενικώτερον [59. 60]
περιελιχμήσατο· τῇ γλώττῃ (ἢ) σπογγιᾷ ἐκάθηρεν
περὶ ἐμέ· πρός με

COD. 1600 μεμαλ| 2 ἢ — ἐστι post 1603 (*περιναιετᾷ* περιοικεῖ, ἢ ἐν ἀγρῷ ἐστι. *περιγίνεται*· ἢ χωρεῖ. ἢ συλλαμβάνεται e. c. lucrum redundat) 11 |*ηθι* 12 |*ινεσθαι* 24 *περιδέξιον* —δεξιῶς περὶ 26 *περιδέρεα* 33 θέστες 35 |οι — δεικτύου — δειρόμενον — περιεχόμενοι τύποις περιδρόμους — περὶ τοὺς βεβλημένους τοίχους κύκλῳ
ε λλ
41 *πδύω* 43. 44 = 44. 43 *περιβάλλων* 46 *περιέδεινε* 49 περιέθεε Cyr. 53 ἐτι με 54 ποιητὸν ἐπ| cf. περιεργάσαι 55 *περιεκόκυτο* 57 ὁμοίαι 61 σπόγγει καὶ καθῆρεν

HES. 1600 *περιγλαγέας* (Π 642)· γεγαλακτωμένας Ad 2 περιαίρεσιν τοῦ πράγματος 6 *περὶ δ' ἄλλων* (Δ 375)· ὑπὲρ τοὺς ἄλλους 9 *περιδρύφθη* (Ψ 395)· περιέξεστι 13 *περιδεινηθήτην* (Χ 165)· περιεστρέφοντο. ὅμοιον 21 (*περιδείσασα* Ο 123)· περισσῶς δείσασα, περισσῶς εὐλαβηθεῖσα 23 *περὶ κλήσιον θεὲ πάντῃ* (ω 207)· περιετετείχιστο δὲ κλήσιον, κύκλῳ περιβέβλετο καὶ παρέκειτο κλίσιον, διὰ τὸ ἐν κύκλῳ κρηπίδωμα βαθροειδὲς ἔχειν 25 *περιπνοή* (Ε 697)· ἡ πνοὴ δὲ τοῦ βορρᾶ 27 *περὶ δ' ἐστέ* (Δ 258)· ὑπερέχετε δέ. ἢ ὑπάρχεται. ἢ κρατεῖται 31 *περιδῆσαι*· περιδύνασθαι (*περιδῦσαι*· περιδύνασαι) 34 *περὶ δουρί* (Λ 303)· περὶ τῷ δόρατι Ad 35 περιφερεῖς, στρογγύλοι (Ε 726) 37 *περιδρύφῃ*· περιξέῃ ⟨1609⟩ 40 *περίδυσο* (Λ 100)· ἀπέδυσο 41 *περιδύω*· ὅμοιον 42 *περιδώμεθα* (Ψ 473 Greg. Naz. C. II 518)· συνθώμεθα 47 *περιεδρύφθη* (Ψ 395)· περιεξέστη ⟨1609. 1637⟩ Ad 56 ἢ ὑπερέχον 59 *περίελαι* (Prov. IV 24 Ps. CXVIII 22)· κοῦφον. ἔπαρον. ἀφελοῦ 60 *περιελόμενος* (Genes. XLI 42)· ἐπάρας

περιέπει· περιέρχεται. περιεργάζεται. φυλάττει. θεραπεύει [64]
περιεπτισμένη· περιεξεσμένη. περικεκαθαρμένη (cf. Ar. Ach. 506)
περιέπων· ἐνεργῶν
περιεργάσει (Dem. 248, 25)· πράξει(ς) περισσά
περίεργον· περιττόν. ἢ στρεβλόν [69]
περιερέττων· κωπηλατῶν ⟨1674⟩
περιέσομαι (Plat. Alcib. I p. 119 C)· περιγενήσομαι, κρατήσω, νικήσω, κατισχύσω
(περιεσόμενοι)· μέλλοντες περιγενέσθαι
περιεσπάσθη· ἐσείσθη. †περιδέδεται [73. 74]
περιέσται· περιγενή(σε)ται. νικήσει
περιεστήξει· περισταθήσεται [ad 76]
περιεστοιχισμένοι· οἱ περιέχοντες. καὶ περιεχόμενοι
περιετέμοντο· περιήλασαν ⟨cf. περιτα—⟩
περιετίθουν· ἐκρέμων
περιέτυχον (Thuc. VIII 23 schol.)· συνέτυχον [81]
περιέφραξαν· ἐσκέπασαν. ἐφύλαξαν
περιέχομαί σου· ἀντιποιοῦμαί σου [84]
περιέχοντες· περιλαβόντες. καὶ τὰ ὅμοια
περίζυξ (Eupol. fr. LXXXVIII)· ὁμόζυγος, σύζυγος
περιηγές (Call. Apoll. 59)· κυκλοτερές, περιφερές
?περιήγει· ἐζωγράφει
περιήγητος (Antiph. com. p. 84)· ὁ περιπόρφυρος χιτών
περιηγμένα· περιφερόμενα
περιήεσαν (Xen. Hell. IV 5, 10)· περιήρχοντο
περιήθελεν· ἠγάπα [93]
περιηθέλησεν· ἠγάπησεν
περιήκασε· περιώρυξεν. περιέγραψεν
........· περιέγραψαν. ὤρυξαν
περιήκοντα· ......
περιήλυσις (Herod. II 131)· περίοδος
περιημεκτεῖ (Herod.)· ἀγανακτεῖ, ἀνιᾶται, δυσκολαίνει
περιῆν· ὑπῆρχεν. ἐπλεόναζεν
περιηρημένον (cf. Thuc. III 11)· κεκομμένον
περιῆρρον· περιῄεσαν [1702]
περιηχήθη· περιεψιθυρίσθη [4]
περιθείς· κύκλῳ θείς, περισσότερον [ad 5] [6]
περιθειῶσαι (Menand. com. p. 104)· περικαθᾶραι, κυρίως θείῳ
περιθέσθαι· περιποιήσασθαι. προσλαβέσθαι. κύκλῳ θεῖναι
Περιθοῖδαι· δῆμος φυλῆς τῆς Οἰνηΐδος
περιθραυσθέντα· περιπεσόντα. ῥαγέντα
περιθρεκτέον (Plat. Theaet. p. 160 E)· περιδραμητέον
περιθυρεῖν· τὸ ἐπὶ ταῖς θύραις ἵστασθαι [13]
περιϊόντας· περιερχομένους
περιϊππεύοντας· περιτρέχοντας [16]
περιϊστάμενος· κυκλεύσας [18. 19]
περιϊών (Ar. fr. inc. LIII)· περιερχόμενος [21—24]
περικάμπτεται· †περικιρεῖται [26]
περικάρδιος ὑμήν· ὁ ἐπὶ τῇ καρδίᾳ (Poll. II 217)
περικάρπιον· τὸ λέπυρον, σκέπασμα
περικεφαλαία· ἡ ἐκ τριχῶν γεγονυῖα περιθετή. καὶ μέρος τι τῆς νεώς. ἢ κάσ(σ)ις
περικέχυται· περιείληφεν
περικήδεο· φείδου φροντίζων
περίκηλα (ε 240 σ 308)· περισσῶς ξηρά. τὰ περικεκαυμένα. περιεσχισμένα [33]
περικλύτῳ· σφόδρα ἐνδόξῳ

COD. 65 περιεπτησμένη 67 |άσσει 71 περίασομαι — ἢ μελλ| 79 ἐκρέμουν 92 ἀγάπη 97 περίλησις 1705 κυκλωθείς 8 κυκλωθῆναι 28 |πιος (Aristot. gen. anim. IV 4) 29 περιθετικὸν μέρος 32 ξηρᾶται (cf. εὔκηλον)

HES. 64 περιέπειραν (I Timoth. VI 10)· ἔπηξαν 69 περιερεία· καθαρσία (περίστια· καθάρσια) 73 περιεσκεμμένος (Greg. Nyss. II 43 C)· ἠκριβωμένος 74 περιέσσων· κωπηλατῶν (1670) Ad 76 περιφράξει, ἢ περικυκλώσει (ad περιστείξει) 81 περιευτίξεσθαι· ἀποδοῦναι αὐτῷ (1578) 84 περίζωμα (Ierem. XIII 1)· περιβόλαιον 93 περιήθλουν· ἀγα[π, ϑ]μα πειραθείς 1702 περιήσω· περιδώσω ⟨προήσω· προδ—⟩ 4 περιθείης (Λ 386)· Ad 5 λαβεῖς (paraphr. Λ 386) 6 περὶ θεόν· πρὸς θεόν 13 περιίδμεναι (Ν 728)· περισσῶς εἰδέναι 16 περι.ίσσεται ὥρας (Eur. Alc. 449)· περιέρχεται τὰς ὥρας 18 περιίστασο (II Tim. II 16)· κύκλευσον. σκόπησον. περίφευγε. ἀνάτρεπε 19 περιστοιχείωσαι· περίελθε 21 περικάθαρμα (Prov. XXI 18) 22 περικαθαίρων (Deuter. XVIII 10)· ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον 23 περικαλλές (Λ 632)· λίαν καλόν 24 περικαλλέος (Λ 603)· περισσῶς καλοῦ 26 περὶ καπνῷ (Λ 317)· περὶ τὸν καπνόν 33 περὶ κῆρι (Δ 46)· κατὰ ψυχήν

περικληζόμενος· δοξαζόμενος λίαν

Περικλύμενος· ὁ Πλούτων. καὶ πόα, ἡ καὶ κυκλάμινος

περικλυτός (Α 607 al.)· ἔνδοξος, περισσῶς καὶ λίαν ὠνομασμένος διὰ τὴν τέχνην

περικνημίς· σκεπαστήριον τῆς κνήμης

περικόπται· κλῶπες. λῃσταί

περίκουροι· οἱ ἐκ τοῦ κυκλωθῆναι ἁλισκόμενοι ἐν ταῖς μάχαις

περικτίονες (Herod. VII 148)· περίοικοι, γείτονες, πέριξ οἰκοῦντες [42]

περίκυκλον· ἵνα ὑπερεφῆ [44]

περικωδωνίσαι· (περιβομβῆσαι)

(περικωνῆσαι·) περιρρομβῆσαι. περιαγαγεῖν Λάκωνες. σπογγίσαι. ἢ περιπισσῶσαι (Ar. Vesp. 600 fr. XXXV p. 1157)

περιλαβεῖν· περιβαλεῖν. καὶ τὰ ὅμοια

περιλέγειν (Hermipp. p. 416)· τὰ περισσὰ φράζειν

περιλεγνές· περιποίκιλον

περιλεσχήνευτος (Herod. II 135)· περιβόητος. περιλάλητος

περιληπτικόν· ἐφαπτόμενον

περιλῆσαι· περι(σ)τρέψαι

περιλιχμήσασα· περιλείξασα

περιλυγίζεσθαι· περιστ(ρ)έφεσθαι

περιμάχητον· ὑψηλόν, μέγα, ἰσχυρόν

πέρι μέν (Α 258)· περισσῶς μέν [57]

περίμετρον (β 95)· ὑπέρμετρον, μέγα. τινὲς δὲ εὔκυκλον [59. 60]

περιμήκετος· ὑψηλός. ὑπέρμηκος. ἢ περισσῶς μακρὰν καὶ ὑψηλήν (Ξ 287)·

εἰς ἐλάτην ἀναβὰς περιμήκετον [62]

περίνα (πηρῖνα)· περίναιον. τὸ αἰδοῖον. ἀφ' οὗ καὶ τὸ περαίνεσθαι [64]

περίνεως· ὁ δεύτερος ἱστός. καὶ καθάπαξ τὰ διττὰ τῆς νεὼς σκεύη

περίνησα (Menand. p. 94)· τὰ περιβόλαια, οἷς ἐν κύκλῳ πορφύρα παράκειται

περίνησον· ἱμάτιον ἔχον πορφύραν κύκλῳ

περινοεῖ· περισσῶς νοεῖ

περίνοια· μηχανή. τέχνη

περινομαί (Menand. fr. CCCXXI)· περιφοραί

†περίνος· τὸ αἰδοῖον. οἱ δὲ τὸν καυλόν (Poll. II 173), ἢ τὸ τῶν διδύμων δέρμα. ἤγουν ὁ ταῦρος

περινοστεῖ (Plat. Civ. VIII p. 558 A)· περιέρχεται

περινοστήσαντες· περιελθόντες, κυκλεύσαντες. ἢ ἐξιόντες

περινοστοῦντι· περιστρεφομένῳ [75]

περίοδος· τὸ ἐκ διαλειμμάτων ἐπιπεσὸν ὄνομα. ἢ χρόνος. ἢ κύκλος. ἢ ἡ ἐν λόγοις, καὶ ἡ τῆς γῆς περιήγησις (Herod. V 49). καὶ ἡ τάξις τῶν αἰώνων. καὶ ἡ παρὰ τοῖς ἰατροῖς. καὶ ἡ ᾠδή (1575). καὶ μέτρον τι τῶν μετάλλων (Poll. VII 99 X 149)

περιόδων· χρόνων. κύκλων

περιόδῳ· κυκλώσει

περιοίκιον· ὁ περὶ τὴν πόλιν ἢ τὴν ἔπαυλιν τόπος. τινὲς δὲ περίβολον

περιοίσει· ἀνοίσει ἐκ τῆς νόσου

περιοκωχή· (περιοχή) [82]

περίοπτον· ἐπιφανῆ, πολυθέατον, περίβλεπτον

περιορᾶν· ὑπερορᾶν

περιόρια (terminalia)· ἑορτὴ ἐν Κύπρῳ

περιοργῶς (Aesch. Ag. 201)· ὑπερόργοντως. καὶ παρωρμημένως

περιοριζόμενοι· περιεχόμενοι. γινωσκόμενοι. ἐξολισθαίνοντες (relegati)

περιορίσαι· περινοῆσαι

περιορισθῆναι· γνωρισθῆναι. ἐξορισθῆναι

περιοριστόν· περιγραπτόν

περιουσία (Thuc. I 1)· πορισμός. πλῆθος [92]

περιούσιον· πολύ, περισσόν. περιποιητόν (Tit. II 14?)

περιούσιος· πλούσιος. πολύς

περιοχή· περιπέτεια. καὶ ὑπόθεσις. καὶ φυλακή. καὶ ἡ [ad 95] πολιορκία [96]

COD. 35 περικλυ| δορα| 36 περίκλυμος· ὁ πλουτῶν — κυκλάμενος 38 |κνημῆς 39 περικοῖται, κλωπαί, λῃστεῖαι 45 περικωδωνῆσαι, περιρομβῆσαι. περιαγαγεῖν ..... Λάκωνες (ε 1841) 50 περιλεσχηνευτός, περιποιητός 52 περιειλῆσαι 53 περιλήξασα 61 περιμεμήκετον 63 περίνεον 65 ὁδεύεται 66 περινήσσαια, π| 65. 66 = 66. 65 67 περινῆσον 70 περινομαία, προφορά (71 L. περίνεος) 80 ἀνήσει — νήσου 81 περιωπή 85 περιορία 86 περιόργως 87 ἐξωλισθένοντες

HES. 42 περικτιόνεσ(σ)ι (Σ 212)· περιοίκοις 44 περὶ κῶμα (Ε 359)· κοίμημα 57 περιμέφασθαι (Ι 100)· διαφερόντως λέγειν 59 περιμηκεος (Ν 63)· μακροτάτου 60 περίμηκες (ν 183)· ὑπερμέγεθες 62 περιμήκεϊ ῥάβδῳ (κ 293)· ἁλιευτικῷ καλάμῳ 64 περινάμενα (Σ 292)· πιπρασκόμενα 75 πέριξ (Act. Ap. V 16)· κύκλῳ 82 περιωπή (Ξ 8 Greg. Naz.)· ἀκρωτήρια. ὕψος. τόπος ὑψηλός 92 περιουσιασμοῦ (LXX)· πλήθους Ad 95 [περὶ πάντων] 96 περιοχῆς (Ps. XXX 21)· τετειχισμένης

περιόψεται (Plat. Legg. 744 E)· καταφρονήσει

(περιπαθής·) διαπονηθείς

περιπαθῶς· συμπαθητικῶς. λυπηρῶς

περιπαλαχθῆναι· περιπλαχῆναι [1800]

περίπατοι· αἱ ἱστορίαι καὶ οἱ λόγοι. ἢ τόποι διακινήσεων

περὶ πέζαν· τὰ περὶ τοὺς πόδας

περιπεζία· ταπείνωσις

περιπείρῃ· περικεντήσῃ

περιπεπήδηκα· περιπεπόληκα

περιπέπλιγμαι· ...... [6]

περιπεπλιγμένα (Strattid. fr. V p. 788)· περιπεπλεγμένα τοῖς σκέλεσιν. οἱ γὰρ Ἀλεῖπται τὸ βῆμα πλίγμα λέγουσιν

περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ἀσχημόνως

περίπεπτον· τὸ περιπεπεμμένον

περιπετάσας· περιμ(α)πλώσας

περιπέτεια (Aristot. poet. c. 6)· ὑπόθεσις. σύμπτωσις. σύμβασις

περιπετεῖς· περιε[ρ]χόμενοι. ἐναντίοι. ἢ προπετεῖς. ἢ περιπεσοντες

περιπετρίζεσθαι· περικρούεσθαι [14]

περιπευκές (Λ 844) [ad 15]· περισσῶς πικρόν, διὰ τὸ χρίεσθαι· πικρὰ γὰρ ἡ πεύκη [16]

περιπηγής (cf. Nic. Al. 107)· περιπαγεῖς, ἐμπαγεῖς

[ad 18] περιπλίγδην· περιβάδην

περιπλίξ· περιειληφώς [20. 21]

περίπλους· περιόδους

περὶ πόδα (Plat. com. p. 660. 687)· οὕτως ἐκάλουν τὸ ἁρμόζον· μεταφέροντες ἀπὸ τῶν συμμέτρων τοῖς ποσὶν ὑποδημάτων. ἢ ἀκριβῶς

περὶ ποδός· ἀντὶ τοῦ ἁρμόζον. καὶ περὶ πόδα· τὸ ἡρμοσμένον, ἀπὸ τῶν ὑποδημάτων

περιποιεῖται· προξενεῖ [ad 25]

περιποίησις· πλεονασμός, κτῆσις

περιποιητικός· διοικητής

περιπολεῖ (Plat. Phaedr. 246 B)· περιοδεύει, περιέρχεται, περιέπει, ἀναστρέφεται, περιπολεύει, κυκλεύει. καὶ τὰ ὅμοια

περίπολος (Eupol. fr. LVI al.)· φρουρός, ἔφορος

περὶ πολλοῦ ποιοῦ (cf. Herod. I 73)· τίμα, θεράπευε (1992)

περιπόνηρος Ἀρτέμων (Anacr. fr. XIX Ar. Ach. 850)· παρὰ τὴν παροιμίαν τὴν περιφόρητος Ἀρτέμων. εἰσὶ δὲ Ἀρτέμωνες δύο

περιππεύει (Aeol.)· ἀφίησιν αὐτοὺς καὶ ἄλλῃ ὁδεύει

περιπρωκτιῶσα (Com. an. fr. CLXIX)· τρυφερευομένη ἐπὶ τῇ πυγῇ

περιπτύσσομαι· καταφιλῶ [35—37]

περιπτυχαί (Eur. Phoen. 1357)· περίβολοι [39]

(περιπυγής· πύργος, μάχλος) cf. 1816

περίπυστα· διαβόητα

περιραίνεσθαι. περιραντίζεσθαι. ῥαντίζεσθαι ⟨LXX?⟩

περιρέζειν· τὸ ἐπὶ τοῖς καθαρσίοις θύειν

†περιρεμβαῦσαι· περιφθαρῆναι [44. 45]

περιρρηδής (χ 84)· περικεκλασμένος. περιστροβηθείς. οἱ δὲ περιερριμμένος. ἢ ὑπτιασμένος [47]

περὶ σέ· περὶ σοῦ, ἐγγύς σου, γνησίως διάκειμαι [49]

περισείρια· τὰ πλάγια τῆς γλώττης (Poll. II 107)

περίσημον· διαβόητον

περισκαίρουσι (cf. Nonn. Ioann. X 9)· περισκαρίζουσι

περισκελές (Hippocr. 664, 20)· σκληρόν, δυσχερές. ἢ μέχρι τῶν ποδῶν

COD. 98 λυπηρῶς, διαπονηθείς 1804 cf. περιέπειραν 5 περιπεπώληκα περιπέπληγμαι 7 μέλεσι — πλέγμα 9 περίπεμπτον 10 περιπετάσθαι πετάσας Post 10] 8 περιπεπλῆχθαι 17 περιπηγεῖς — ἐνπαγεῖς 18 περιπλέγδην 19 περιπλήξ 22 περίπλας 24 περίποδος — ἁρμόζων 32 περιιππεύει — ἀφεῖ — ὁδεύει (33 cf. σαυλοπρωκτιᾶν) 38 |πτηχαί 46 περιρρυδής, περικυκλασμένος Post 51] 61 περισιγᾶν

HES. 1800 περὶ πάντων (Α 417)· ὑπὲρ πάντας τοὺς ἄλλους 6 περιπετάσας· περιβαλών 14 περίπετρον· πανταχόθεν ἐξέχον ⟨περιπτ—⟩ Ad 15 ἢ περίπευκος 16 περιπῆγις· πύργος. μαχλος Ad 18 [περιπλη..] 20 περιπλέες (Λ 395)· λίαν, πλεονάκις 21 περιπλομένων (α 16)· περιπολουμένων, ἤγουν περιερχομένων Ad 25 ζωοποιεῖ (Exod. I 16 coll. 22) 35 περίπτερα (Cantic. VIII 6)· οἱ ἀποσπινθηρισμοί 36 περίπτερον (Amos III 15)· ὑψηλόν, πανταχόθεν ἐξέχον. ἢ στέγην ἔχουσαν ἐξοχήν (1814) 37 περιπτεύσαντες· περιδραμόντες (Polyb. V 73, 12) 39 περιπτύσσει· καταφιλεῖ(ς) 44 περὶ ῥίον (Θ 25)· περὶ τὸ ἀκρωτήριον 45 περὶ ῥέθεσι (Greg. Naz. C. IV 237)· περὶ ταῖς παρειαῖς 47 περισσαίνοντες (κ 215)· κολακεύοντες. παρὰ τὸ σαίνειν, ὡς τῶν κυνῶν τὴν (οὐρὰν) κινούντων 49 περὶ σεῖο (Γ 137)· περὶ σοῦ. καὶ †περιέσσιον· περὶ σοῦ

περισκέπτῳ (α 426)· πάντοθεν ὁρωμένῳ. οἱ δὲ μόνῳ, κεχωρισμένῳ, ὥστε ἀπ' αὐτοῦ περισκέψασθαι

περίσκεψις· βάσανος

περισκήπτειν· περιθλίβειν

περισοβεῖν (Menand. p. 136 Eur. fr. 1113)· ἐν κύκλῳ κινεῖν. ἢ περιτρέχειν. ἢ φωνεῖν. ἢ διώκειν [58—60]

περισπᾶν· ἀφέλκειν τοῦ προκειμένου

περισπάσασθαι· περιποιήσασθαι

†περισπέχτου βοῆς (Soph. El. 788)· ὑπερεπειγούσης

περισπερχής· περιώδυνος [65]

περὶ σπονδῶν· περὶ εἰρήνης [67. 68]

περισταλείς· κοσμηθείς. ἤτοι ταφείς

περισταλαδόν (Nic. Al. 475)· περισταζόμενον, περιρρεόμενον τῷ χόλῳ [71]

περιστατόν (Theopomp. com. p. 808)· τὸ ἀνάστατον [73]

περιστεγανόν· περισσῶς στεγανόν

περιστένειν· ἔκθυμον εἶναι

περιστείληται· περικαλύψηται [77]

περιστέλλει· καλύπτει. συστέλλει. κοσμεῖ. σκέπει. φυλάττει. περιβάλλει

περιστελοῦμεν· τὰ αὐτά [80. 81]

περιστέρια (Com. an. CCCXIX)· κοσμάρια ποιά

περιστίαρχος (Ar. Eccl. 128)· ὁ περικαθαίρων τὴν ἑστίαν, καὶ τὴν ἐκκλησίαν [84]

περίστιον· ἐπὰν τὸν νεκρὸν ἐκπέμψαντες ὑποστρέψωσι, καὶ τὸ καθάρσιον ποιήσωσιν (1669)

περιστλεγγίσαι· περιξύσαι· στλεγγὶς γὰρ ἡ ξύστρα

περιστοιχίσαντες (Polyb. VIII 5, 2)· περιλαβόντες

περιστολή· περιβολή. ἔνδυμα

περιστόμιον· ὁ τῆς ἐπιγλωσσίδος τόπος ἐν τῷ βρόγχῳ [90]

περίστροφος· ὁ τῆς ὑποσφραγίδος τόπος

περίστῳον· περίστυλον

περισύρει· σύρει

περίσφατα (Trag. inc. fr. 266)· τὰ ἐπιθρήνητα, καὶ μοχθηρᾶς ἐπιφωνήσεως ἄξια

περισφάτως· περιωδύνως. περιβοήτως

†περισχαδόν (Com. an. fr. CCCLXXXVI)· τὸν ὑποκρινόμενον τὸν Περσέα, ὡς πτωχὸν καὶ †φησίμορφον ψίαθον, ἐν ᾧ περιειλοῦσι τὰς ἰσχάδας

περισχελές (Cret.)· δυσχερές [98]

περισχέσθαι· ἀγαπῆσαι

περίσχετο· ἠγάπησεν. ἐφείσατο

περισχιδεῖς (Com.)· εἶδος ὑποδήματος εὐτελές

περισχόμεθα (ι 199)· περισσῶς ἐχόμεθα. ἀντιλαμβανόμεθα

περισχών· περιτείνας. ἢ ἐπισχών

περιτάμνεσθαι· περιορίσαι τι διὰ τῆς αὔλακος

περιταμνόμενον· περιελαύνοντα. μεταφορικῶς ἀπὸ τῶν γηπέδων (nec λ 401 nec Eur. fr. 476) [1906—9]

περιτετάσθαι· ἡπλῶσθαι ἐπὶ τὰ †ἴχνη

περιτεύξεται· συντύχῃ. ἢ περιπεσεῖται

περιτευξ†οίμεθα· περιτύχοιμεν

περιτευξόμενος· περιτυχεῖν μέλλων [14]

περὶ τὴν λέξιν· ἐν αὐτῇ τῇ λέξει

περίτια καὶ περιῆτες· περιῆτες μὲν οἱ φύλακες, περίτια δὲ Μακεδονικὴ ἑορτή

περιτίθεται· περιβάλλεται

†περιτομίς· μέρος τι τῆς νεώς

περιτόναιον· μέρος τι τῆς νεώς. καὶ τὸ δέρτρον

περιτρέπεται· ε(ἰ)λιγγιᾷ (1925)

COD. 66 περίσπονδον 70 περιστάραδον 72 ἀναστατόν 78 περιστελεῖ 85 περιστητόν 92 περίστοον 1901 περισχιλεῖς 11 περιπέσηται 14 συλλ| 15 περιπέτεια bis 19 περιτόνεον δένδρον

πολύθεστος (Call. Cer. 48)· πολυαγάπητος. πολύσεπτος

πολύθροον (Aesch. Suppl. 820)· πολύηχον

πολυθρύλλητα (Plat. Phaed. 100 B)· πεφη(μι)σμένα. ἢ θόρυβον ἐμποιοῦντα, διαβεβοημένα

πολυθύσανε (Bergk. Lyric. p. 1001)· ‚Ἄρτεμι πολυθύσανε κούρα‘ διὰ τὸ θυσάνοις καὶ αὐτὴν χρῆσθαι· ἢ ὅτι πολλαχόθεν ἄσσεται, ὡς κυνηγέτις. ἢ πολυθώϋκτος. ἢ πολυθυσίαστος [58. 59]

πολυκαγκέος· πολυξήρου [61—63]

πολύκεστος (Γ 371)· πολυκέντητος. ἐξ οὗ τὸν ποικίλον δηλοῖ [65]

πολυκηδέος· πολυφροντίστου

πολυκέφαλος (sch. Pind. P. XII 15)· τῶν κιθαρῳδικῶν τι μέλος

πολυκληῖσι (Β 74)· πολυκαθέδροις, πολυζύγοις [λεπίδες] ταῖς ναυσίν, ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐταῖς τοὺς ἐρέσσοντας

πολύκλητοι (Δ 438)· ἀπὸ πολλῶν ἐπικεκλημένοι τόπων βοηθοί

πολύκμητον (ξ 324)· μετὰ πολλοῦ καμάτου γεγενημένον, ἢ πολὺν κάματον ἡμῖν παρέχοντα. λέγει δὲ τὸν σίδηρον [71]

COD. 16 ἔχων τὰς 19 πολυάνδριος πολυ 22 πολυάρνει 31 πολυβοτραφεῖ — πολύβοονάμα 32 H. e. ἀγάστονα 33 πολυγεθές 35 χαίρων 36 ὁ νοῦς — μυρσίναν 39 πολύδακρυ, τὸν 40 πολλοῦ δαμάζων (Coni. πωλοδαμνῶν· πώλους δαμναζόντων) 48 ἄδον 57 αἴσεται ὡς κυνηγέτης — πολυθώϋστος 60 πολυκαγχέος (cf. καγκές)

HES. 18 πολυάϊξ (Ε 811)· πολυκίνητε, πολυόρμητε. ἢ πολλὰς ἔχων αἶγας 20 πολυάρρητος (ζ 280)· πολυεύητος 24 πολυβενθέος (Α 432)· πολὺ βάθος ἔχοντος 26 πολυβότειρα (Γ 89)· ἡ γῆ πολλοὺς τρέφουσα καὶ βόσκουσα 27 πολύβουλος (Ε 260)· συνετή 29 πολυβοῦται (Ι 154)· πολλὰς ἀγέλας ἢ βόας ἔχοντες 32 πολυγάστονα· πολυστένακτα 34 πολυγηθέες ὧραι (Φ 450)· αἱ πολλῆς χαρᾶς αἴτιαι οὖσαι 37 πολυδαίδαλον (Λ 32)· πολύκοσμον, πολυποίκιλον Ad 40 ἢ πολυκεντήτων, ποικίλων (πολυκέστων) 41 πολυδειράδος (Α 499)· πολλὰς ἐξοχὰς ἔχοντος, οἷον πολλοὺς τραχήλους καὶ λόφους. Δειρὰ δὲ ὁ τῶν ἀλόγων ζώων τράχηλος, ἐπεὶ ἐκεῖθεν ἐκδέρεται 42 πολυδέσμου (ε 33)· πολυγόμφου. δεσμοὶ γὰρ τῶν νεῶν εἰσιν οἱ γόμφοι 43 πολυδευκέα φωνήν (τ 521 ap. Aelian. HA. V 38)· πολλοῖς ἐοικυῖαν 45 πολυδίψιον (Δ 171)· ἄνυδρον ἢ πολλὰ βεβλαμμένον· ἶψαι γὰρ τὸ βλάψαι καὶ διαφθεῖραι. ἢ πολυπόθητον 50 πολυζύγῳ (Β 392)· πολυκαθέδρῳ 53 πολυηχέα φωνήν (τ 521)· τὴν πολλοῖς ἤχοις καὶ μέλεσι χρωμένην 58 πολυΐακος (Λ 166)· πολυόρμητος 59 πολυΐδρις (ο 458)· ἐμπειρότατος 61 πολυκαγκέα (Λ 741)· ἄγαν ξηραντικόν, μεγάλως κατάξηρον 62 πολυκερδέα (ν 255)· πανοῦργον 63 πολὺ κέρδιον (Γ 41)· πολὺ βέλτιον 65 πολυκηδές (ι 37)· πολλῶν κακῶν αἴτιον 71 πολύκνημον (Β 497)· δύσβατον, ὀρεινόν

πολύκοινον (Soph. fr. 607)· πᾶσι κοινόν [73]

πολύκρημνος· δύσβατος, ὀρεινός, τραχὺς τόπος

πολυκτόνον (Tragic.)· πολλοὺς κτεῖνον [76]

πολυκυλίνδητος· πολλαχοῦ κυλιόμενος [77. 78]

πολυλήϊον· πλούσιον [81]

πολύλιστον (ε 445?)· πολυλιτάνευτον [83]

πολυμέρμερον· πολυμέριμνον [85—88]

πολυμήτης (Α 311)· πολύβουλος, πολύφρων

πολυμήχανε· συνετέ, πολύτεχνε

Πολυμνήστ(ε)ιον ᾄδειν (Crat. fr. CXLII)· εἶδός τι μελοποιΐας τὸ Πολυμνήστ(ε)ιον. ἦν δὲ Κολοφώνιος μελοποιὸς ὁ Πολύμνηστος, εὐμελὴς πάνυ [92]

πολυμνία· ἡ θάλασσα, ἡ πολὺ φυκίον ἔχουσα. καὶ ὄνομα κύριον ⟨Πολύμνια⟩ [94]

πόλυντρα (Aeol.)· ἄλφιτα

Πολύξενος· εἷς τῶν (μ') ἡρώων

πολύξεινος ⟨—υνος?⟩· ἡ γῆ

πολύοπτος (Cram. AP. IV 349, 6)· πολυθέατος [99]

Πολυπαίδης· παρῴδηται ἐκ τῶν Θεόγνιδος· ‚βολβὸν ἐπαινήσω ....'

πολυπαί(πα)λος αἰθήρ· πεποικιλμένος. οὐχ ὁμαλός

πολυπάμονος (Δ 433)· πολλὴν κτῆσιν ἔχοντος

πολυπάμων· πλούσιος, πολλὰ κεκτημένος, πολυχρήμων. Πάματα γὰρ τὰ χρήματα [2904. 5]

πολυπιδάκου Ἴδης (Υ 59)· πολλὰς πίδακας ἐχούσης, τουτέστι ὑδάτων ἐκβολάς, ἢ πολλὰς πηγάς

πολυπήμονα· πολυβλαβῆ

πολύπιστος· ὁ πολλὴν πίστιν ἔχων, ἔμπιστος, ἢ μεγάλην

πολυπλάγκτοις (ρ 425?)· εἰς πολλὰ μέρη πλανωμένοις

πολυπλάγκτου (Λ 308)· πολυπλανήτου, πανταχοῦ περιφερομένου [11]

πολύποδες· εἶδος ἰχθύος. ἢ εἶδος φθειρῶν

πολύποδος δίκην αὐτὸς ἑαυτὸν καταφαγών

πολυπράγμων (Ar. Av. 471)· περίεργος [15]

πολύρρην· ἢ πολυπρόβατος, ἢ πολύαρνος

πολύρρην (epic. Herodian. πμλ. 15, 26)· πολλὰ ῥῆνη ἔχων, τουτέστι θρέμματα

πολύρρητος· πολύφραστος

πολυρρήτοισι· †πολυπόνοις [20]

πολυσμαράγοιο· πολυήχου, ἠχητικοῦ

πολύσπειρον· πολυέλικτον

πολυσπερέων (Empedocl. 163)· [ad 23] πολυεθνῶν

πολύστικτος· πολυπόρευτος [25]

πολυσφέλμου· πολυφλοίου

πολυσχιδῆ· εἰς πολλὰ ἐσχισμένον, μεμερισμένον [28]

πολυτελῆ (Apollod. com. p. 439)· πολυδάπανα, ἢ τὰ πολλοῦ ἄξια, ἤγουν τίμια

πολυτιμητίζειν· [ ] τιμᾶν [ad 30] [31—35]

COD. 74 τραχὺς τόπος post 2871 85 |σχεδῶς 91 μέλος ποιΐας — εὐημερής 93 schol. Nic. Th. 950 2900 παροδῖται — βόμβων 2 |μμονος 3 |μμων — πάμματα 6 πολυπήδακα — πήδακας 8 ἢ $\overset{γλ}{μέ}$ 10 |έγκτου 15 |άχου 16 πολυρρήνη 17 πολυρρήνη πολλαρρήνη ἔχων 24 πολύστικτος

HES. 73 πολυκοιρανίη (Β 204)· πολυαρχία 76 πολυκτήμων (Ε 613)· πολλὰ κτήματα ἔχων 78 πολυλλάϊστον (ε 445)· πολυλιτάνευτον, πολύευκτον 79 πολύλευκτον ⟨—πλαγκτον⟩· πολυπλάνητον, πανταχοῦ περιφερές 81 πολυλήϊος (Ε 613)· πολύπυρος. ἢ πολλὰ βοσκήματα ἔχων 83 πολυμερές (Sapient. VII 22)· εἰς πολλὰ μεριζόμενον 85 πολυμερῶς (Hebr. I 1)· πολυσχιδῶς, δαψιλῶς. πολλὰ σχήματα ἔχων 86 πολύμηλον (Β 605)· πολυπρόβατον 87 πολυμῆναι (Β 173)· πολύβουλε 88 Πολυμήστωρ (Eur. Hec. 7)· ὄνομα κύριον 92 πολυμνήστην (ξ 64)· ἀγαθήν, σώφρονα 94 πολύμυθος (Γ 214)· φλύαρος. περίεργος 99 [πολυορκῆσαι ἢ] πολυορκῆσαι· κυκλεῦσαι πόλιν στρατῷ 2904 πολυπενθέος (Ι 563)· πολυπαθοῦς 5 πολυπήδακα (Θ 47)· πολλὰς ἀναβολὰς ἐχούσῃ, ἤτοι πηγάς 11 πολύπλοκος (Greg. Naz. Arc. IV 21)· πολύτροπος 15 πολυπτύχου (Θ 411)· πολλὰς ἐξοχὰς ἔχοντος. πολυμεροῦς. πολλὰς πτύχας καὶ εὐρυχωρίας ἔχοντος καὶ πολλὰ ἀποκλίματα 20 πολυσκάρθμοιο (Β 814)· πολύποδος, πολυβημάτου. ἐπὶ δὲ νεῶν, πολυκώπου. οἱ δὲ δρομάδος. καὶ πολυπηδήτου, εὐκινήτου, πολυκινήτου Ad 23 ἐπὶ πολλὰ μέρη τῆς γῆς ἐσπαρμένων (Β 804) 25 πολύστονα (Λ 545)· πολλῶν στεναγμῶν αἴτια 28 πολυσχιδές· πολυμερές Ad 30 [πολλοὺς] — [ἢ ὑπὸ πολλῶν τιμᾶσθαι] 31 πολύτλας (Θ 97 al.)· ὁ πολλὰ ὑπομείνας. ἢ κακοπαθήσας, πολλὰ ἀνατλάς, ταλαίπωρος 32 πολυτρήρωνα (Β 502)· πολλὰς περιστερὰς ἔχουσαν 33 πολυτλήμων (Η 152)· ὑπομονητικός 34 πολύτροπος (α 1)· ὁ ἐπὶ πολλὰ τρεπόμενος, ἢ τρέπων τὴν ἑαυτοῦ διάνοιαν ὑφ' ἕνα καιρόν 35 πολυτρόπως (Hebr. I 1)· διαφόρως, ποικίλως

πολύτορον δέρμα ἐχίνου· ἤτοι διὰ τὰς ἀκάνθας, ἐπεὶ τιτρώσκουσιν· ἢ ἐπεὶ ἐκφύσεις πολλὰς ἔχουσιν

πολυφασίας· πολυλογίας

Πολύφημον· πολύφωνον, ἐπιθετικῶς. ἢ ἐκκλησία, ἐν ᾗ πολλαὶ φῆμαι καὶ κληδόνες εἰσίν. ἢ ἀπὸ τοῦ πολλὰ φημίζεσθαι καὶ ὁ ἔνδοξος. καὶ κύριον ὄνομα Κύκλωπος [39. 40]

πολυφραδέος· πολυκερδοῦς. ἢ λίαν συνετοῦ

πολυφραδέστερον· συνετώτερον. λογιώτερον. πολυκερδέστερον [43. 44]

πολυχανδέα· πολλὰ χωροῦσαν (Greg. Naz.?)

πολυχε(ι)ρία (Thuc. II 77)· πλῆθος ἐργαζομένων καὶ ἀνυόντων

πολύχουν (Arist. HA.)· πολυειδές

πολύχους· πολυφόρος

Πολυώνυμον· τὴν μονάδα οὕτως ἐκάλουν. καὶ ἐπίθετον Ἀπόλλωνος (Call. D. 7)

πολυωπόν· πολύβροχον. πολυόμματον. ἢ πολλὰς ὀπὰς ἔχον [51]

πολυωρεῖ· πολλὴν φροντίδα ποιεῖται. ἐναντίον δέ ἐστιν τὸ *ὀλιγωρεῖν* ὀλίγον φροντίζειν. διὸ καὶ τὸν *ὀλίγωρον* ἀμελῆ λέγουσιν

πολφοί (Aristoph. fr. inc. XXXIII)· τὰ ἐκ τῶν χίδρων καὶ τῆς ἐρι(κτ)ῆς ἑψόμενα

πόλφυκα· τὸν κόγχον ⟨πόφλυκα⟩

πόμα (Nic. Al. 105)· πόσις [56]

πομάτεσ(σ)ι· πόμασι

†*πομμοῦσαν*· ὁμιλεῖν

πομπεῖα (Andocid. p. 33, 1)· τὰ πρὸς τὰς πομπὰς σκεύη. ἢ τόποι, ἐν οἷς τὰ ἐκ τῆς πομπῆς ἀποτίθεται (Dem. 918, 26)

πομπεῖ (Antimach. fr. 4, 2 Bgk.)· πομπευτῇ

πομπεύει· κατασχολάζει ⟨cf. ἐμπομπεύων⟩

πομπεύων· περιάγων. καὶ τὰ ὅμοια

πομπή· ἔφοδος. καὶ ἐξαποστολή, παραπομπή [64]

†*πομπηγορῶσι*· προπέμπουσι

πομπίλος (Pancrates)· ποιὸς ἰχθῦς [67]

πομποστολεῖ (Aesch. Ag. 299)· ἐκπέμπει τὸν πλοῦν

πομποῦ· ὁδηγοῦ [70. 71]

πομπῶν (Soph. OC. 723)· ὁδηγῶν

†*πομφαγωγεῖ*· τὴν πομπὴν ἄγει

πομφ†αγεῖται· φυσοῦται. ἀναβράζει

πομφόλυγες (Nic. Th. 239)· τῶν ἀσπίδων αἱ ἐξοχαί. καὶ ἐν τῷ ὕδατι γενόμεναι οἰδήσεις, ἢ φυσήματα ὕδατος. ἐπὶ τῶν διακενῆς φυσιωμένων λέγεται ἡ λέξις

πομφόλυξ· ὕδατος κάχλασμα. καὶ τῶν ἀσπίδων αἱ ἐξοχαί

πονεῖν· ποιεῖν. ἀσκεῖν. κακοπαθεῖν. ἐνεργεῖν [78. 79]

πονεύμεναι· ἐπειγόμεναι [81]

πονήματα· κόποι

πονηρία· ἐπιπονία

πόνηρον· ἐπίπονον. κακοπαθῆ

πόνηρος· τὰ αὐτά

πονηρός· κακός, δεινός, κακοῦργος [87]

πονίωμεν (Dor.)· πονῶμεν

†*πόννα*· τὸ γράφος. ἢ μάγος ⟨cf. πῶννα⟩

†*πόννος*· μάγος

πόνος (Apoll. lex.)· ἄλγος, ἐνέργημα ὀδύνης

πόντια ῥάκη· σπόγγοι, ἢ τὰ τούτων σπαράγματα

†*ποντινοί*· σπόγγοι [94—95]

πόντος· θάλασσα, πέλαγος [97]

ποντοπόροις· θαλασσοπλόοις

ποντοπόροισι (*B* 771)· πλωταῖς [3000—2]

COD. 38 *κλύδονες* 50 *πολύωπον* 52 *πολυωρία* 54 *πόμφυκα* 60 *πομπεύεται* 73 *πομπαγαγεῖ* 74 *ἀνακράζει* ⟨*πομφολυγοῦται*?⟩ 75 *ἔξοδοι καὶ — φύσημά τι* 76 *κόχλασμα* 88 *πονιῶμεν* 92 *ῥάκκη*

HES. 39 *πολυφλοίσβοιο* (*A* 34 non Archil. fr. 92)· *πολυταράχου, πολυκινήτου* 40 *πολυφόρβου* (*Ξ* 200)· *πολλοὺς τρεφούσης ἢ πολλὴν φορβὴν ἐχούσης* 43 *πολύφρονα* (*ξ* 424)· *σώφρονα, συνετόν, φρόνιμον* 44 *πολύχαλκον* (*γ* 2)· *ἰσχυρόν, στερεόν* 51 *πολυωρήσεις* (Ps. CXXXVII 3)· *φυλάξεις, φροντίδα πολλὴν ποιήσεις* 56 *πόμαλα*· *τρόπον τινά* ⟨*πώ—*⟩ 64 *πομπῆες* (*γ* 325)· *προπομποί, οἱ προπέμποντες, ὁδηγοί* 67 *πομπός*· *ὁδηγός* (*Ω* 182), *προπέμπων* 70 *πομπυσμάτων*· *συρισμάτων* ⟨*ποππ—*⟩ 71 *πομποβόλῳ*· *πέντε ὀβελίσκους* ..... 78 *πονέεσθαι* (*K* 116)· *ἐνεργεῖσθαι. καὶ τὰ ὅμοια* 79 *πονέοντο* (*E* 84)· *ἐνήργουν* 81 *πομφυίζεσθαι*· *αἰσχύνεσθαι* (*πομφολύζεσθαι*· *ἐκχύνεσθαι*?) 87 *πονήσατο* (*I* 348)· *κατειργάσατο* 94 *ποντοβρόχους* (III Macc. VI 4)· *ὑπὸ θαλάσσης βρεχομένους* 95 *ποντόθεν* (*Ξ* 395)· *ἐκ πελάγους* 97 *ποντοπόροιο* (*A* 339)· *θαλασσοφλόου* 3000 *ποντοπόρος* (*μ* 69)· *πέλαγος διαπορευομένη, πελαγοδρόμος* 1 *ποντοικάροιο* (*B* 145)· *τοῦ Ἰκαρίου πελάγους, ὅπερ ὠνομάσθη ἀπὸ Ἰκάρου, τοῦ Δαιδάλου παιδός, πεσόντος εἰς αὐτὸ καὶ ἀποθανόντος* 2 *ποντοκεκλημένοι* (*O* 740)· *περιεχόμενοι ὑπὸ τῆς θαλάσσης*

πόνῳ πονηρός (Ar. Vesp. 466 Lys. 350)· κακίᾳ κακὸν προσέπεσεν, ὡς ἀγαθὰ ἀγαθῷ

πόπανα (Ar. Pl. 660 Eccl. 843)· πλακούντια ἀπὸ ἄρτου

†πόπαρ· πατήρ. καὶ πατρὸς πατήρ

πόποι (α 32)· παπαί. ἐπίφθεγμα σχετλιαστικόν. Ἀπίων δέ φησιν, οἱ (ὅτι?) δαίμονές εἰσι πόποι· καὶ ἔστιν· ὦ δαίμονες

ποπ(π)ύσματα· κολακεύματα

πόρ· πούς. Λάκωνες

πόρδαλις (Apoll. lex.)· ὁ ἄρσην, ἡ δὲ θήλεια πάρδαλις. ὁ μὲν ἀπὸ τοῦ προαλέσθαι· ἡ δὲ ἀπὸ τοῦ παραλέσθαι

Πορδοσελήνη (Aristot. HA. VIII 28)· μεταξὺ Λέσβου καὶ Μυσίας νῆσος

πόρε (Α 72 al.)· παρέσχε

πορεῖν· δοῦναι ⟨1495⟩ [13—15]

πορεύς· πορθμεύς

πορεῦσαι (Plat. Phaed. p. 107 E)· πέμψαι, ἀγαγεῖν

πορεύσατε (cf. Soph. OC. 1476)· ἄγετε

πορθεῖν (Eur. fr. 608)· προνομεύειν, ὀλλύειν, (ἀναλίσκειν)

πορθεῖται·

πόρθησις· ἐρήμωσις, καθαίρεσις, ἁρπαγή

πορθμεύς (Eur. Alc. 254)· κωπηλάτης

πορθμεύ[σ]εσθαι· διαβαίνειν. πλέειν

πορθμῆες· πορθμεῖς (υ 187) καὶ πορθμῆς· πορθμεῖς (Ar. Eccl. 1086). καὶ †ὄνειροι οἱ διαπορεύοντες

πορθμεῖον (Antiph. com. p. 47)· σκαφίδιον διαπεραιοῦν μισθῷ

πορθμός (Aesch. Ag. 307)· στενὸν θαλάσσης ἐν μέσῳ τῆς γῆς. διαπέραμα [27]

†Πορθόμιν· γένος ἐπιφανές

πόρθος· πτόρθος, κλάδος, βλαστός

πορθυγγίς· σπατίλη. τρίβολον

Ποριεῖς· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς

πορίζει· κερδαίνει [33]

πόριμον (Synes. epist. 139)· εὐπόριστον. πορευτόν

πορισμός· μηχάνημα

πόρι†πα· πόρτις. ποριστής

πορίσονται· περιποιήσονται ⟨1860⟩

πορίσω· κατασκευάσω

πόρκας· ἐλάφους [ad 39]

πόρκης (Θ 495 Lesches)· δακτύλιος

πόρκος· κύρτος (Plato Soph. p. 220 C). τινὲς δὲ τὸν ἁλιευτικὸν κύρτον ἀποδιδόασιν

πορνάμεν· πωλεῖν

πορνάμεναι· [ad 43]. πωλούμεναι

πορνοκόπος (Menand. fr. CCCCXLVII)· ἑταιροτρόφος. πόρνος

πόρνῳ (Com. inc.)· παιδὶ ὡραί(ῳ)

πόροι (Soph. Ai. 412)· ποταμοί [47]

πόροις· ὁδοῖς

πόρος· ὁδός, τρίβος. ἢ τὸ τοῦ ποταμοῦ ῥεῦμα. οἱ δὲ τὴν διάβασιν αὐτοῦ. οἱ δὲ τὰς γεφύρας. καὶ ἀφορμή

πόρπαμα (Eur. Rhes. 442)· χλαμύς

πόρπαξ (Soph. Ai. 576)· ἡ λαβὴ τοῦ ὅπλου, [ad 52] ὁ ἀνοχεὺς τῆς ἀσπίδος, εἰς ὃ ὁ πῆχυς ἀνίεται [ad 52]

πόρρω· πόρρωθεν, μακρόθεν

'πορρώξ· ἀπόρροια

πόρρω τέχνης (Ar. Vesp. 192)· ὅμοιον τῷ σφοδρῶς ἐνέχεσθαί τινι

πορσαίνει· κοσμεῖ. θεραπεύει. κατασκευάζει [57]

πορσαίνεσκον· διήγειρον. παρεσκεύαζον

πορσανέων· εὐτρεπίζων [60]

πορσῦναι· παρασκευάσαι. πορίσαι. εὐτρεπίσαι [62]

πορσύνεται (Soph. Phil. 781)· ὁδεύεται

πορσύνουσα (Eur. Andr. 787)· ἐρεθίζουσα

πορσύνων· παρασκευάζων, ἑτοιμάζων. ἐρεθίζων

πορσώτατα· τὰ πόρρω καὶ μακράν

?πόρσω· ἔμπροσθεν, ἢ πόρρωθεν ἐγγίσαι

πορτάζει ⟨—ακίζει⟩· δαμαλίζεται [69]

πορτάκι[ν]ον· μοσχίον [71]

COD. 3003 πονοπονηρὸς (πονωπόνηρος Th. Bergk. Lyr. 1030) — πρὸς ἔπεισεν 4 cf. πέπανα 9 πόρδαλης — προελέσθαι 19 ἀναλίσκειν post 3020 24 πόρθμηες — πόρθμηες 25 πόρθμιον — διαπεροῦν 30 τρύβλιον (cf. σπορθ—) 42 πόρναμεν 44 πορνιο| 45 πόρνυπαι· αἱ ὧραι 50 πόρπαλλα 54 πόρρωξ 55 τὸ 66 πορσύτατα (70 An πυρτάκινον· μόσχειον?) 71 cf. ποδάρκεῖ

HES. 13 πόρε· περιεποίησε, (οὐ) παρέσχε 14 πόρεν οἱ ἐπιεικές (Τ 21)· παρέσχεν αὐτῷ τὸ πρέπον 15 πορεύου (Matth. II 20)· ἄπιθι, ὕπαγε 27 πορθμῷ (δ 671)· διαπεράματι • 33 πορεία· ὁδοιπορία Ad 39 ἢ ταχύ ⟨πρόκα τε δή⟩ Ad 43 κεντούμεναι ⟨περονώμεναι⟩ 47 πόροις (ι 267)· χαρίσαιο Ad 52 πόρπη· ἡ φίβλα. καὶ τῆς χλανίδος ἡ περόνη 57 πορσανέουσα (Γ 411)· ἑτοιμάσα(ου)σα. ἐπιμελησομένη ⟨3060. 3670⟩ 60 πορσάνθουσα (Γ 411)· εὐτρεπίζουσα. στρώννουσα. παρασκευάζουσα ⟨3670⟩ 62 πόρσυνε (γ 403)· διήγειρε ⟨cf. γρόσυνον⟩. παρεσκεύασεν 69 πόρτα· πόρτα, θύρα πόλεως ἢ αὐλῆς οἴκου (porta) 71 πόρτακι (Ρ 4)· μόσχῳ. ἢ δάμαλι

πόρταχος· ὦμος

πόρταξ· ἄρρην βοῦς. τινὲς δάμαλιν, ἄλλοι νεογνόν, οἱ δὲ μόσχον [74]

πόρτις (Ε 162)· δάμαλις, ἡ νέα βοῦς

πορτιφόροι· οἱ αἴροντες τὰ †κόρροια ἐπὶ τῶν ὤμων [77]

πορύνωμεν μᾶζαν (Aeol.)· τῇ χειρὶ προσπιέζωμεν

πορύναν (Aeol.)· μαγίδα

†πορφίτῳ· περόνῃ [81—83]

πορφύρεος θάνατος (Ε 43)· ὁ μέλας. καὶ βαθύς. καὶ ταραχώδης

πορφύρεται· διαλογίζεται

πορφύρῃ (Ξ 16)· μελανίζει. ταράττει. πορφυρίζει

πορφυρίων (Ar. Av. 707)· εἶδος ὀρνέου. καὶ ἰχθῦς. καὶ ὄρνις ποιός

πορφύροντες· κακοτεχνοῦντες

πορφυρώματα· τῶν ταῖς θεαῖς τυθέντων χοίρων τὰ κρέα [90. 91]

(πός· πούς, ὑπὸ Δωριέων) 4515

ποσαχῶς· κατὰ πόσους τρόπους, πολλαχῶς [93. 94]

πόσθη (Ar. Nub. 1017)· τοῦ αἰδοίου τὸ δέρμα

πόσθιον (Ar. Th. 521)· αἰσχρόν. ἀνδρεῖον

πόσθων (Ar. Pac. 1300 Menand. p. 210)· πόσθην τὸ ἀνδρεῖον αἰσχρὸν λέγουσι. πόσθωνας δὲ παρὰ τοῦτο τοὺς παῖδας, τινὲς δὲ τοὺς ψώλωνας, ἄλλοι μωροὺς ἢ παιδαριώδεις [98—3101]

Ποσείδεα· ἑορτὴ Ποσειδῶνι τελουμένη [3. 4]

πόσιος (Λ 469)· πότου

πόσιος (κ 75)· ἀνδρός

πόσις (κ 176 Com. an. CCCXLIX)· πόμα. ἀνήρ. πότος ἢ οἴνου ἢ ὕδατος

ποσότης (Polyb. XVI 12, 10)· ἀριθμός. μέτρον

ποστημόριον· ὀλίγον μέρος [10]

πόστος· ποῖος

ποσῶς καὶ πή· μερικῶς

ποταμηδόν· δίκην ποταμοῦ

ποτανόν (Aesch. Ag. 394)· πτηνόν, πετεινόν

ποτάγχυμες (Aeol.)· προσορμίζομεν

ποταίνιον (Aesch. Prom. 102 al.)· νέον, πρόσφατον. οἱ δὲ σύνεγγυς ⟨ποτάγχιον⟩

ποταμός· ὁ ὠκεανός. καὶ τὸ ὑγρόν. καὶ ὁ σωματοειδὴς θεός. καὶ ἐπὶ τοῦ ἥπατος σημεῖον

ποταμόχωστος· γῆ τις· ἀπὸ τοῦ συμβαίνοντος

πόταρος (Dor.)· γνώριμος

ποτᾶται (Eur. Or. 7)· πέταται

ποτεκλεπτόμαν (Dor.)· προσεπορευόμην

ποτεκχετήρια· τορνευτήρια

πότερον· ὁποῖον ἓν ἐκ τῶν δύο, ἢ ἄρα ποῖον τῶν δύο

ποτερόν· ἓν ἐκ δύο, ἕν

πότερος· ἕτερος [26—28]

ποτήρ (Eur. Alc. 756 Cycl. 151)· μέτρον ποιόν

ποτητύν· τὸ πίνειν

ποτί (Lacon.)· πρὸς τί [32]

Ποτίδαια (Ar. Eqq. 440 Thuc. I 57)· ὄνομα πόλεως

†ποτὶ δέ· πότε δέ [35—38]

ποτὶ δὲ φάναι· ἐκφάναι

ποτιδόρπια· προσσίτια

ποτὶ ἑσπέρᾳ· πρὸς τῇ ἑσπέρᾳ

ποτίκρανον (Theocr. XV 3 p. 298 M)· πρόσκρανον, τὸ προσκεφάλαιον. καὶ τὸ δερμάτινον ὑπηρέσιον, ἐφ᾽ οὗ καθέζονται οἱ ἐρέσσοντες [43. 44]

ποτιρόμενος· ἐρωτῶν (Π 127?). ἢ †μαινόμενος

COD. 79 καγίδα 87 πορφυρεῖον 89 τιθέντων 96 πόσθοιον· αἰτρόν 97 αἰτρὸν — περὶ τοῦτο 3102 ποσειδία 5 πότος 6 ποσίεος 15]εν 16 ποταίνοον 18]οστος 24 πότερον 30 ποτήτυν 33. 34 = 34. 33 33 ποτιδέα 39 πότιδε, φάναι, 42 πόκρανον — ὑπηρέσαιον

HES. 74 πορτικός· στοά ⟨porticus⟩ 77 πορτμίς (Λ 424)· κατὰ τὴν ὀμφαλόν 81 πορφύρει· ταράττεται. φροντίζει. μελανίζει ⟨3086⟩ 82 πόρφυρεν κραδίη (Φ 551)· ἐμερίμνα ἡ καρδία 83 πορφύρεον (Λ 482 al.)· πόρφυρον ⟨rubebant⟩. μέλαν 90 πόρωσι (Π 86)· χαρίσονται. δώσουσιν 91 ποσαπλῶς (Ps. LXII [III] 2)· πολλαχῶς. ἀναριθμήτως 93 ποσάως, μερικῶς ⟨3112⟩ 94 πόδε (Π 422 ζ 199)· ποῖ. ποῦ 98 ποσί (Ε 745)· τοῖς ποσί 99 πόσιας (Ζ 240)· τοὺς ἄνδρας 3100 ποσὶ δατεύνιον (Ψ 121)· ἰσχυρῶς τοῖς ποσὶ περιπατοῦν 1 Ποσειδάων (Λ 400)· Ποσειδῶν 3 Ποσειδήϊον (ζ 266)· τὸ τοῦ Ποσειδῶνος 4 πόσιν (Γ 163)· ἄνδρα 10 πόστον (ω 287)· πόσον 26 ποτή (ε 337)· ποτηνή. πτηνή 27 πότημα (Ierem. LI [XXVIII] 39)· ποτήριον. ἢ ὁ πότος αὐτός 28 πότην (ε 337)· ἰδέαν. οἱ δὲ πτῆσιν 32 ποτὶ γαίῃ (Λ 245)· πρὸς τῇ γῇ 35 ποτιδέγμεναι (Β 137)· προσδεχόμεναι 36 ποτιδέγμενοι (Η 415)· [ ] οἴνῳ δαμασθέντες ⟨πότιδες⟩ 37 ποτιδέγμενος (Κ 123)· προσδεχόμενος ⟨Call. Dian. 147⟩ 38 ποτιδέρκεται (Π 10)· προσβλέπεται 43 ποτιόσσεται (ε 389)· προσδοκᾷ ⟨cf. προ—⟩ 44 ποτὶ πλάδεσσιν (Greg. Naz. C. IV 323 et γ 298)· ἐπὶ ταῖς θαλασσίαις (πέτραις)

ποτὶ φῦλα (inc. epic.)· πρὸς τὰ ἔθνη

ποτὶ χόρτον (inc. epic.)· πρὸς ᾠκοδομημένον τοῖχον [48]

πότμος (Σ 96)· μόρος. ἡ κατασκευή

πότμῳ (Eur. Hipp. 561)· μόρῳ κατασκευαστῷ

πότνα (υ 61)· πότνια, σεβαστή, ἔντιμος. ἡ φίλη. καὶ δέσποινα. καλή ⟨cf. πατνή⟩. †μεσήτρια

ποτνιᾷ· ἱκετεύει, παρακαλεῖ

πότνια γῆ (Hom. epigr. 7, 1)· καλὴ γῆ

ποτνιάδες (Eur. Bacch. 663)· αἱ Βάκχαι. ἀντὶ τοῦ μαινάδες καὶ λυσσάδες, μανίας αἴτιαι

ποτνιάζου· εὔχου, παρακάλει [56]

ποτνιᾶται· ἐπικαλεῖται. δυσωπεῖ. παρακαλεῖ

ποτνιῶμαι· θεοφοροῦμαι. ἐξιλεοῦμαι, παρακαλῶ. δυσφορῶ. μετ' οἰμωγῆς ἱκετεύω [59]

ποτόμφει (Ar. Lys. 206)· προσόζει

πότος· εὐωχία, ἄριστον, δεῖπνον. ἡ αὐτὸ τὸ πιεῖν

(ποτώμεναι [Ar. Av. 830]· διατρίβουσαι, διακινοῦσαι) 4521)

ποτωμένας· διατριβούσας [63. 64]

πούανοι (Lacon.)· κύαμοι ἑφθοί, ὄσπριον

ποῦ κῆχος (cf. Pherecr. p. 343)· πῇ γῆς, εἰς τίνα τόπον. καὶ ποῦ ἄγχι [67. 68]

πουλύπους· τι μέρος τοῦ ἁρματ(ε)ίου τροχοῦ. καὶ τῶν ἀμπέλων

πουλύποδος δίκαν (Alcae. com. p. 832)· ὅτι αὐτὸς τὰς ἑαυτοῦ πλεκτάνας ἐσθίει

ποῦμμα· ἡ τῆς χειρὸς πυγμή

πουνιά†ζειν· παιδικοῖς χρῆσθαι· πούνιον γὰρ ὁ δακτύλιος ⟨3156⟩

ποῦ νύ τοι· ποῦ δή σοι

†πούρδαιν· μαγειρεῖον. Λάκωνες

πουρέακος· κρίκος σιδηροῦς τετρυπημένος, καὶ ἧλον ἔχων ἐν τῷ τρυπήματι στρεφόμενον, ᾧ χρῶνται πρὸς δεσμὸν συῶν. Πουστάκους. ὡς Ἀριστοφάνης φησὶν ἐν ἐξηγήσει Λακωνικῶν [76]

ποῦτριν (Aeol.)· σαπρόν (putrem)

†πουφορούζεται· σικχαίνει [79]

πράγματα· δυσχέρειαι

πραγματεία· σύγγραμμα βίβλου ἢ λόγων

πραγμάτοιν (Eur. Erechth. 364, 9)· πραγμάτων δυϊκῶς

πραγορίτης· οἶνός τις

πραθεῖν (Hesiod. Scut. 240?)· πορθῆσαι. ἐξελεῖν

†πραθενεύεσθαι· θρασύνεσθαι. ἐπαγγέλλεσθαι λόγοις [86. 87]

πραινοῖ (Boeot.)· πρηνίζει. καταστρέφει

πράκες· Ἀρίσταρχος †κλανίαι. ἔλαφοι. ἀπεδόθησαν δὲ φρατρίαι ἀνδρῶν διαβεβλημένων ἐπὶ μοχθηρίᾳ

πρακνόν· μέλανα ⟨1972. 3229⟩

πρακτικόν· ἀνυστικόν

Πράκτιον· πόλις Τροίας

πράκτορες (Aesch. Eum. 320)· ἀπαιτηταί [94]

πράμνη· δίκελλα. ἄμπελος

Πράμνιος οἶνος (Ar. Eqq. 170)· ὁ ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἔστι δὲ ἐγχώμιον οἴνου. καὶ σκληρὸς οἶνος [97]

πρανῆ †κοῖλα

πρανιχθέντα· πεσόντα ἐπὶ στόμα ⟨cf. πρη—⟩

πρανόν· τὸ κατωφερές, πρανές

πρανῶ· ἀκρίδος εἶδος ⟨= πάρνοψ⟩ [3202]

πράξεις· βίοι. ἡ διαθῆκαι

Πραξιδίκη· δαίμονά τινά φασι τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις. διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι καὶ τὰ θύματα ὁμοίως

Πραξιεργίδαι· οἱ τὸ ἕδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες [6]

λ ον ον

COD. 46 φυ 47 κῶρρον 51 φίλημα 60 cf. ὀμφά 61 ἄριστος δεῖπνος m. pr. 64 ἴσω τὸ 65 ποῦαν, οἱ 66 τοῦ ἄγχη 69 πολύπους 70 πολύποδες (cf. πολυ— et πρῆθμα) 72 cf. πυννιάζειν 73 νή 74 μαγείριον (cf. πύρδαλον et πυρδαίσιον) 75 ποῦ ῥέακος, κρίκι — δῆλον ἔχον — στρεφόμενος 77 ποῦριν, σαθρόν 79 συμφέρει 82 πράγματα 84 πράθειν 88 πραῖνοι |ειν |ειν 90 πράκνον (97 e Moerid.) πρανές κ. καὶ πρανὶς 3203. 4. 5 = 5. 3. 4 6 πρᾶξειν, λαβεῖν

HES. 48 πότμον (B 359)· μόρον, θάνατον 56 ποτνιάζειν· τὸ παιδικοῖς χρῆσθαι. πότνιον γὰρ τὸν δακτύλ(ι)ον λέγουσι ⟨πουν—⟩ 59 ποτοῖο (α 149)· ποτοῦ 63 ποτῶνται (B 462)· πέτωνται ⟨cf. πωτ—⟩ 64 ποῦ· ἐν ἴσῳ τῷ οὐδαμῶς (Ierem. VI 14). ἢ ἀντὶ τοῦ ποῦ πότε, ἀλλαχοῦ 67 πολυβότειρα (Γ 89)· πολλοὺς βόσκουσα καὶ τρέφουσα 68 πυλὺν ἐφ' ὑγρήν (K 27)· ἐπὶ πολλὴν θάλασσαν· ὑγρὰν γὰρ αὐτὴν εἶπεν πρὸς ἀντιδιαστολὴν τῆς γῆς ξηρᾶς οὔσης 76 ποῦ τοι τόξον (E 171)· ποῦ σοι ἡ διὰ τόξων ἐμπειρία 79 πρ(.)άγει· ὑπερέχει. ὑπερβάλλει. διαφέρει ⟨προάγει⟩ 86 πραιέναι· ἐλθεῖν ⟨παρι—⟩ 87 πραίκων· κῆρυξ (praeco) 94 πράληξ· ὁ λίαν ἀγροῖκος ⟨προαλής⟩ 97 πρανές· καὶ πρανὴς κατάβασις (Xen. Anab.) 3202 πρᾶος· συνετός. ἥσυχος 6 πράξιν λάβοι (Eur. I. A. 272)

πρᾶξις· ἀπαίτησις. ἄνυσις, ἢ ἔργου ποίησις. ἢ βίος

πραπίδες (Theognid. 656)· φρένες. ἢ ὁ τόπος, ὅπου αἱ φρένες. διάνοιαι [9. 10]

πραπίς (Eur. Bacch. 997)· φρήν, διάνοια

πράσα (Theophr. HPl. IV 7 VI 1)· τὰ βρύα καὶ τὰ φυκία

πρασιαί (η 127?)· αἱ ἐν τοῖς κήποις τετράγωνοι λαχανιαί, οἷον περασιαί, διὰ τὸ ἐπὶ πέρασι τῶν κήπων

πρᾶσις (Aristoph. Hor. fr. II)· ἀγορασία

πρασοκουρίς (Strattid. com. p. 787)· ζῷον χλωρόν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα

πρασόργην· δρέπανον, ᾧ τὰ πράσα κείρουσιν

Πράστιλλος (Eupol. fr. XCII)· πόλις Θρᾳκίας

πρατάνιον μαλλόν ⟨cf. ἀμνόν⟩

†πραταςία· κατευχὴ ἀρχομένης ἀροτριώσεως

πρατήνιον· τὸ †ὕπερον. †Ἀττικοί. καὶ ἡλικία τις προβάτου νέου· ὡς δὲ ἔνιοι τοῦ πρώτου γεννωμένου, οἱ δὲ ἐνιαυσιαίου, ἄλλοι ἀρχομένου συνουσίας

πρατίας (Comici)· ὁ τὰ δημόσια πωλῶν καὶ κηρύσσων ⟨cf. πωληταί⟩

πράττει· μέλλει. ἐργάζεται

πρατά ⟨—ῶ⟩· ἡ νουμηνία

πραϋμενῶς· προθύμως. πράῳ τῷ μένει χρώμενος

πραΰνει· κατασιγαίνει. κατακοιμίζει

πραΰνεται· μαλάσσεται [27]

πράως· ἡμέρως

πρεκνόν· ποικιλόχροον ἔλαφον

πρέμνα (Ar. Lys. 267)· τὰ ἰσχυρὰ στελέχη τῶν καταβλαστημάτων

πρέμνια· τὰ πάχος ἔχοντα ξύλα

πρεμνιάσαι· ἐκριζῶσαι

πρέμνον· στέλεχος, βλαστός. πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον, ἢ τὸ τῆς ἀμπέλου πρὸς τῇ γῇ πρέμνον

πρέμνον ἑστίας (Trag.)· τῆς οἰκίας θεμέλιος

Πρεμνουσία· κρήνη ἐν τῇ Ἀττικῇ

πρέπις (Boeot.)· ὡμοίωσαι

πρέπον· ὅμοιον. μέτριον. συμφέρον. ὡραῖον. ἄριστον

πρέπον· τέρας. Κύπριοι ⟨πρεπτόν⟩

πρεπτά· φαντάσματα, εἰκόνες

πρέσβα (Ε 721 al.)· ἔντιμος, πρεσβυτάτη, σεμνή

πρεσβεῖα (Soph. fr. 19 Df.)· κράτη. καὶ †ἀρχιερεῖα, καὶ ἀρχιὰ καὶ ἱερά ⟨ἀρχικὰ γέρα⟩

†πρέσβει· ἡ τιμὴ μείζων

πρέσβειρα (Ar. Ach. 883 al.)· προτιμητή. ἀρχηγέτις

πρέσβεις (Aesch. Pers. 840)· γέροντες. βασιλεῖς ἄρχοντες, προτιμούμενοι. καὶ οἱ πρεσβευταὶ μεσῖται, ἀπόστολοι [ἢ] ἕνεκεν εἰρήνης

πρεσβεύειν (Soph. A. 720)· προτιμᾶν, ἄρχειν. μεγαλύνειν

πρεσβεύοντες· αἰτοῦντες, παρακαλοῦντες. λέγοντες

πρεσβήϊον (non Θ 289)· πρεσβεῖον, κατὰ τιμήν, τίμημα. ἀπὸ τούτου καὶ οἱ πρεσβῦται ἔντιμοι

πρεσβυγένεια (Herod. VI 51)· παλαιοτέρα γένεσις

πρέσβυς· γέρων. καὶ ὄρνις ὁ τρόχιλος (Ar. HA. IX 11)

πρεσβυτάτη (Φ 143)· ἐντιμοτάτη [51]

πρεσβύτερος Κόδρου· παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν

πρεσβύτης (Xen. Symp. IV 17)· γέρων: ἡλικία τις ⟨πρεσβυτής?⟩

⟨πρέσγυς·⟩ πρέσβυς [ad 54] [55]

πρευμενές· ἵλαον, εὔνουν, πρόθυμον

πρευμενοῦς .... (Aesch. Suppl. 210)· πρᾶον

πρέφας· εἰκασμένος, εἰκασθείς

πρηγορεών (Ar. Av. 1113 Eqq. 374)· τῶν ὀρνέων ὁ πρόλοβος, ὅτι προσυλλέγεται ἐν αὐτοῖς τὰ σιτία

†πρηγορεύων· προαγορευτής, ἢ δημοκόπος

πρῆθμα· πολύποδος κεφαλή. ἔνιοι πλεκτάνη

†πρηΐον· πρότερον

πρηκτῆρα· δραστῆρα. ποτὲ δὲ εὔπορον·
πρηκτῆρά τε ἔργων (Ι 443)·
ἃ δεῖ πράττειν δηλοῦντα

COD. 14 πράσις 15 πρασικουρίς 18 πράταμον 19 cf. γαλάσιον προηρό^{τ}σιον 20 πρατίνιον 24 |ένως 29 ἐλαφρόν 36 πρεπίς, ὁμοίωσις 43 ἀρχηγη 53 ἡλικιώτης 59 |ερέων — πρόλογος

HES. 9 πραπίδεσσι (Α 608)· φρησί, διανοίαις 10 πραπίδων (Ρ 349)· φρενῶν, διανοιῶν ⟨cf. προαπίδων⟩ 27 πραϋπάθειαν (1 Tim. VI 11)· πραΰτητα 51 πρεσβύτερος (Λ 786)· μείζων. φρονιμώτερος Ad 54 [αἰοράνομος 55 πραιτώριον· τόπος, ἔνθα συνάγεται ὁ λαός

πρημάδες καὶ πρῆμναι (Arist. HA. VIII 15)· εἶδος θυννώδους ἰχθύος

†πρήν· ταῦρος [66]

πρηνής (E 58)· ἐπὶ πρόσωπον πεπτωκώς· ἀπὸ τοῦ ἐπὶ τὴν †νεῶν πεπτωκέναι, νέον δὲ ἤδη

πρήνιξε (Euphorio p. 51)· κατέβαλεν

πρηνιχθέντα (cf. Lycophr. 1006)· ἐπὶ πρόσωπον καὶ ἐπὶ στόμα πεσόντα [70. 71]

πρῆξις (Ω 524 ?)· ἄνυσις

πρηροσία· θυσία Ἀθήνησι (3219)

πρῆσαι· φλέξαι, φυσῆσαι, ἐμπρῆσαι·

..... πυρὸς δηΐοιο θύρετρα (B 415)

καί·

δάκρυ' ἀναπρήσας (I 433)

ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς τοὺς πεφυσημένους πεπρημένους φαμέν

πρῆσεν· ἔκλαεν. ἐφύσησεν (A 481) ?)· ἐκόλπωσεν. ἐνέπρησεν, ἔφλεξε

πρηστήρ (Hes. Theog. 846)· σφοδρὸς ἄνεμος. καὶ ὄφεώς τι εἶδος. καὶ τὰς ἐκ πλαγίου τοῦ τραχήλου ἡμῶν φλέβας πρηστῆράς (Eur. fr. 388) φασιν. ἢ πῦρ ἀπὸ τοῦ οὐρανοῦ (Herod. VII 42)

πρητῆνας (Ar. Byz.)· τοὺς ἐνιαυσίους ἄρνας

πρηών· τὸ ὑπερέχον

πριάμενος (Demosth. 1369, 20)· ἀγοράσας, ὠνησάμενος [ad 79]

πριαμωθήσομαι· ξυρήσομαι. ἐπειδὴ τὸ τραγικὸν τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστίν (Comic.) [81]

(......)· ἀγοράσειεν

πρίεται (Menand. EM. 688, 12)· φυσ(ι)οῦται

Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως (Bergk. Lyr. p. 1047)· Ἑλλησποντιακῆς. τὸν Πρίαπον τὸν Διονύσου καὶ Περκώτην φασὶν οἰκίσαι [84—86]

πρὶν ἐγκύρσαι (δύᾳ Bacchyl. fr. 3)· πρὶν πλησιάσαι τῆς κακοπαθείας [88. 89]

πρινοκόπος· κοπῶν

πρίονας· χερῶν τοὺς δεσμούς

†πρίοπες· τὰ ὑγιῆ ἔχοντα [93]

πρισμοῖς· ταῖς βιαίοις κατοχαῖς

πρίστης· ῥίνη. πρίων

πρίω (Ar. Ach. 34)· ἀγόρασον

πρίων (Ar. Ach. 36)· ἀγοράζων

πριώμασι· πρίσμασι

πρό· τό τε σύνηθες·

καρπαλίμως πρὸ νεῶν ἐχέμεν (I 708)

καὶ ἀντὶ τοῦ ἀπό·

ὄφου (τ') ἄσαιμι προταμών (I 485)

προάγεσθαι· ἐπεξεργάζεσθαι [3301. 2]

(προαγήλῃ· προτιμήσῃ) cf. 3497

προάγομαι· προέρχομαι

προάγομεν· προφέρομεν, προτρέπομεν

προαγορεύσας· προειπών, προφητεύσας, προξενήσας (3302)

προαγόρευσις· προφητεία [7]

προαγωγός (Ar. Th. 340)· διδάσκαλος κακῶν. καὶ μαστροπός. μόνος. μαυλιστής. καὶ ἡ ἐπ' αἰσχροῖς ἐπὶ τὸ πορνεῦσαι προάγουσά τινας

προαθύροντες· προσπαίζοντες

προαιρεῖται· προκέκληται. προτιμᾶται

προαίρεσις· ἐπιλογὴ καλοῦ ἢ κακοῦ

προακτικόν· προβαῖνον

προαλεῖ (Φ 262)· καταφερεῖ, καταβατῷ

προαλεστάτην· προπετεστάτην, προχειροτάτην (cf. 3520. 3523) [15]

προαμείψασθαι (cf. Plat. Legg. 921 C)· προαλλάξασθαι. παρελθεῖν

προαμεῦσαι· ὁμοίως

προαμευτής· ἐργάτης προηγούμενος

προαναθρήσας· προϊδών (προ—)

προαναθρούσης· προαναβλεπούσης

προαναθρώσκειν· προπηδᾶν

προαναχρούεται· ἀναχαιτίζει

(προανάρρησις· προανακήρυξις, πρόρρησις, προαγόρευσις) cf. ἀνάρρησις

προανάσχοι· προανεκτείνει(ε)

†προαπίδων· φρενῶν, διανοιῶν (pro πρα-)

προαρτᾷ· προαρμόζει, προτείνει

προασπιστής· πρόμαχος, βοηθός

COD. 64 θοινώδους 68 πρήνιζε, κατέλαβεν 69 cf. πραν— 78 πρῆον 79 πρήαμος 80 πρημευθήσομαι 83 περικότης — οἰκῆσαι (δ) 95 ῥίνων 3308 κακός καὶ ἡ ... τινάς] post 5 9 προσα[? 21 προπαί

HES. 66 πρηνέας (Z 307)· ἐπὶ πρόσωπον 70 πρῆξαι (A 562)· πρᾶξαι 71 πρῆξαι δ' ἔμπης (A 562)· πρᾶξαι δ' ὅμως Ad 79 καὶ ὄνομα κύριον (Πρίαμος) 81 πρίατο (ξ 115) 84 πριμικήριος· ὁ πρῶτος τῆς τυχούσης τάξεως 85 πριμιλιγίων· τιμίων 86 πρίν· πρότερον 88 πρίν μιν (A 29)· πρὶν αὐτόν, ἢ αὐτήν 89 πρινής (E 58)· ἐπὶ πρόσωπον πεσών 93 πριουάτον· τύπος ἐργαστηρίου 3301 προαγαγών· ..... 2 προαγ†εύων· προξενῶν (3305) 7 προάγων· ἀρχόμενος 15 προαλής (Siracid. XXX 8)· προπετής, πρόχειρος

[ad 27] προάστειον (Thuc. II 34)· πρὸ τῆς πόλεως

προαύλια (Plat. Cratyl. 417 E)· τὰ προαυλήματα [ad 28]

προβαλεῖ· ἐρωτήσει

προβαλεῖν ἄρνα· πόλεμον ἐπαγγεῖλαι

μροβαλλούς· ἀσπίδας

προβαλοίμην (Τ 218)· ὑπερβαλοίμην

προβαλοῦ· ἐρώτησον [34]

προβάς (cf. Soph. A. 853)· ὑπερβάς

πρόβασι· βοσκήμασι [37]

πρόβατα (Hom.)· τὰ τετράποδα. ἀπὸ τοῦ πρὸ τῆς βάσεως πρόβασιν ἔχειν ἑτέραν τῶν ἔμπροσθεν ποδῶν πρὸς τὰ ὀπίσθια

πρόβατα πεδι(α)κά· τὰ ἐπὶ νομὴν ἐκπεμπόμενα ⟨1197⟩

προβατήματα (Lacon.)· πρόβατα

προβατοπώλης (Ar. Eqq. 132)· οὕτω κωμῳδεῖται Λυσικλῆς προβατοκάπηλος γήμας Ἀσπασίαν τὴν πόρνην [42. 43]

προβιβάζεται· προκόπτει [45]

προβιβάσαντα· προάξαντα

προβιβασθείς· προαχθείς [ad 47]

προβιβάσθων· προβαίνων [49]

πρόβλημα (Eur. fr. 534, 2)· πρόλογος [51]

προβλῆτας (Μ 259)· τὰς ἔξω προβεβλημένας τοῦ τείχους

στήλας τε προβλῆτας ἐμόχλεον

προβλώσκειν (φ 239)· προμολίσκειν. προέρχεσθαι. προπορεύεσθαι

προβόλιον (Xen. Cyn. X 12)· σιβύνη, ἔχουσα μετὰ τὴν ἀκμὴν προβολάς. ἢ σπυρίς

πρόβολοι· λίθοι (μ 251 ?)

πρόβολος· † πρόμουλος. πρόμαχος. προνοητής. κυβερνήτης: ἱερεύς ⟨πρόπολος⟩. [ad 56] καὶ ὁ εἰς τὴν θάλασσαν προβεβλημένος λίθος [ad 56] [57. 58]

†πρόβονεν· ἐπέρανεν

προβοσκίς (Polyb. III 46, 12)· τὸ ἐκτεταμένον καὶ προβεβλημένον τῆς ὄψεως τοῦ ἐλέφαντος

πρόβουλος· ἔξαρχος τοῦ βουλευτηρίου. ἢ ὁ προσκεπτόμενος

προβῶντες (Cratin. fr. V)· [ad 62] προβαίνοντες [63]

προγέν(ε)ιος (Theocr. III 8)· εὐγέν(ε)ιος

προγενέσθην· παραγενέσθην [66]

προγενής (cf. Soph. A. 938)· ὁ προγεννώμενος

προγένοιντο (Call. Dian. 178)· παραγένοιντο

†προγονεῦσαι· προελθεῖν

προγ†ωνίαν· τῶν ἠπορημένων ἡ λέξις. ἔστι δὲ ὑφασμάτιον ποικίλον, ὃ ἐπικαλυψάμενος ὁ μάγειρος θύει, ὡς ἐν Δαμασκῷ ⟨cf. προτόνιον⟩

πρόγονοι· οἱ πρωτόγονοι ἄρνες, οἱ δὲ μετ' αὐτοὺς μέτασ(σ)αι, ἔρσαι ἁπαλοὶ καὶ τῷ ἔαρι γινόμενοι·

ἔρχατο, χωρὶς (.....) δὲ μέτασ(σ)αι,
χωρὶς δ' αὖθ' ἕρσαι (ι 221)

πρόγονος (Eur. Ion. 267)· πρόπαππος. προπάτωρ. συγγενής. ἢ πρεσβύτατος ἀνήρ

προγόνων· πατέρων

προγράμματα (Dem. 772, 15)· ἐκθέματα

προδανίς· πρότερον

προδέδαεν· προμεμάθηκεν [77]

προδέξαντες (Herod. I 60)· προδείξαντες

πρόδηλος (Eur. Or. 187)· προφανής

προδιαλαβεῖν· ......

προδιασύρας· παραβὰς τὰς συνθήκας

προδικεῖν (Lysias)· ἐπιτροπεύειν

πρόδικος (Xen. Hell. IV 2, 8)· συνήγορος

προδοκάζων· παρατηρῶν, ἐνεδρεύων

προδοκῇσι (Δ 107)· προενέδραις, προόδοις

πρόδομος· προστάς, πρόστωον

προδόμῳ (Ι 469)· προστάδι, προστόῳ

πρόδοσιν· †προδομάτιον

πρόδρομα· τὰ ἐν τῷ ἄξονι ξύλα. ἢ τὰ προακμάζοντα σῦκα (Theophr. Ath. 77 C)

προδωμάτιον· τὸ πρὸ τοῦ κοιτῶνος στοίδιον

COD. 28 .ροαύρια, τὰ πρὸ αὐτῶν λήμματα 29 —βάλλει 30 προβάλλειν, τὸ ἐπ| 34 προβάλους, ἀσπίς 31. 2. 3. 4 = 34. 33. 31. 32 52 ἐμόχλευον 56 cf. πρόμου 3590 60 προβοσκές 68 προεγένοντο, παραγένοντο 85 πρὸς ὁδοῖς 86 πρὸς τάς (88 πρόδομά τι ?) 90 τὸ ἴδιον

HES. Ad 27 [προάστεων καὶ] Ad 28 ὥσπερ προάμπουλα ⟨barbare pro προαμβολάς⟩ τὰ προκιθαρίσματα 34 προβαλλομένοις (Prov. XXII 21)· ἐρωτῶσιν 37 πρόβασις (β 75)· ἡ τῶν βοσκημάτων κτῆσις 42 προβέβηκας (Ζ 125)· ἀριστεύεις. προκόπτεις 43 προβέβουλα (Α 113)· προκέκρικα, προέκρινα 45 προβιβάς (Ν 18)· προβαίνων Ad 47 [πραχθείς] 49 προβιβάσις· πρ(ο)άξεις 51 προβλήματι (Β 396)· ἐξέχοντι Ad 56 καὶ τὸ τῶν σιτίων δοχεῖον ⟨προλοβός⟩ — τῇ πέτρᾳ. οἱ δὲ ῥάβδος (μ 251) 57 προβόλων (Greg. Naz. Or. III p. 106)· λίθων 58 προβολή· ἐξοχή Ad 62 προφωνοῦντες. ἐγκελευόμενοι (Μ 277) 63 πρὸ γὰρ ἧκε (Α 195)· προέπεμψε γάρ 66 προγενέστερος (Β 555)· πρεσβύτερος 77 πρὸ δ' ἐνῆκε (Α 208)· προέπεμψε δὲ (με)

προεγκεῖσθαι· προϋπάρχειν

προεδρία (Ar. Eqq. 579)· προκάθισις. προτίμησις

πρόεδρος (Thuc. III 25)· ἀρχηγὸς πολιτείας [94—96]

προέθεσαν· προεθυμήθησαν

προεθέσπισαν· προεφήτευσαν [99—3402]

προείλετο· οὐ προείλατο

προείληπται· πρόληψιν ἔχει, ὑπονενόηται

προειλόμην· προέκρινα

προείλου· οὐ προείλω [8. 9]

προεισπεπ[τ]αικότες· προεισελθόντες

πρόειται· παραδέδοται [11]

προέλευσις· τὸ προελθεῖν

προέλοιτο· προτιμήσειε [14. 15]

προελόμενος· ἐπιλεξάμενος

προέμβολος· μέρος τι τῆς νεώς [18. 19]

προέμενος (Com. inc. CCLXXXII Plat. Legg. 780 A)· [ad 20] προαφείς, ἐκδιδούς

†προεννέπειν· προαγορεύειν ⟨3732⟩

προέντες· προδόντες [23]

προεξαναστῆσαι· πρὸ τοῦ καθήκοντος †ποιῆσαι ⟨κινῆσαι?⟩

†προεργῆσαι· προίσται [26. 27]

προερύσαι· προελκύσαι [29]

προερχόμενος· ἐξερχόμενος, προβαίνων [31]

προέσθαι (Thuc. I 44 al.)· προδοῦναι ⟨3746⟩

πρόεσθε· παρατείνετε

προεστηκός· ......

προετικός (Xen. Mem. III 1, 6)· χαριστικός ⟨3411⟩

προετύπου· προεδήλου [37]

προέφηνε (Soph. Tr. 324?)· προέδειξε

προέχει (Herod. I 32)· ὑπερέχει

προεχεῖς· [ad 40] κραταιοί [41]

.......· πλέον κρατοῦνται [43—45]

προηγητής (Eur. fr. 813, 2 Soph. A. 990)· ὁ προηγούμενος τοῦ ζεύγους (ἐν τοῖς γάμοις). καὶ ὁ χειραγωγὸς τοῦ τυφλοῦ

προηγμένον· προαχθέντα

προηγόρησαν· προεῖπον

προήει (Dem. 402, 23)· [ad 49] προήρχετο [50]

προήκαμεν· ἀφήκαμεν, παρελείπομεν

προήκατο· ἀπέλυσε. προέδωκε [ad 52] [53]

προήκει· ἐξέχει. προβαίνει

προήκων (Ar. Nubb. 513)· προβεβηκώς

προῆκεν· ἐξῆλθε, προῆλθεν

προῄρημαι· θέλω

προῃρημένοι· προθυμηθέντες [59]

προηρόσια (Hyperides)· τὰ πρὸ τοῦ ἀρότου θύματα. καὶ ὁ Δῆμος ⟨Κλείδημος?⟩ δὲ αὐτὰ προαρκτούρια καλεῖ

προήρτηται· κρέμαται ⟨προση— Theophr. V 4, 2⟩

προήσει· προδώσει

προήσομαι· προδώσω. [ad 63] προνοήσομαι [ad 63]

πρόηται· προδώσει ⟨3186⟩ [65]

προθέει (Ion. fr. 45)· προτρέχει

προθέλυμνον (Ar. Pac. 1210)· αὐτόρ(ρ)ιζον

προθελύμνους· προρ(ρ)ίζους, ἀπὸ ῥίζης ἀνασπᾶν ἄλλας ἐπ' ἄλλαις·

προθελύμνους ἕλκετο χαίτας (Κ 15)

καὶ σάκος τετραθέλυμνον (Ο 479) τὸ θέσεις τέσσαρας ἔχον, τετράπτυχον [69]

προθέντα (cf. Soph. Ai. 1303)· προβαλλόμενον. ἐπαγγειλάμενον

COD. 92 προκάθησις 93 ἀρχή 3406 οὐ προείλου 30 διερχ| 33 προέσθαι, παραγίνεται 60 ἀρότρου (cf. πρηρόσια, πρατασία, γαλάσιον) 61 κρέμεται 67 |ιμνον 69 cf. 3626

HES. 94 προέδωκεν (Rom. XI 35)· προεχώρησεν 95 προέηκε (P 545)· προέπεμψεν 96 πρὸ ἔθεν (Ε 96)· πρὸ αὐτοῦ 99 προεθυμήθησαν (I Paral. XXIX 6)· μετὰ προαιρέσεως προσήνεγκαν 3400 προειάψαι· προπέμψαι (Aesch. Sept. 322) 1 προειδόμενοι· προγνόντες 2 προείλατο (Deuter. VII 6)· ἐπελέξατο, ἠθέλησεν 8 πρόειμε· πλησίον γείτων ⟨προσήμε(νος)⟩ 9 προείου· καταντίου ⟨προσθίου⟩ 11 προε[κ]τικός ⟨q. v.⟩· χαριστικός 14 (προελόμενος·) προθέμενος ⟨Demosth. Moerid. 306⟩ 15 προελόμενοι· ὁμοίως 18 πρόεμε· προέπεμψα ⟨ΠΡΟΛΙΛΛΛΙ h. e. ΠΡΟΙΛΛΛ⟩ 19 πρόεμεν (κ 155)· προέπεμψεν Ad 20 προδώσας 23 προενώπια· ἔμπροσθεν ⟨πρὸς ἐν—⟩ 26 προέρεσαν (Α 435)· προήλασαν 27 προέρευσεν (Α 308)· καθείλκυσεν 29 προέρυσαν (ο 495)· προέλυσαν 31 πρόες (Α 127)· πρόπεμψον 37 προέτυψαν (v. l. Ν 136)· προεχώρησαν ⟨cf. προϋ—⟩ Ad 40 σπουδαῖοι ⟨προσεχεῖς⟩ 41 προεχόμεθα (Rom. III 9)· προβαλλόμεθα 43 προεφιᾷ· προσαγορεύει ⟨προσεφιά —σις⟩ 44 πρόῃ (Prov. V 9)· προβαλῇ 45 προηγεῖται (Prov. XVII 14)· προοδηγεῖ, προπέμπει Ad 49 προέπεμπε (Α 326) 50 προῆκε (P 545)· προέπεμψεν Ad 52 προσηνέγκατο ⟨προσήκατο⟩ 53 προήκεα (μ 205)· κατὰ τὸ ἔμπροσθεν προηκονημένα 59 προῃρήσαντες· θελήσαντες ⟨προαιρ—⟩ Ad 63 προδίδομαι προφέρω ⟨h. e. προαιροῦμαι· προφέρω⟩ 65 προήχθη (Prov. VI 8)· προετιμήθη. προετράπη 69 προθεμενισάμενος· περιπτυξάμενος ⟨προσστερνισάμενος⟩

προθεώμενος· προορῶν [72]
προθεσμία· καιρός, ὅρισις, διορία, ὅρισμα
προθεσπίζοντα· προστάττοντα. ἢ προμαντευόμενον
προθεσπίζων (Hipponax)· προφητεύων
προθέων· προτρέχων [77]
πρόθημα· †δόμα, ἢ ἅτι πρόσθημα καὶ προσθήκη. ἢ †πλεκταμένη [79]
προθυμία (Soph. OT. 838)· χαρά [81. 82]
προϊάλλειν· προπέμπειν. προτιθέναι [84]
(προϊάψαι [Aesch. Sept. 322]· προπέμψαι) 3400
προΐαψεν (Α 3)· προέπεμψεν. προδιέφθειρεν. δηλοῖ δὲ διὰ τῆς λέξεως τὴν μετ' ὀδύνης αὐτῶν ἀπώλειαν
(προϊδόμενοι· προγνόντες) 3401 [86]
προϊείς· προπέμπων
προΐεμαι· προδίδομαι
προϊεμένη· προβαλλομένη
προϊέμενοι· ἀπολύοντες. παραχωροῦντες. ἀπορρίπτοντες
προϊ(ε)μένου· προδόντος
προϊέναι· προπέμπειν [93—95]
προϊξήσαντες· προσκομίσαντες ⟨3712. 3803⟩
προΐηλε (Θ 365)· [ad 97] ἐπεξέτεινεν (Mosch. Europ. 21)
†προΐθες· προφανῶς. προβεβηκώς
προῖκα (Plat. Civ. 346 E)· δωρεάν, φερνήν. πᾶν γὰρ δῶρον προίξ
προικός· πονηρός. οἱ δὲ μωρός [ad 3500]
προϊκέσθαι (Ar. Eqq. 761)· ἐφικέσθαι
προΐκτης (ρ 449)· πτωχός, προσαιτητής ⟨—αίτης⟩ [3—9]
προΐστορες (Aesch. Eum.)· μαρτυροῦντες
προΐσχεται· προβάλλεται ⟨cf. προσ—⟩
προϊσχόμενος (Thuc. IV 87)· προβαλλόμενος
προϊσχομένου· προτείνοντος χεῖρα. δίκαιον προβάλλοντος
προΐσχονται· προβάλλονται
προΐσχοντο (Thuc. III 68)· ἔδοξαν
Προιτίδες· †χάριτες
προϊχνεύει· θεραπεύει
†προϊῶν· παρών
πρόκα (Herod. I 111)· εὐθύς, ἐξαίφνης [ad 19] [20]
προκαλεῖσθαι (Plat. Euthyr. p. 5 A)· ποτὲ μὲν ἐπὶ τοῦ ἀλαζονικοῦ, εἰς ἅμιλλαν ἀρετῆς καλεῖσθαί τινα· ποτὲ δὲ ἐπὶ τοῦ ἀγομένου καὶ προτρεπομένου
προκαλεῖται (Sappho Ath. 599 D)· καλεῖ, προτρέπει [23]
πρόκας (ρ 295)· ἐλάφους
προκαταβολή· ἐνθήκη
(προκαταγνούς· πρὶν καταπτύσας) 3815
προκαταθήγεσθαι· προακονᾶσθαι
προκαταθήσεσθαι δεῖ· προκομίσασθαι δεῖ [28. 29]
πρόκειται (Xen. ΚΠ II 3, 2)· παράκειται
προκέοιτο (Jones)· προκείμενος εἴη
προκεχηνότες· πρὸς τὰ ἄνω βλέποντες
προκεχειρισμένον (Plat. Legg. 643 A)· προβεβλημένον. ἡτ(ο)ιμασμένον
προκιθώνιον (Iones)· τὸ πρόρινον
προκλήδην· †προκελεῦσαι [36]
πρόκλητος· πρόθυμος, ἀπὸ τοῦ κληθῆναι
Προκλόνιον· τόπος Θεσσαλίας
πρόκλυτα (Υ 204)· τὰ προειρημένα, προηκουσμένα
πρόκνις· εἶδος ἰσχάδων (Ath. 653 B)
προκόλπιον· τὸ πρὸ τοῦ κόλπου, ἢ πρὸ τοῦ σκοποῦ
προκομίδδεν· προκομίζειν [43]
πρόκον· ἠλίθιον ⟨3500⟩

COD. ⟨3500 cf. βροχός πρόκον βρυκοί πρόκοος broccus⟩ 1 ἐπικεσθαι ⟨16 χορίτιδες?⟩ 19 cf. καὶ πρόκα τε δή et gl. 3039 δρόσος 24 cf. πόρκας πράκες πέχαρι προύκας 32 κάτω 34 προκιόνιον (intercus) 35 προκελήδης] post 30. Cf. προσκλήδην 37 πρὸ 39 προκλητά ⟨3528⟩ 42 |ίδην |ζει

HES. 72 πρόθεσις (gl. Rom. IX 11)· προαίρεσις. προάπλωσις 77 προθήβαι (θ 362)· ἄρτιο ⟨sic⟩, ἀκμάζοντες 79 προθορών (Ξ 363)· προπηδήσας 81 προθύμως (II Petr. V 3)· ἱλαρῶς 82 πρόϊαι· ἄπιοι, αἱ πρῶται γινόμεναι ⟨πρῷαι⟩ 84 προΐαλλεν (Θ 365)· προέπεμψεν 86 προΐκται· προδίδωσι ⟨3464⟩ 93 προΐενται· προάγονται ⟨3799⟩ 94 προΐεσται· προσποιεῖται. προσέρχεται ⟨προσίεται⟩ 95 πρόϊζα· πρῴην ⟨πρωϊζά⟩ Ad 97 προετιμήθη. ⟨cf. προαγήλῃ⟩ καί Ad 3500 πτωχός (ρ 412, cf. 3502) 3 προΐ με· προδώσεις με 4 πρόϊμον (Osee IX 10)· σῦκον προακμάζον ⟨cf. πρόδρομα⟩ 5 προΐομαι ⟨—εμαι⟩· παρέρχομαι 6 προϊόντες ⟨προέντες⟩· προδόντες 7 προίρης· πρώρας 8 προϊσμένη· προβαλλομένη ⟨3511⟩ 9 προΐσταται· ἐπιπολάζει ⟨3795⟩ Ad 19 δρόσου ⟨πρῶκα⟩ 20 προκαδέστερον· προυργιέσ(αι)τερον ⟨προαλέστ—⟩ 23 προ[κ]αλέστερον· ἑτοιμότερον 28 πρόκαυτα (Υ 204)· προειρημένα, προηκουσμένα ⟨3539⟩ 29 προκείμενα (Ι 91)· παρακείμενα 36 πρόκλησις· κλῆσις ἐπὶ δίκης ⟨προσκ—⟩ 43 προκομίων· προλειμάτων ⟨privilegiorum cf. 3601⟩

προκόνδυλα· τὰ μετὰ τοὺς κονδύλους ἐν ταῖς χερσί

Προκόν(ν)ησος (Herod. VI 33)· πόλις, καὶ νῆσος παρὰ Κύζικον

†πρόκοος· [ad 47] πονηρός (3500)

προκοπῆς· αὐξήσεως

προκοττίς· ἡ χαίτη

πρόκοττα· εἶδος κουρᾶς, ἢ κεφαλῆς τρίχωμα· κοττὶς γὰρ ἡ κεφαλή. καὶ οἱ ἀλεκτρυόνες κοττοὶ διὰ τὸν ἐπὶ τῇ κεφαλῇ λόφον

πρόκρισις· προτίμησις

πρόκριτον· ἐκλεκτόν, ἐκλελεγμένον [53]

πρόκροσσαι (Herod. IV 152 VII 188)· ἐπάλληλοι, ἄλλαι ἐπ' ἄλλας. καὶ ναῦς αἱ κατ' ἀλλήλων νενεωλκημέναι. ὅτι οἱ κροσσοὶ τὰ ἄκρα· ἢ ἀντικέφαλοι

προκρόσσας (Ξ 35)· ἄλλας ἐπ' ἄλλαις, κλιμακηδόν (3829)

πρόκροσσον· οὐ †καθαροῦν, κλιμακωτόν

ε

†προκυκλίς· ἡ πμνήστρια

προκυλινδούμενος· προκυλιόμενος (3642)

†πρόκυμον· πρόθυμον

†προκυνεῖν· τὸ ἐγχωρεῖν

πρόκωνα (Hippocr. 638, 5)· τὰ ἐκ τῶν μὴ πεφρυγμένων κριθῶν ἄλφιτα

πρόληψις· πρόγνωσις

προλόβιον· τὸ προέχον τοῦ λοβοῦ [64]

προλόγια· θυσία πρὸ τῶν καρπῶν τελουμένη, ὑπὸ Λακώνων

†πρόλογος· ὁ περιτιθέμενος τοῖς προελθοῦσιν ἐπὶ δεῖπνον. καὶ ὁ γαργαρεὼν τῶν ὀρνίθων, ὃν οἱ παλαιοὶ πρηγορεῶν ⟨πρόλοβος⟩ [67]

προμάδδας (Lacon.)· μάζας προμεμαγμένας

πρόμαλος (Eupolis. Hippocr. 667, 47)· μυρίκη. ἢ ἄγνος

†προμαλχατεύειν· μετατροπεύειν

προμαχεών (Herod. I 164)· πύργος

πρόμαχος· [ad 72] μᾶζα ἑβδομαίῳ παιδίῳ γινομένη

[ad 73] .... προαγωγοί

προμένειοι· ῥοιαί τινες (ὑπὸ Κρητῶν λέγονται)

προμήθεια· πρόνοια, ἐπιμέλεια

προμηθέστεροι· προνοητικώτεροι

Προμηθεύς· †ἐπικινδύνους ἐπισφαλῶς ἔχων. καὶ ὄνομα

προμηθής (Soph. El. 1078 Thuc. III 82)· σώφρων

προμηθούμενος (Plat. Prot. 361 D)· προνοούμενος, προβλέπων

προμήτωρ· πατὴρ μητρός [81]

προμνηστῖναι (λ 232)· ἐπὶ μίαν. ἀπὸ τοῦ προσμένειν

προμνήστρια· ἡ συνιστῶσα ἀλλήλοις τοὺς γαμοῦντας. (προξενοῦσα νυμφίους ἢ νύμφας) 3841

προμνώμενοι· προμνηστευόμενοι

πρόμοις· προμάχοις, προαγωνισταῖς, προστάταις, προηγουμένοις

πρόμολε (Σ 392)· πρόελθε

†προμόλη· ὁδός [ad 87] [88]

πρόμος (Η 75)· πρόμαχος. ἀντίδικος [89. 90]

πρόμοχθοι· τὰ προβεβλημένα τῶν τοίχων

προμυλαία· θεὸς ἱδρυμένη ἐν τοῖς μυλῶσι

προμυχθίζει χαλκοδεσμῶν ὁπλῶν (Aesch. Sept. 160)· ἀντὶ τοῦ πρόσω χωρεῖ

Πρόνεως· Ποσειδῶν ⟨Προναῖος?⟩

Προναίας (Aesch. Eum. 21 Call. fr. CCXX)· Ἀθηνᾶς τέμενος ἐν Δελφοῖς [96]

πρόνοια (Soph. OT. 978)· προενθύμησις, ἐπιμέλεια, φροντίς

προνομαία· προβοσκίς [99]

προνυμία· τὰ ὀφειλόμενα τῷ ἀξιώματι. ἢ ἡ ἐκ τῶν νόμων ἐξουσία [ad 3600]

COD. 45 cf. μετακόνδυλοι 46 κύζηκον 49 προκοπίς 50 κοττὶ γάρ — τὴν κεφαλὴν λ. 52 προκριτόν 54 νενεολ| 61 πεφυραμένων 66 γρηγορεών (θ) 68 προμάλας — προμεματτομένας 74 προμένεοι (schol. Nic. Al. 490) 78 προμη; cf. τὸ προ— 81 ἐπιμνείαν 91 προμαχέοι 92 προμυλέα — μύλωσι 93 προσχωρίου 98 προνομέα, προβόσκησις 3600 προνόμια

HES. Ad 47 [πόλις. ἢ] 53 Προκρίς (λ 320)· θυγάτηρ Ἐρεχθέως 64 προλογίζει· προλέγει 67 πρόμαχοι (Π 588 Ρ 316)· βασιλεῖς. καὶ τὰ τείχη. προμαχῶνες δὲ οἱ ἐπὶ τῶν τειχῶν πρόβολοι Ad 72 ὑπὸ Κρητῶν Ad 73 προμέν, λέγοντες 81 προμνηστῖνα(ι λ 232)· ἑτέρα πρὸ τῆς ἑτέρας. οἱ δὲ ἑξῆς καὶ ἐκ διαστημάτων ἀναμένουσαι ἀλλήλα[ι]ς Ad 87 προσδόκησις 88 προμόνη· ⟨L. προνομή· προβοσκίς⟩ 89 προμύνης· προπετὴς καὶ προ[σ]πεσών. οἱ δὲ πρόθυμος. προ[σ]νενευκώς ⟨ad προνωπής⟩ 90 πρόμου..· πρόβουλος ⟨3356⟩ 96 προνοεῖ (I Tim. V 8)· ἐπιμελεῖται 99 προνομεύει ⟨recens⟩· †θεσπίζει. ἁρπάζει, κατασύρει (Moer. 304), αἰχμαλωτεύει Ad 3600 ἡ διαρπαγή ⟨προνομεία⟩

προνομιῶν· προλημμάτων ⟨3543⟩ [2]

προνωπής (Eur. Alc. 85)· προτεταμένος. προνενευκώς. οἱ δὲ προπετής, ἕτοιμος, πρόχειρος

προνώπια (Eur. Bacch. 639)· τὰ ἔμπροσθεν τῶν πυλῶν, καθάπερ ἐνώπια τὰ ἔνδον, ὅπου αἱ εἰκόνες τίθενται

προνώπιον (Eur. Hipp. 374)· τὸ προκείμενον, οἷον πρόθυρον

προξενεῖ· μαρτυρεῖ (non Soph. Tr. 726)

πρόξενοι· οἱ προστάται, καὶ ξενίας ἐπιμελούμενοι, ἤγουν τοὺς ξένους ὑποδεχόμενοι

πρόξενος· φίλος, ὁ ἐν τῇ ἑαυτοῦ ξένων προϊστάμενος

προοικίαι· παρὰ Κλειτοδήμῳ †ἐν ἴσῳ τῷ δήμῳ

προοίμιον· πρόλογος, ἀρχὴ παντὸς λόγου

πρόοιντο (Dem. 582, 26)· παραδώσουσι, δώσουσιν

προολεῖ· †καταλειπεῖ [13. 14]

πρόουρον· τὸ ἀπόσταγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ [16]

προπαιδεύματα· προμαθήματα

†προπαίσω· προαγωγός, μαστροπός. καὶ μάντις. μαστρόπευσις

†προπαλῶς· δαψιλῶς [20]

πρόπας (Eur. Phoen. 627)· ἅπας

πρόπαστον· τὸν πρὸ τῆς παστάδος τόπον

προπάτωρ (Eur. Or. 1441)· πατρὸς πατήρ

προπεπηλάκισται (Demosth.)· καθύβρισται

προπέποται (Dem. 31, 24)· προδέδοται [26]

προπέτηλον· πεποίηται ἀπὸ τοῦ προπίπτειν [28. 29]

†προπεῶντες· προεστῶτες

προπηλακίζει (Plat. Civ. 562 D Dem. 312, 16)· ἐρεθίζει. κολακεύει. ἢ ὑβρίζει, ἀδικεῖ, ἐξουδενεῖ

προπηλακισμός (Demosth. 330, 14)· ἐρεθισμός. ἐξουδένωμα

(προπηλακιστής·) φιλόνεικος. κολακευτής. ὑβριστικός, ἄδικος [34]

†προπίονι· εὐθεῖ

προπίωμεν· διὰ τοῦ οἴνου τιμήσωμεν

πρόποδες ὄρους· τῶν ὀρῶν τὰ προὔχοντα. [ad 37] [38]

προποδῶν (Ar. Vesp. 1236)· ἔμπροσθεν

πρόπολοι· ὑπηρέται, δοῦλοι. νεωκόροι. προφῆται [41. 42]

προπτόρθια· ἐν τοῖς ἄξοσιν (Seleucus) ἡ λέξις φέρεται

Προπυλαία· ἡ Ἑκάτη

προπύλαιον· πρόθυρον

πρόπωνα (Aeol.)· †εὐκρατῆ. †εὔφημα. πρόχειρα, ἕτοιμα, ἀνεμπόδιστα

πρόρινον· τὸ μεταξὺ τῶν σαρκῶν καὶ τοῦ δέρματος ⟨3535⟩

πρόρριζον (Eur. Hipp. 684)· σὺν ταῖς ῥίζαις ἀνασπώμενον

πρόρρησιν (Thuc. I 49)· πρόλεξιν, προφητείαν

πρόρρησις· (προ)λόγος. καὶ τὰ ὅμοια

πρός· πρόθεσις. καὶ ξύλον ἐν Αἰθοπίᾳ (ברוש). καὶ ἀντὶ τοῦ ἐπί

πρὸς ἀγαθ†όν· ἐπ' ἀγαθῷ, ἐπὶ καλῷ

προσαγγελία· προσαγωγή (delatio)

προσάγει· προσέρχεται. προσφέρει

(προσαγῆλαι [cf. Eupolid. fr. XIX p. 468]· τιμῆσαι) cf. 3676

(προσαγήλῃ· τιμήσῃ) cf. 3677 [55]

προσαγόμενον· ἀγαπήσαντα. προ(σ)κτησάμενον

προσαγορεύει (Plat. Charmid. p. 164 E)· ἀσπάζεται

προσαγορεύσας (Theophr. Char. 5)· προσειπών. καὶ τὰ ὅμοια [60]

προσαγωγή· προσέλευσις

προσαγώγιον (Plat. Philel. 56 C)· διαβήτης, τὸ τῶν τεκτόνων ὄργανον

προσαθύροντα· προσπαίζοντα ⟨3309⟩

προσαιθρίζουσα πόμπιμον φλόγα

COD. 1 προνόμων· προβλημάτων 3 προνάπως, |νως ⟨cf. 3589⟩ 8 ξενίᾳ 17 προπαθήματα 22 προπάστεον 43 ἄξωσιν 44 πρόπυλαι 49 προφήτην 61 ἢ τὸ 63 προσαιθερ|

HES. 2 προνοοῦ (Prov. III 4)· ἐνθυμοῦ, ἐπιμελοῦ 13 πρόοπτον· προφανές ⟨Moer. 329⟩ 14 πρὸ ὁ τοῦ (K 224)· οὗτος πρὸ τούτου, ἢ ἕτερος τοῦ ἑτέρου ⟨v. πρὸς τοῦ⟩ 16 προπαδίζων (N 158)· προβαίνων πρὸ τῆς ἀσπίδος 20 προπάροιθεν· ἔσθ' ὅτε ἐπὶ χρόνου (ρ 277)· εἰ δὲ θέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν 26 προπεριζόμενος· ἀγκαλιζόμενος ⟨3169⟩ 28 προπετής (Siracid. IX 18)· προπίπτων πρὸ τοῦ λογισμοῦ 29 προπέφανται (Ξ 332)· φανερόν ἐστι 34 προπηνές· ἔμπροσθεν κατωφερές ⟨3641⟩ Ad 37 καὶ τὰς προκειμένας τῆς Αἰγύπτου νήσους ⟨Προσωπῖτις⟩ 38 προποδίζων (N 158)· προβαίνων ⟨3616⟩ 41 προπρηνές (Γ 218)· ἐπὶ πρόσωπον. ἢ ἔμπροσθεν κατωφερές 42 (προ)προκυλινδούμενος (X 221)· τοῖς ποσί. πρὸ τῶν ποδῶν κυλιόμενος. οἱ δὲ εἰς τὸ ἔμπροσθεν πορευόμενος 55 προσαγηόχασι (Levit. X 19)· προσήγαγον ⟨cf. προσενηνόχασι⟩ 60 προσαγορεύουσι (LXX)· καλοῦσι

(Aesch. Ag. 301)· πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω πέμπεσθαι τὴν φλόγα
προσ.αίνων· προσελκόμενος, προσαγόμενος
προσαίταις· πτωχοῖς
προσακές· ἐγγύς ⟨προσεχές?⟩
πρὸς ἀκεσμόν· πρὸς ὑγείαν
προσάκτριδες· οἱ τῆς μηλολόνθης πρὸς τῷ στόματι μικροὶ πόδες [69. 70]
προσαν[τ]έχειν· προσκεῖσθαι
προσάντης (Eur. Med. 305)· σκληρός, ἐναντίος, δυσχερής, ἐχθρός, ἀηδής
προσαντίον· ἐναντίον, ἀντίπαλον
?προσανέχων· προσμένων. κουφίζων
προσάνων· προσαύξων. Ἄνειν γὰρ τὸ αὔξειν, καὶ αὐτὴν ⟨ἄνην⟩ τὴν αὔξησιν [76. 77]
προσάπτει (Soph. fr. 527)· προσπλέκει, συνάπτει
προσαρασσόμενον· προσρησσόμενον
πρὸς ἄρκτον (Herod. III 102)· †πρὸς μεσημβρίαν
προσαύξω· προ[σ]άγω
προσαυρίζουσα χερσαίᾳ τροχῇ (Trag. fr. 204)· ὑπὸ τῆς αὔρας ἡ νοτὶς προσπίπτουσα τῇ τροχῇ. δύναται δὲ οἷον καταλαμβάνουσα· ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν
πρὸς αὔριον· εἰς αὔριον
προσαυρῶν· προστυχών [85]
πρὸς αὐτήν· περὶ αὐτήν
πρὸς αὐτοῦ· παρ' αὐτοῦ
πρὸς ἀφοσίωσιν· πρὸς τιμήν
προσάψας (Eur. Suppl. 361)· συνάψας
προσβαίνει· ἐγγίζει
προσβάλλοιντο (Thuc. I 49)· πρὸς τῶν ἄλλων ἔβαλον τῆς ἀθλήσεως
προσβαλών (Eur. fr. 212)· προσελθών
πρόσβαλον· προσκατακλίθητι ⟨προσβαλοῦ?⟩
προσβλητόν· κολλητόν
προσβολή (c. c. Soph. fr. 773)· τῶν ἀθλητῶν ἡ συναφή, καὶ κατοχή, καὶ ἡ ὁρμή
προσβ(ωμ)ολοχεῖ· πρὸς χάριν λέγει
πρόσγειος· ταπεινός
προσγίνεται (Eur. El. 771) [ad 98]
προσγράφει· προσκρίνει
†προσδεῖται· προσδέεται
προσδέδορκας· προσεῖδες [3702]
προσδέχεται· προσποιεῖται [4. 5]
προσδιατρῖψαι· χρονίσαι
προσεγκεῖσθαι· ἐγκεῖσθαι, ἐπικεῖσθαι
προσεδρεύει· σχολάζει [9]
πρόσεδρος· ὁ παρακαθήμενος. σχολάζων [11. 12]
προσεῖναι· ἐνυπάρχειν
πρόσειπε· ἄσπασαι, προσαγόρευσον. προσκύνησον
(προσείρων [Eur. fr. 364, 10?]· προσάπτων) 3810
προσείσας (Plat. Phaedr. 230 D)· προανακινήσας, καὶ οἷον ἀπαγγείλας. ἀπὸ τῶν περιαγόντων τὰ τετράποδα, ὅπου βούλεται. τοὺς γὰρ θαλλοὺς σείοντες ἐπεδίδοσαν
πρόσεισι (Thuc. IV 85)· προσέρχεται [17]
προσεκτέα· σπουδαστέα
προσεκτέον (Plat. Menon. 96 D)· τὸ προσέχειν, κελευστικῶς
προσεκτικώτεροι (Xen. Mem. III 5, 5)· νηφαλιώτεροι [21]
Προσελήνιδες· αἱ Ἀρκαδικαὶ νύμφαι [23—25]
προσεμάξατο· κατεμάξατο
πρὸς ἐμαυτόν· ἐν ἐμοί. εἰς ἑαυτόν
.....· προσεπλ(ά)κη. ἐπλησίασεν
πρὸς ἐμοῦ· πρὸς ἐμέ. π̄.
προσεμπεδοῦντες· ἐπιβεβαιοῦντες ⟨3952⟩ [31]
προσεννέπει· προσαγορεύει ⟨3121⟩ [33. 34]

COD. 67 προσακ| 68 μωλολόνθης — παῖδες 72 πρόσαντις 73 προσάντιον 75 |ανῶν — ἀνεῖν ⟨80 cf. ἄρκτος⟩ 82 |ζουσαι 84 |ρῶν (cf. 3782) 92 προσελθών, προσβαλών, ἐξ ἀντιστρόφως 96 προσχαίρειν 3706 χρονῆσαι 15 προσανακ| — σείοντας

HES. 69 προσαμύνομεν (B 238)· βοηθοῦμεν 70 προσανεύουσαν (Γ 411)· εὐτρεπίζουσαν, στρωννύουσαν ⟨3057⟩ 76 προσαπῆλαι· τιμῆσαι ⟨προσαγ— cf. προίηλε⟩ 77 προσαπειλή· τιμή ⟨προσαγήλῃ· τιμήσῃ⟩ 85 προσαυσιάτω (ο 440)· προσφωνείτω Ad 98 προσδέ 3702 πρὸς δέ με (X 59)· πρὸς δὲ τούτοις ἐμέ 4 πρὸς Διός (A 239)· παρὰ τοῦ Διός 5 προσεβήσατο (B 48)· προ(σ)έβη 9 προνομή· ἁρπαγή 11 προσέθω ⟨—θέω⟩· προσθήσω 12 προσειξήσαντες· προσκομίσαντες ⟨3496. 3803⟩ 17 προσεικάμενοι· προσλαβόμενοι ⟨προσηκ—⟩ 21 προσέλει· προπηλακίζει ⟨προὔσελεῖ⟩ 23 προσελιάσθη (Eur. Hec. 100)· λίαν προσήγγισε 24 πρὸς ἑλιφερές (Trag. fr. inc. 90)· πρὸς τὸ κεκλεισμένον 25 προσελθών· προσβαλών ⟨3692⟩ 31 προσεμπρῆσαι (Exod. XX 6)· καῦσαι 33 προσενοῦσί με (Eur. Hipp. 863)· προσβάλλουσι, προσέρχονται ⟨προσσαί—⟩ 34 προσενώπια (Θ 435)· ἔμπροσθεν πρὸς τοὺς κατάντικρυς τῆς ἀνατολῆς ⟨3123⟩

προσενηνόχασι· προσαγηόχασι
προσεπέλασε· προσήγγισεν
προσεπεμβαίνει· ἐπιβαίνει, ἐπιτωθάζει, ἐπιγελᾷ
προσέπηξαν· προσήλωσαν ⟨q. v.⟩
πρὸς ἐπίβασιν· πρὸς βάδισιν
προσεποίσω· προσεπάξω
προσεποιήσω· ἐσχηματίσω [42]
προσερήσομαι· ἐπερωτήσω
?προσεράχατοι· τεταγμένοι ἦσαν ⟨προσεσάχατο⟩
προσερπύσῃ· προσέλθῃ [46. 47]
προσερ(ρ)ύη· προ(σ)ῆλθεν ⟨3881⟩
προσέσχε· προσῆλθε (Soph. Phil. 236). προσέπλευσε, προσώρμησεν
πρὸς εὐθεῖαν· πρὸς ὀρθότητα
προσέφυ (Plat. Tim. 45 A)· προσεγένετο [52]
προσεχές· ἐγγύς ⟨3666⟩. νῆφον, νουνεχές
προσεχεῖ· ὁμοίως
προσεχής· γείτων. σπουδαῖος ⟨3440⟩
προσεχῶς· σπουδαίως
προσεψιά· προσαγόρευσις, καὶ ἡ πρός τινα ὁμιλία ⟨3443⟩
πρὸς ἕω (Soph. OC. 44?)· πρὸς ἀνατολήν [59]
προσηγορία· ὀνομασία
προσήγορος (Soph. A. 1169)· προσκυνητής
προσήϊκται (cf. Eur. Alc. 1063)· προσέοικε
προσηκάμενοι· προσλαβόμενοι ⟨3717⟩
προσήκατο· προσηνέγκατο
προσήκει· πρέπει. διαφέρει. χρή. ἁρμόττει. συμφέρει
προσήκοντες· συγγενεῖς
προσηκόντως (Thuc. II 43)· ὀφειλόντως. πρεπόντως. ὀφειλόμενον. δεόντως
προσήλια (cf. Aesch. Prom. 810)· πρὸς ἀνατολήν
προσήλωσαν· προσέπηξαν ⟨3738⟩. ἐσταύρωσαν
προσήλωται· ἀνεσταύρωται [71]
πρὸς ἡμῶν (Herod. VIII 60)· ὑπὲρ ἡμῶν [73]
προσηνές (Thuc. Herod. Hippocr.)· καλόν. ἡδύ. ἐπιεικές, ἀγαθόν, πρᾶον, χρηστόν
προσηνής· προσφιλής
προσηνῶς (Theophr. Char. 17)· ἡδέως. καὶ τὰ ὅμοια [77]
†προσήρενε· προσέθιγεν
προσηρτημένοι (Ar. HA. V 18)· .... κεκολλημένοι
πρό(σ)ηται (Sophocl.)· προσεγγίζει [81]
προσηύρετο· προσέτυχε. προσηγάγετο ⟨3684⟩ [83]
προσθεῖναι· τὸ παραδοῦναι τῷ ἐωνημένῳ ὑπὸ κήρυκι· ὅπερ νῦν κῦρσαί φασι
προσθείς· προσθήκην λαβών
†προσθέματα· τὰ πυγιαῖα
πρόσθεν· ἔμπροσθεν. πρὸ τούτου, ἄνωθεν ἢ ἔνθεν [88]
πρὸς θεοῦ· τὸ τυχόν. Ἀττικοὶ δὲ χάριτι θεοῦ φασιν εἶναι
προσθέσεις· δευτερώσεις
πρὸς θε†όν· κατὰ τὸν θεόν. ἐπὶ τὴν θεόν
(προσθέω [Iones]· προσθήσω) 3611
πρόσθη· πρόσθεσις
προσθιάξειν· ἀφελεῖν τὰς ἐκ τῆς ὀσφύος τρίχας [94. 95]
προσίασι· προσέρχονται, προσφέρουσι
προσίει· ἐγγίζει ⟨—η⟩ [98]
προσίενται· προσάγονται
προσίεσθαι· ἐφέλκεσθαι. προσφέρεσθαι
προσίεται (Ar. Eqq. 359)· ἀρέσκεται. προσδέχεται, ἡδέως λαμβάνει
προσιζῆσαι· προσκαθεσθῆναι [3803]
προσιζήσας· προσκαθίσας
πρόσιθι (Eur. Or. 149)· πρόσελθε
προσίκτορος· προσικέτορος ἀπὸ τοῦ προσικνεῖσθαι τοὺς ἱκέτας
πρόσιμεν· προσερχόμεθα. πρεσβεύομεν
προσίναντες· βλάψαντες ⟨3884. 3773⟩
προσιοῦσα· παρερχομένη [10]
προσίπταται· προπέτεται [12]

COD. 37 ἐπιτοθάζει 39 ἐπίπασιν; ἐπίβασιν· βάδισιν 40]οίησω 48] post 50 53 νήφων 65 τρέπει 69 ἔτρωσαν 70 ἀνέστρωται 92 πρόσθῃ) πρόσθες Soph. OT. 1460 93 ὀσφύας 3801 cf. οὐ προσίεταί με

ῥέα (E 304 al.)· ῥαδίως, εὐχερῶς

Ῥέας πόντος (sch. Aesch. Prom. 837)· παρὰ τὸν Ἀδριακὸν κόλπον, ἔνθα τιμᾶται (ἡ Ῥέα. καὶ) ὁ Βόσπορος [70]

ῥέγματα (Ibyc. fr. 58)· τὰ βάμματα

ῥέγος (Anacr. fr. 138)· ῥάμμα. βάμμα. ῥάκ(κ)ος [73]

ῥέγχειν (Hippocr.)· ἐπὶ τῶν κοιμωμένων

ῥέδδι (Boeoti)· πράττει, θύει [76]

ῥεδίων· ἁρμάτων ⟨248⟩ [78—80]

ῥεέθρων (Soph. Ant. 105)· ῥευμάτων, ῥείθρων

ῥέζει (χ 158 Pherecr. p. 335)· πράττει. θύει, ἱερεύει. παρασκευάζει [83—85]

ῥέθη (Apoll. lex.)· μέλη τοῦ σώματος. σῶμα. πρόσωπον [ad 86]

ῥέθος (Soph. Ant. 529)· πρόσωπον. παρειά

ῥεῖ (Aesch. Sept. 80)· ῥέει, χεῖται [89]

ῥεῖα ζώοντες (δ 805)· ἀπόνως καὶ ἀμόχθως ζῶντες

ῥεῖά κεν· εὐχερῶς ἤνεγκεν [92—98]

ῥεῖθρον (Λ 186)· ῥεῦμα. λέγεται δὲ καὶ ῥέεθρον [200]

†ῥεῖρος· ταλαίπωρος

Ῥειτοί (Thuc. II 19 Soph. fr. 981)· ἐν τῇ Ἀττικῇ δύο εἰσὶν οἱ πρὸς τῇ Ἐλευσῖνι Ῥειτοὶ ῥωγμοί. καὶ ὁ μὲν πρὸς τῇ θαλάττῃ τῆς πρεσβυτέρας θεοῦ νομίζεται, ὁ δὲ πρὸς τὸ ἄστυ τῆς νεωτέρας, ὅθεν τοὺς λουτροὺς ἀγνίζεσθαι τοὺς θιάσους

ῥέκος· ζῶμα. ζώνη

ῥεκτός· ἀνδρεῖος (ad ῥέκτης?) ἢ χιτών ⟨recta⟩

COD. 43 τρυφὴν 47 λαμψ— 56 τοῦ εἰκέως (58 ῥάχιον?) 59 ῥαχίς (cf. ῥηχίς) 61 ῥαχοί — στυβαί — σφακέλους 62 cf. ἔραχος. ὀρήχου. κλαδαράχοι. ῥῆχος 69 πόρτος 75 ῥέδδει 91 ῥείακεν (201 ῥεῖος EM. 539, 30?) 2 ἐλεύσει — ῥωγμός

HES. 44 ῥάφανος· κράμβη 53 ῥαχίζειν· παίειν τὸ ἱερεῖον 54 ῥάχη· ἀποραχίσματα καὶ ἀποσπάσματα ⟨81⟩ 63 ῥάψαι (Σ 367)· συνθεῖναι 66 ῥαψῴδημα· ψεῦσμα. φλυαρία ⟨45⟩ Ad 67 καὶ οἱ τὰ Ὁμήρου ᾄδοντες ποιοὶ ⟨ἔπη⟩ ῥαψῳδοὶ καλοῦνται 70 ῥεγεονάριος· γειτονίαρχος (Ducang. 1287) 73 ῥεγισταί· οἱ βαφεῖς 76 ῥεδείη· τράχηλος. ἢ ῥεδέρη (Eur. Tro. 99) 78 ῥέε (Γ 339), ῥέεν (Λ 249)· ἔρρει, ἔρεεν 79 ῥέε δ' αἵματι γαῖα (Δ 451)· κατερρεῖτο ἡ γῆ ἀπὸ τοῦ αἵματος 80 ῥέεθρα (B 461 al.)· ῥεῖθρα, ῥεύματα 83 ῥέζεσκον (Θ 250)· ἔθυον. ἔπραττον 84 ῥέζουσι· πράττουσι (Δ 32). θύουσι. καὶ τὰ ὅμοια (ε 102) 85 ῥεθέων· σπλάγχνων, μελῶν (X 68), σωμάτων (Π 856) Ad 86 θηρίον (cf. ῥέος) 89 ῥεῖα· ῥαδίως εὐχερῶς μωλωπωνι ⟨l. μάλα, πάνυ⟩ ἰσχυρῶς 92 ῥειγεδανοῖς· φοβεροῖς 93 ῥειγηλά· φοβερά 94 ῥείγησε βοὴν (E 596)· ἐφοβήθης 95 ῥείγησεν (Γ 259)· ἐφοβήθη 96 ῥειγῆνος· ἀπειράγαθος ⟨Ῥηγῖνος cf. 305⟩ 97 ῥείζω· ὠθήσω (Ψ 673?) 98 Ῥείης (Ξ 203)· τῆς Ῥέας 200 ῥεινοτόρος (Φ 392)· τὰς ἀσπίδας τορων, ἢ τιτρώσκων

ῥεκτῶν· ἀπομακτρῶν. ἢ ἱματίων [6]
ῥεμβέσθω· τὰ ὅμοια
ῥεμβονᾶν σφενδόνας
†ῥεμεῖ· ὀδυνᾷ. σήπει
ῥεμφθῆναι· ῥέμβεσθαι
ῥέμφος (Aeol.)· τὸ στόμα. ἢ ῥίς [12]
ῥέξει· πράξει. θύσει, ἱερεύσει. παρασκευάσει, ἑτοιμάσει (Ξ 62?), ξέσει [14. 15]
ῥέοντα (Astydamant. fr. 3)· ῥυτά. ἐκπώματα
ῥέοντι· †ῥεῖ
ῥεόντων· παρερχομένων
ῥέος· ῥεῦμα (sch. Aesch. Prom. 400) [ad 19]
ῥέπει· κλίνει, βαρεῖ, καθέλκει [21]
†ῥέπεις· ῥέψις [ad 22] [23]
ῥεῦεν (Elei)· ἐδίωκεν
†ῥεῦμιν· βρέφος νεογνόν
ῥεύσαντα (Plat. Civ. VIII 544 E)· ἐγκλίναντα
ῥευσταλέον· ῥέον
ῥευστόν· χυτόν [29—31]
ῥέψας· κλίνας [ad 32]
ῥέωνος· εὔωνος. †ἀνδρός
ῥήγεα (γ 349)· παλλία βαπτά, ἀπὸ Ῥωμαίων. βεβαμμένα ἱμάτια. Ῥηγεῖς γὰρ οἱ βαφεῖς
ῥηγεύς· βαφεύς
Ῥηγῖνος· τοὺς δειλοὺς Ῥηγίνους ἔλεγον [37. 38]
ῥῆγμα (Archipp. IV p. 725)· τάσις ἀνέμου. κατὰ μῆκος τραύματος οὐλή ⟨244⟩. στάλαγμα ⟨309⟩
ῥήγματα· σχίσματα
ῥηγμίν· αἰγιαλός, περὶ ὅνπερ ῥήγνυται τὸ κῦμα
[42] τὰ †ἀπορπύματα τῆς πέτρας
ῥηγμίς· αἰγιαλός. διὰ (τὸ) ῥήσσειν τὰ κύματα ἐκεῖ [44]
ῥήγνυται· διαιρεῖται, κατακόπτεται ⟨51⟩
ῥῆγος (I 661 ν 73)· ῥάκος. περίστρωμα. σπάραγμα. προσκεφάλαια ⟨172⟩ [47—50]
ῥηΐτεροι· [ad 51] εὐχερέστεροι, εὐκοπώτεροι
ῥήνεα· πρόβατα, οἷα ⟨προβάτεια?⟩
ῥῆνες (Nic. Th. 453)· ἄρνες, πρόβατα
ῥήνικες (Hippocr. 611, 14)· ἀρνακίδες [55]
Ῥῆνος· ὄνομα ποταμοῦ
ῥῆξαι· διελεῖν. καταβαλεῖν (λ 538). ἀπολῦσαι. κρᾶξαι
ῥῆξαί με καὶ φράσαι δεῖ λόγον (Com. fr. CLXXV)· ἀντὶ τοῦ ἐκρῆξαι φωνήν [59]
ῥῆξε· [ad 60] κατέβαλεν. ἔκραξεν. ἀπέλυσεν. διέκοψεν
ῥηξήνορα (Η 228)· πολεμιστὴν πρακτικόν, ἢ ἀνδρεῖον πολεμιστήν [62]
ῥηξίφλοια (Theophr. HP. I 5, 2)· ῥήξαντα τὸν φλοῦν
ῥηξίφρονα· καταβαλόντα τὴν φρένα
ῥησίδιον· λεξίδιον
ῥησάμενος· διομολογησάμενος ⟨278⟩
ῥήσαντο· ἐψηφίσαντο [ad 67]
ῥήσεις (Ephipp. p. 335)· νόμοι, δόγματα. λόγοι, λέξεις. ψηφίσματα
ῥησκομένων· λεγομένων [70. 71]
Ῥησόσαρχος, ὃς ῥέει τὰ θέσφατα (Epicharm.)· ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν· ἢ ὡς Ἀσκληπιάδης ἐν ς' τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. ἐγένετο δὲ καὶ ἕτερος [73]
ῥήσσει· τέμνει, σχίζει. τύπτει, κροτεῖ
ῥητήν (cf. Xen. Hell. III 5, 6)· τὴν ὡρισμένην ἡμέραν τοῖς θεοῖς εἰς θυσίαν σημαίνει [76]
ῥητοί (Hesiod. opp. 4)· οἱ ἔνδοξοι [ad 77]
ῥητόν (Thuc. II 7)· τὸ τεταγμένον, ὃ ἄν τις τάξηται. καὶ ῥησάμενοι· ταξάμενοι [79. 80]

COD. 5 ἀπὸ μάκτρων 43 ῥηγμός 54 ῥηνέκες 61. 62. 63 = 63. 61. 62 63 ῥηξει| 72 ἐν καὶ τραγ| (Ῥῆσος ἀρχός, ὃς χρέει?)

HES. 6 ῥέμβεται (Prov. VII 12)· πλανᾶται, γυρεύει 12 ῥέξαι· ποιῆσαι (Γ 354). θῦσαι (Α 444) 14 ῥέξομεν (Λ 837)· ποιήσομεν. καὶ τὰ ὅμοια 15 ῥέοιτο (ι 459)· φθείροιτο Ad 19 ῥεῦμα. θηρίον (Call. Dian. 100) 21 ῥέπει (Θ 72)· ἐβαρεῖτο Ad 22 ῥέπου-(διον Theognost. 11, 10) 23 ῥερπιδάω· τὸ πῦρ ἐκκαίουσι ⟨ῥιπίδα, φ⟩ 29 ῥεφέα· ἐστεγασμένα ⟨ἀμφηρεφέα⟩ 30 ῥεφούγια· ῥεμπτά 31 ῥεχθέν (Ρ 32)· πραχθέν, συντελεσθέν Ad 32 στεγάσας ⟨ad ἐρέψας⟩ 37 ῥήγησεν (Γ 259)· ἐφοβήθη, ἐδειλίασεν 38 ῥῆγλαι· σίδηρα ὡς ῥάβδοι ⟨regulae⟩ 42 ῥηγμῖνος (Υ 229)· 44 ῥήγνυσκε (Π 141)· τάσις ἀνέμου. ἢ τραύματος οὐλή ⟨239⟩ 47 ῥηγῶν· βοηθῶν ⟨ἀρηγῶν⟩ 48 ῥηδίων· καρούχων. ῥαιδίων ⟨177⟩ 49 ῥηδίως (Δ 390)· εὐκόλως, εὐχερῶς 50 ῥήϊα καὶ ῥηΐδια (Υ 265)· ὁμοίως· εὐχερῶς μάλα, ῥαδίως Ad 51 εὐκαταγωνιστότεροι (Σ 258) 55 Ῥήνη ποιμήν (Β 728)· καὶ πόλις 59 ῥηξάτω (Iesai. 52, 9)· κραξάτω Ad 60 διέρρηξε (Ν 507) 62 ῥηξήνορες (δ 5)· ὁμοίως Ad 67 οἱ δὲ ἐτύπτοντο ⟨ῥήσσοντο⟩ 70 Ῥῆσος (Μ 20)· ποταμὸς Τρῳάδος 71 ῥήσσοντας (Σ 571)· τοῖς ποσὶ κροτοῦντας 73 ῥήσιας (φ 291)· ὁμιλίας 76 ῥητῆρα (Ι 443)· διδάσκαλον Ad 77 ταξάμενοι 79 ῥητόν· τὸ τεταγμένον 80 ῥήτωρ· ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτήν

ῥήτορες (Eur. Hec. 126)· λέκται. οὐχ οἱ συνήγοροι μόνοι

ῥῆτραι· συνθῆκαι διὰ λόγων. ἢ δίκαι. ἢ ὁμιλίαι

ῥήτρας· συνθήκας

ῥήτρης· ῥητορικῆς [85]

ῥητῶν· φανερῶν [87]

ῥήτωρ (Soph. fr. 982)· συνήγορος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην. ἢ κριτής

†ῥήχη· στάσις. ἐξουσία

ῥηχθέντα· καταβληθέντα. χωρισθέντα

ῥηχιάδαι· οἱ τοὺς καταδίκους εἰς ῥαχίας βάλλοντες

ῥηχίς· ἄκρα

ῥῆχος (Herod. VII 142)· φραγμός

ῥία· ἀκρωτήρια ὄρθια. καὶ τὰ εἰς θάλασσαν ἐγκείμενα [ad 94]

ῥίαινα (Boeot. Cret.)· πηγή, λιβάς [96. 97]

ῥίγα (Elei)· σιώπα

ῥιγεδανῆς (Τ 325)· φρικώδους. χαλεπῆς, κακίστης, φοβερᾶς

ῥιγεδανόν· φρικῶδες, ὅμοιον [301]

ῥιγηλόν (Nic. Al. 220)· φοβερόν [3]

ῥίγησεν (Γ 259 al.)· ἔφριξεν. ἐφοβήθη [5]

ῥίγιον· [ad 6] φρικτόν

ῥίγιστα· φοβερώτατα. ἀτυχέστατα

Ῥιγίστη· κρήνη τῆς Σινωπίδος

ῥῖγμα· σταλαγμός ⟨239⟩

†ῥιγνόν· ῥιγεδανόν, φρικῶδες

†ῥιδαεῖ· σκυβαλίζει [12]

ῥίζειν· τρώγειν. †καίειν ⟨369⟩. μυστιλᾶσθαι. θηλάζειν

ῥιζοῦχος (Callim. fr. CCLXXXV)· σπερμογόνος

†ῥιζῶν· νεάζων. Ἐρετριεῖς

ῥῖθρον (Boeot.?)· ῥεῦμα

ῥικνὴν ὄψιν· φρικτήν

ῥικνοί· ἰσχνοὶ σαρξίν. ἐπικεκαμμένοι, σκαμβοί, σκολιοί

ῥικνοῦσθαι (Soph. fr. 295)· διέλκεσθαι, καὶ παντοδαπῶς διαφέρεσθαι κατ' εἶδος ⟨372⟩

ῥικνοῦται· λεπτύνεται. ἐπὶ τῶν ὀστέων τῶν γερόντων

ῥικνοτέρους· ἀσθενεστέρους

ῥικνοφυεῖς· τὰς στρεβλάς, καὶ πεπιεσμένας

ῥικνώσεαι· ῥυσσωθήσῃ

ῥίμβαι· ῥοιαὶ μεγάλαι. ἄμεινον δὲ διὰ τοῦ Ξ ξίμβαι ⟨q. v.⟩

ῥίμβησις· ἀγκύλη τοῦ ὤμου. οἱ δὲ βραχίονα τοῦ ἱερείου

ῥίμφα (Ζ 511 al.)· ῥᾳδίως, εὐχερῶς. συνεχῶς. ἢ ταχέως

†ῥίμφια ⟨ῥίμφ' ἴαλαν?⟩· ῥᾳδίως ἔρριψαν

ῥινᾶν (Menand. fr. CCCXXVII)· ἐπὶ τοῦ ἐξαπατᾶν καταβουκολοῦντας

.ρίνεαι· αἱ μέλαιναι ἰσχάδες

ῥίνη· ἰχθύος δορά

ῥινηλάτην †ὄνον· τὸν καθικνούμενον τῇ ὀσμῇ

ῥινόβατος (Ar. HA. VI 11)· ἰχθῦς ποιός

ῥινοβόλους ἀνέμους· ἢ τὰς διὰ τῆς ἐνέδρας φύσας

ῥινοδέψου· βυρσοδέψου

ῥινόκερως (Callixen. Ath. 201 C)· τὸ τετράπουν θηρίον. καὶ ποιὸς ὄρνις ἐν Αἰθιοπίᾳ [36. 37]

ῥινοπύλη (Polyb. XV 31, 10)· μικρὰ πύλη [39]

ῥινοτόρος (Φ 392)· ῥινοὺς διατορῶν, τουτέστιν ὅπλα καὶ φάλαγγας διακόπτων. ἢ βυρσοτόμος

ῥινούς (Δ 447)· βύρσας. δέρματα. ἀσπίδας

ῥινοχόος· χώνη

†ῥινφα ῥήτρας· συνθήκας [44]

ῥινωτηρία· μέρος τι τῆς νεώς (Poll. I 86)

ῥιξικάζεται· ῥικάζεται. στροβεῖται

ῥίον (ι 190)· ἀκρωτήριον ὄρους

ῥίον Οἰναῖον· Οἰνώη τῆς Ἀργείας ὄρος χαλεπόν [49. 50]

Ῥῖπαι (Aesch. fr. 66 Alcm.)· ὄρη Σκυθικά· ὅθεν βορρᾶς ὁ ἄνεμος πνεῖ

COD. 93 ῥηχός ⟨cf. 162⟩ 95 ῥίενα 313 cf. ῥάζειν, βρίζειν 16 ῥεῖθρον ⟨10. 17 (φ)ρικν—?⟩ 18 ἱκανοί 22 στρύβλας 23 ῥυσσωθήσει 28 τοὺς — καὶ β| 30 Cf. πελάγια ⟨31 ὄνθον?⟩ 32 |αστος 40 διὰ τὸ ῥίσκον 48 οἰνήναιον, οἰνοήτης ἀρτείας 51 Ῥίπαι

HES. 85 ῥητῷ (φ 445)· ὡμολογημένῳ. ἑσταμένῳ 87 ῥητῶς (I Tim. IV 1)· φανερῶς Ad 94 ἢ μάλα ⟨ῥεῖα μάλ'⟩ 96 ῥία μάλα (Boeot. Cret.)· εὐχερῶς πάνυ 97 ῥία φέροι (Ρ 70)· ῥᾳδίως φέροι 301 ῥίγειστα (Ε 873)· φρικωδέστατα 3 ῥιγηδανῆς (Τ 325)· φρικτῆς 5 ῥηγῖνος· ἀπειράγαθος ⟨196⟩ Ad 6 φοβερώτερον (Α 325). χαλεπώτερον (Δ 405) 12 ῥίζαι (ι 390)· αἱ θέσεις τοῦ ὀφθαλμοῦ, καὶ πάντων φυτῶν 36 ῥινός (Ν 616)· δέρμα(τος) .... 37 ῥινόν (Ε 308)· τὴν βύρσαν. τὸ δέρμα 39 ῥινότερος (Φ 392)· τὸ ὅπλον .... 44 ῥινῷ (Η 248)· δέρματι, βύρσῃ 49 ῥίος ⟨—ον⟩· ἄκρα, κορυφή, ὄρος χαλεπόν, κρημνός 50 ῥίου (Ξ 154)· ἀκρωτηρίου

ῥίπεσ(σ)ι (ε 256)· ψιάθοις. πλέγμασιν ἐκ καλάμων

ῥιπή· ὁρμή [ad 53] ῥοπή [54. 55]

ῥιπίδιον· μέρος τῆς νεώς

ῥιπίζει (Ar. Ran. 363)· φυσᾷ, πνεῖ, πνοὴν πέμπει. ἀνακαίει

ῥιπίζεται (Com. an. XLVIII)· ἀνακινεῖται

ῥιπίζων· κινῶν

ῥιπίρ (Laced.)· ῥιπίς, τὸ πλέγμα, ἡ ἐκ σχοίνων πέτασος. Ἀττικοὶ δὲ ῥιπίδα (Ar. Ach. 888), ᾧ τὸ πῦρ καίουσι· καὶ τραπέζας οὕτω λέγουσι

ῥιπίς· τοῦ σκέλους τὸ ἀκροκώλιον [62]

†ῥίπον· μικρόν [64]

ῥῖπος· ἔδαφος πρὸς κοίτην

ῥίς· ῥίν. ῥώθων [67]

ῥίσκοι· εἰδός τι μυῶν

ῥίσσουσα· λυπουμένη ⟨313⟩

ῥίστρον· πτύον ⟨λι—⟩ εν

†ῥίψανεν· ἐρρίψανεν ⟨ῥῖψαν?⟩

ῥιχνοῦσθαι (Cret.?)· κινεῖσθαι ἀσχημόνως ⟨319⟩

ῥίψασπις (Ar. Nubb. 353)· ὁ ἐν τῷ πολέμῳ τὰ ὅπλα ῥίψας ἐκ φόβου, δειλός

ῥιψοκίνδυνος· παράβολος, τολμηρός, ἐπικίνδυνος (Poll. I 179)

†ῥόα· ῥεύματα

ῥοαί· ῥεύματα, ῥεῖθρα, πηγαί: ἱππόδρομος ⟨ῥοία⟩

(ῥοάς·) τοὺς καλαμῶνας. πηγάς, χεύματα [78—80]

ῥύβιλλος· βασιλίσκος ὄρνις

†ῥόγαν· τὸν φονέα, τὸν αὐτόχειρα ⟨139⟩

ῥόγαν· ῥῶγα (lacerta)

†ῥογεῖ· ὀργᾷ. ἀκμάζει. δαμάζει

ῥογεύς· βαφεύς

†ῥογία· ἀκέστρια

ῥογκιῆν· ῥέγκειν. Ἐπίχαρμος

ῥογοί (Heracleens)· σιροὶ σιτικοί, σιτοβολῶνες

ῥόδαμνοι (Aeol. Dor.)· κλῶνες, βλαστοί [90]

Ῥοδανός (Aristot. Meteor. I 13)· ποταμοῦ ὄνομα

ῥόδεα· ἐρυθρά

ῥόδεον (Eur. Med. 841)· εὔχρουν. ευῶδες. εὐειδές

ῥοδῆ (Archil. fr. 28)· αὐτὸ τὸ δένδρον

ῥόδια· ὑπόδημα ἀνδρεῖον ⟨25⟩. καὶ ἀμπέλου εἶδος ⟨ῥοδωνιά⟩

ῥοδιακόν (Diphil. fr. I p. 377)· ποτηρίου καὶ ἐκπώματος εἶδος

ῥοδιάς· ποτηρίου εἶδος

Ῥόδιοι τὴν θυσίαν· ......

ῥόδιον (Ar. Lys. 943)· μύρον [400]

ῥοδόεντα (Eur. IA. 1298)· πυρρά [2]

ῥόδον (Pherecr. I 29 p. 300)· Μιτυληναῖοι τὸ τῆς γυναικός. καὶ τὸ σύνηθες

ῥοδωνιά (Cratin. p. 83)· ὁ τόπος, ἔνθα φύεται τὰ ῥόδα. καθάπερ καὶ ἰωνιά, ὅπου τὰ ἴα φύεται· καὶ κρινωνιά, ἔνθα τὰ κρίνα. δηλοῖ δὲ καὶ τὸ ἀναιδές ⟨cf. 395⟩

Ῥοδῶπις (Sapph. fr. 138. 148)· αὕτη γένει μὲν ἦν ......

ῥοήν (Plat. Theaet. 206 D)· ῥύσιν

ῥοθεῖ· ὁρμᾷ

ῥοθεῖν· ὁρμᾶν. τρέχειν. λέγειν. διώκειν

ῥοθιάζειν (Com. V p. 928)· ἐλαύνειν, ἀπὸ τοῦ ψόφου τῆς εἰρεσίας. οἱ δὲ τὴν ἀνακοπὴν τοῦ ὕδατος ῥόθον φασίν [10. 11]

ῥόθιον (Eur. Andr. 1096)· ταχύ, ὁρμητικόν

ῥόθον· τὸν ἀπὸ τῶν κυμάτων ψόφον

ῥόθῳ· ὁρμῇ μετὰ ψόφου

ῥοία· κυλίστρα τῶν ἵππων παρὰ τῷ ποταμῷ καὶ ψάμμῳ ⟨376⟩

ῥοίαγξ· φάραγξ

ῥοιβδεῖ· ῥοιζεῖ. διώκει. ῥοφεῖ ......

ῥοῖβδος (Soph. Ant. 1004)· ῥόγχος. ψόφος ποιός

ῥοιβδώδει· [μετὰ ἤχου ἀείδει, ὡς οἱ ποιμένες

..ιδαμός· ὁ ἀσπάραγος

ῥοιδμός· ποιὸς ψόφος

†ῥοίδνας· δάκνας ⟨431⟩

COD. 58 ἀνακλίνεται 61 |κόλιον 65 ῥίπος 66 ῥόθων 83 ῥώγαν 87 ῥογκίην, ῥεγκεῖν (δ above) 89 cf. ὀρόδ— et ῥαδ— 94 ῥόδη 97 ῥοδιᾶς 400 ῥόδιος 4 ἀναί 5 ῥοδόπς 19 ἀηδεῖ ⟨cf. Theognost. 24, 2⟩

HES. Ad 53 βολή (Π 589) 54 ῥιπῆς· ὁρμῆς (Μ 462). βουλῆς. ῥοπῆς 55 ῥίπη τ᾽ ἄνοια (Π 589)· ὁρμὴ τοῦ ἄγαν ἐκτεταμένου 62 ῥιπιστά (Ierem. XXII 14)· διαπνεόμενα 64 ῥιπτάζων (Ξ 257)· ῥίπτων . 67 ῥίσαντες (Α 3)· φιλονεικήσαντες ⟨ἐρι—⟩ 78 ῥοάων (Γ 5)· ῥευμάτων 79 ῥοβδεῖ· ἀναρριπτεῖ μετ᾽ ἤχους ⟨ῥοιβδεῖ⟩ 80 ῥοβλεῖ· ῥοφεῖ. πνεῖ ⟨ῥιαροβλεῖ⟩ 90 ῥοδανόν (Σ 576)· τρυφερόν 400 Ῥόδιος (Μ 20)· ποταμός, ὁ νῦν Δάρδανος 2 ῥοδοδάκτυλον (Greg. Naz. C. LXIII 163)· ῥοδόχρουν. ἀπὸ μέρους· καλόν 10 ῥόθειον· ῥεῦμα, κῦμα (ε 412), τὸ μετὰ ψόφου γινόμενον 11 ῥόθεον· τὰ αὐτά

ῥοιζεῖ· διώκει. ὁρμᾷ. τρέχει

ῥοιζηδόν (Nic. Th. 556)· σφοδρῶς ἠχητικόν

ῥοιζῆσαι (K 502)· ποιὸν ἦχον ἀποτελέσαι. συρίσαι

ῥοῖζος· ψόφος, ἦχος. ῥεῦμα σφοδρόν

ῥοιζοῦντος· ἠχοῦντος

ῥοίζωσον ⟨—ησον⟩· ἤχησον σφοδρῶς

ῥοικόν (Archiloch.)· σκολιόν, καμπύλον, σκαμβόν. ῥυσόν. ῥικνόν

Ῥοίκου κριθοπομπία· Ἐρατοσθένης ἐν τῷ ἐννάτῳ τῶν Ἀμαθουσίων (p. 231), βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα πρὸς ἑαυτόν, τῇ πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν

†ῥοιλιαῖς· δάκναις ⟨422⟩

ῥοισμός· ὁ τῶν ἵππων [ad 32]

ῥόμβος (Theocr. II 30)· ψόφος. στρόφος. ἦχος. δῖνος. κῶνος. ξυλήριον, οὗ ἐξῆπται σχοινίον, καὶ ἐν ταῖς τελεταῖς δινεῖται [ad 33] ἵνα ῥοιζῇ. τοῦτο αὐτὸ (καὶ ῥύμβος ἐκαλεῖτο). καὶ ἰχθῦς τις τῶν πλατέων. καὶ ὁ ἐν τοῖς δεσμοῖς γόμφος (medici)

ῥόμβῳ (Eurip.)· περιφορᾷ, κινήσει

ῥομβωτόν· ἐπίμηκες

ῥόμιξα· εἶδος ἀκοντίου ⟨rumex⟩

ῥόμος· σκώληξ ἐν ξύλοις

ῥομφαία (Phylarch.)· Θράκιον ἀμυντήριον, μάχαιρα, ξίφος, ἢ ἀκόντιον μακρόν

ῥομφάζει· βαστάζει (ὡς ῥομφαίαν)

ῥομφεῖς· ἱμάντες, οἷς ῥάπτεται τὰ ὑποδήματα ⟨cf. ὁρμοί⟩

†ῥόνειν· κρίνεσθαι

ῥόος· ῥοῦς, ῥύμη, ῥεῦμα (Σ 402?)

ῥοπαῖς· κλίσεσι

ῥοπαλίζει· στρέφει, κινεῖ ὡς ῥόπαλον

ῥόπαλον· βακτηρία, ῥάβδος

ῥοπή· κλίσις, νεῦμα [ad 46] δύναμις, βοήθεια [47]

ῥοπτίον· κλειδίον ⟨ῥοπτίον· ἠχείδιον?⟩

ῥόπτρον· ῥόπαλον (Eur. Hipp. 1172). ἢ τὸ ἐπικαταπίπτον τῆς παγίδος καὶ συλλαμβάνον (Archilich. fr. 88b). καὶ τὸ ἐπίσπαστρον τῆς θύρας· ἔνιοι κρίκον (Lysias). καὶ τὸ αἰδοῖον. καὶ τὸ καμπύλον ξύλον

ῥοταρία· τορύνιον

ῥουβοτός (Maced.?)· ῥόφημα

ῥούγχος (Boeoti)· πρόσωπον

ῥουδόν (Lacones)· ῥευστικῶς

†ῥουμάζεται· φρίττει

†ῥοῦτο· τοῦτο. Μακεδόνες

ῥοφεῖ· καταπίνει. ἀναλαμβάνει [57]

ῥόφιον· κύκα ⟨κῦμα?⟩

ῥόφια (Aeol.?)· κύματα. ἢ ῥόθια

ῥόχανον· σκυταλίδα, ἀποραктήριον, ἢ ἀπορηγλιῶσι τὸ μέτρον

ῥοχθεῖ (ε 402 μ 60)· ἠχεῖ, ψοφεῖ. κλύζει

ῥοῶδες (medici)·

ῥύαξ· περικεφαλαία. πύργος. ῥεῦμα ὑδρηγόν (Thuc. IV 96 schol.)

ῥυάχετον (Ar. Lysistr. 170)· θόρυβον. ἢ τὸν ῥέοντα ὀχετόν

ῥύβδην (Hipponact. fr. 34 Aristot. HA. IX 40)· [ad 65] ἢ ταχύτητι. ἢ μετ' ἤχου σφοδροῦ

ῥυγχιάζειν· †διαστρέφειν. ῥογχάζειν

†ῥυδεῖ· περιπλέκεται

ῥύδην· εὐκόλως, ἢ ἀθρόως ἐπιτρέχοντες

?ῥυδωμένην· ῥοφωμένην

†ῥυδία· ῥοά, ἢ ῥοιά

ῥυδὸν ἢ ῥύδην (ο 426)· χύδην, δαψιλῶς, ῥευστικῶς, σφοδρῶς

ῥύεινα· ἄρνα. Κύπριοι

ῥύεται· [ad 73] εἴργει. σκέπει. [ad 73] κωλύει

†ῥύζα· βία. ἡ τοῦ τόξου τάσις ⟨517⟩

ῥύζειν· ὑλακτεῖν ⟨hirrire⟩

ῥύζουσι (Hermipp.)· διαμωκῶνται. μισοῦσι. γογγύζουσιν

ῥυζῶν· πενθῶν· διὰ τὸ τοὺς πενθοῦντας ἄναυδόν τινα ἦχον προφέρειν

†ῥυῆαν· κατόχου †πιπάζεσθαι. καὶ ῥυᾷ ὁ ἵππος [79]

ῥυηφενής· πλούσιος

ῥυθῆναι· †ἐρεχθῆναι, ὃ δηλοῖ ἐξαιρεθῆναι. ἢ ξυσθῆναι ⟨cf. ῥυστόν⟩

ῥυθμίζει· κανονίζει

ῥυθμοποιός· ὁ μέλη καὶ ῥυθμοὺς ποιῶν

ῥυθμός· κανών. μέτρον. τρόπος. μέλος εὔφωνον. ἀκολουθία. τάξις. (ἡ ἐμμέλεια ⟨496⟩) σύγκρισις

COD. 29 ῥυκνὸν 33 ἐναροίζῃ τοῦτο αὐτῷ 37 ῥόμοξ 38 ἐράκιον 50 τὸ ῥίνιον ⟨cf. ῥατάνα. βρατάνα⟩ 52 ῥουγός 53 ῥευστικόν 60 παρεκτήριος ἢ ἀποριχοῦσι ⟨cf. ῥάγανον, ἐπιρρόγανον⟩ Post 62 ῥεῦμα ὑδρηγόν 68 ῥυδεῖν ⟨78 ἱππάζεσθαι καὶ ῥοία ὁ ἱππόδρομος?⟩ 80 |φένης

HES. Ad 32 ῥισμός Ad 33 Ῥομελίας (IV Regg. XV 25)· μετέωρος περιτομῆς Ad 46 ῥάβδος 47 ῥοπηΐα (N 199)· σύμφυτος τόπος. καὶ ῥοπήρια ὁμοίως 57 ῥοῦν (Siracid. IV 29)· ῥεῦμα Ad 65 δαψιλῶς Ad 73 σώζει (K 417) φυλάττει (K 259) 79 ῥυήσονται (Zachar. XIV 12)· φθαρήσονται. ῥεύσουσιν

ῥυκάνη· †ἀλθητήριον. †χειρομήριον. ἀμυντήριον. τεκτονικὸν ἐργαλεῖον

ῥῦμα· †τὸ ἐλαφρὸν καὶ πυκνόν. ὁλκός ⟨remulcum⟩. ῥύμη ⟨impetus⟩. φυλακή, ἀπὸ τοῦ ῥύεσθαι (Soph. Ai. 158)

ῥυμβονᾶν· διασκορπίζειν

ῥύμβος (Eupol. fr. XV p. 452)· δῖνος

ῥύμη (Eur. Rh. 64)· ὁρμή

?ῥυμβάδας· λάϊγγας τὰς διεσχισμένας

?ῥύμη· τάξις ἔρημος

ῥύμιγξ· χείμαρρος

ῥύμμα (Nic. Alex. 96)· σμῆμα. καὶ ἡ σμηματοδοκίς, σμηματοθήκη

ῥύμματα (Plat. Civ. 429 E)· τρίμματα. σμήγματα

ῥυμός (Z 40)· τοῦ ἅρματος τὸ ἐκτεταμένον ξύλον παρὰ τοὺς ἵππους ἕως τοῦ ζυγοῦ μέσον ἀπὸ τοῦ ἄξονος, ὅ τινες στήμονα ⟨temonem?⟩ καλοῦσιν. καὶ σταθμίον (τι Rhodii) [96]

ῥυ(μο)τομεῖται· εἰς ὀρθὸν κόπτεται

ῥυνδάκη (Ctesias)· ὀρνίθιον ἠλίκον, περιστερά [99. 500]

ῥυπαίνει· σμήχει. καθαρίζει. πλύνει (?)

ῥυπαρόν· αἰσχρόν

ῥυπαρός (Plat. Parm. 130 C)· περίψηφος. αἰσχροκερδής

Ῥύπας (Aesch. fr. 394)· τοὺς ἐν τῇ Ἀρκαδίᾳ Ἀχαιούς

ῥυπόεν· αἰσχρόν. αἰσχροκερδές

ῥύπος (Ar. Lysistr. 1199)· ῥύπον Ἀττικοὶ τὸν εἰς τὰς σφραγῖδας κηρὸν λέγουσι

ῥυποκονδύλους (Hipponact. fr. 134 Archil. fr. 193)· ἀεὶ ῥυπῶντας καὶ ῥυπαρούς

ῥυππαπαί (Aristoph.)· ναυτικὸν ἐπιφώνημα

ῥύπτει· σμήχει. πλύνει

?ῥύπται (Iones)· οἱ ἀναρροφοῦντες ⟨544. 546⟩

ῥυπτικόν (Aristot. de sens. c. 5)· σμηκτικόν. καθαρτικόν [12. 13]

†ῥύσε· λυτρωσαμένω

ῥύσια (Λ 673)· ἐνεχυράσματα, σωτήρια, λύτρα, λεηλασία

ῥυσιάζει· ἀντενεχυράζει

ῥυσίαν βολάν· τὴν τῶν τόξων τάσιν· ἀπὸ τοῦ ἐρύσαι, ἢ τοῦ ῥύσιον ⟨474⟩

ῥυσίλλας· τὰς ῥυτίδας

ῥυσίοις ἐνταφαῖς· ἑλκυσταῖς, ὑπὸ τῶν †λοιπῶν γινομέναις

ῥύσιον (Soph. OC. 858)· ἑλκυστόν. λύτρον, τίμημα, ἢ τὸ ἕνεκα ἐνεχύρου κατεχόμενον, παρὰ τὸ ῥύεσθαι τὸν κατεχόμενον

ῥύσις· φιάλη χρυσῆ (Ath. XI p. 496 E). καὶ ξύλινόν τι σταθμίον. ἡ ἀπόρροια

ῥυσοῖσι (Eur. Tro. 491)· ἐρρυσηκόσι, γεραιοῖς

ῥυσμοῦσθαι (Democr.)· συγκρίνεσθαι

ῥυσοῦται· γηράσκει, γεγήρακε

ῥυστάζοντες (π 109)· [ad 25] ἕλκοντες, μεθ' ὕβρεως σπαράσσοντες [26]

ῥυστόν· δόρυ. Κρῆτες ⟨481⟩

ῥυτά· τὰ στέμφυλα ⟨βρύτεα⟩. καὶ πήγανον λευκόν ⟨Dor.⟩. ἢ πόπανα ⟨Cratin. p. 169⟩. ἢ εἶδος φιαλῶν

ῥυτά· ἱερὰ τὰ ἡπατοσκόπα. ἢ τὰ ἑλκυστά

ῥυτήρ· ἡνίον, λῶρος, ἱμάς, ἑλκυστήρ

ῥυτῆρες (Apoll. lex.)· ἡνίαι, ἱμάντες τῶν ἵππων, οἷον ἑλκυστῆρες

ῥυτῆρι κρούων· ὁ Κύκνος (Soph. fr. 458) λέγει·

> καὶ μὴν ὑβρίζων αὐτίκ' ἐκ βάθρων ἐλῶ
> ῥυτῆρι κρούων (γλουτὸν) ὑπτίου ποδός

ἔνιοι δὲ οὐκ ἐπὶ τοῦ Κύκνου, ἀλλ' ἐπὶ τῶν πολεμίων, ὥστε εἶναι τὸν λόγον· φεύγοντας αὐτοὺς τῷ ὑπτίῳ ποδὶ τοὺς ἰδίους γλουτοὺς ποιήσω τύπτειν

ῥυτῆρος (Soph. OC. 900)· ὁ λόγος· καθάπερ ἁρματεύει ἵππος. ἐκ μέρους γὰρ τῶν ποδῶν τοῦτο βούλεται δηλοῦν. Ῥυτῆρας δὲ ἔλεγον τὰς ἡνίας, ἤτοι χαλινούς [34—36]

ῥῦτο· ἐρύσατο, ἔσωσεν

ῥυτοί· ἑλκυστοί. λίθοι μεγάλοι, διὰ τὸ μέγεθος οὐ δυνάμενοι βασταχθῆναι

ῥυτόν· ποταμηδόν ⟨ῥυδόν?⟩. πολύ, μέγα. ἑλκυστόν

ῥύτορας· τοὺς θαλλοὺς τοὺς καθαρτηρίους

ῥῦτρα· λυτήρια, σωτήρια, σῶστρα

†ῥύτρυς· χύτας

COD. 86 ῥύμα ⟨ῥυμινά, ἐλαφρὰ πυκνὰ Theognost. 23, 31⟩ 90 λαιγγάστας 93 ὁμαδλ. τοθήκη 95 περὶ — στήμονα καὶ σταθμίον καλοῦσιν 507 ῥυποκαν 11 σμι| ⟨21 χρυσίς⟩ 22 γερεοῖς 32 μὴ — ἔλω — πόλος 37 ῥύτο 41 ῥύτρα

HES. 96 ῥυμός· τάξις. ἢ ἐμμέλεια 99 ῥύονται (Ι 396)· σώζουσιν 500 ῥύπαν (ζ 93)· ῥύπον, πίνον 12 ῥῦσαι· φύλαξαι (Ω 430). ῥυτίδας ἔχουσαι ⟨ῥυσαί Ι 503⟩ 13 ῥύσατο (ψ 244)· ἠλευθέρωσεν, ἐλυτρώσατο (Greg. Naz. C. XVIII 18) Ad 25 ῥυσιάζοντες· ἐνεχυριάζοντες 26 ῥύστης (Ps. LXIX [LXX] 6)· σωτήρ, λυτρωτής 34 ῥυτῆρσι (Π 475)· λώροις, ἱμᾶσι 35 ῥυτίδα· σπίλον (Ephes. V 17) 36 Ῥύτιον (Β 648)· πόλις

ῥύτωρ (cf. Aesch. Sept. 318)· σωτήρ. βοηθός. ὁλκεύς

ῥύψαι· σμῆσαι, σμῆξαι. πλῦναι. λοιδορῆσαι. ῥοφῆσαι (Iones). καθᾶραι

ῥύψις (Plat. Tim. 65E)· κάθαρσις, καθαρισμός

ῥυψόμεθα· καθαρισόμεθα. ῥοφησόμεθα

ῥωγάδες (cf. Nic. Th. 389)· κρημνοὶ διεσχισμένοι

ῥωγαί· ῥήξεις. καὶ ἀπορρωγαί, ἀπο(ρ)ρήξεις

ῥωγαλέα (υ 435)· διεσχισμένα. (κατερρηγμένα) [50]

ῥῶγας· οἱ μὲν τὴν ὀρσοθύραν· οἱ δὲ τὴν ἐκτομάδα. οἱ δὲ τὰς θυρίδας· ἄλλοι τὰς κλίμακας, καὶ αὐτοὺς τοὺς βαθμοὺς τῶν κλιμάκων. ῥωγάδας·

ἀνὰ ῥῶγας μεγάροιο (χ 143)

ῥωγμός· †ὄγκος. κοῖλος τόπος. ῥῆξις ⟨694⟩

ῥώδιγγες· πληγαὶ ὕφαιμοι διακεκομμέναι. οἱ δὲ μώλωπες ⟨591⟩

ῥῳδιόν (Hipponact. fr. 63)· τὸν ἐρῳδιόν

ῥώεσθαι· σπεύδειν. ὁρμᾶν

ῥώεται· σπουδάζει

ῥώθυνες (Aeoles)· μυκτῆρες

ῥώκομαι· ὀργίζομαι. λυποῦμαι. Λάκωνες

ῥώκωσα· πρίουσα τοὺς ὀδόντας

ῥῶμα· ῥώμην, ἰσχύν. ὅρμημα. ὡς γνῶμα γνώμην

ῥωμαλέος· ἰσχυρός, ἀνδρεῖος. ὑγιής. γενναῖος. θρασύς [ad 62]

ῥώμη· δύναμις, ἰσχύς. ὄγκος. ὑγεία. ἀνδρεία [63]

ῥώνιξις· ποταμίας νεὼς εἶδος

ῥ' ὤνιος· ἄξιος. πλούσιος [66]

ῥώξ (Archil. fr. 190)· κόκκος. ἢ εἶδος φαλαγγίου (Nic. Th. 716)

ῥώοντο (Σ 411)· ὥρμων, ἐρρωμένως ἐκινοῦντο, ὁρμὴν ἐλάμβανον

ῥωπάς· εἶδος φυτοῦ ἱμαντώδους

ῥῶπες (Hom.)· τὰ δασέα τῶν φυτῶν. καὶ θαμνώδης ὕλη. ἢ εἶδος λύγου [71]

ῥωπεύειν· ῥωποπωλεῖν. ἤδη δὲ καὶ ἐπὶ τοῦ μεταβάλλεσθαι ⟨cf. ἐρωπ⟩ [73]

ῥωπικόν· τὸ ἐπίκτητον καὶ ὡραϊσμένον

ῥωπικά· τὰ παρεμπορεύματα

Ῥωπῖτις· τῶν τριττυῶν τις καὶ πατριῶν οὕτω καλεῖται [77]

ῥωποπώλης· ὁ ῥῶπον πωλῶν. Ῥῶπον δὲ ἔλεγον τὸν λεπτὸν καὶ ποικίλον φόρτον

ῥῶπος (Aesch. fr. 256)· ῥωπικόν. ἀντὶ τοῦ οὐδενὸς ἄξιον. ὁ γὰρ ῥῶπος λεπτὸς φόρτος, ἤγουν μίγματα, χρώματα, ὅσα ζωγράφοις, βαφεῦσι, μυρεψοῖς χρησιμεύει

ῥωρός· σφοδρός, καὶ τὰ κάρτα ....

ῥωσαμένω· ῥωσάμενοι. δυϊκῶς

ῥώσασθαι (cf. Call. Del. 175)· ἐπιθέσθαι, ὁρμῆσαι, ἐπείγεσθαι

ῥῶσθαι· σπουδάζειν

ῥωσθείς (Plat. Symp. 210 D)· ἰσχύσας, ὑγιάνας τὴν διάνοιαν

ῥῶσις (Theophr. de vent. § 23)· ὑγεία

ῥωστήρ· σφῦρα ⟨cf. ῥαιστήρ⟩

ῥωστήριον· φρενῶν (Trag. inc.) κίνημα, καὶ παρορμητικόν ⟨573⟩. Ῥῶσαι γὰρ τὸ εἰς ἀλκὴν παρορμῆσαι

ῥωστικόν· ὁρμητικόν

ῥῶστρον· ἔμβολον

ῥῶται· ἵσταται

ῥώτιγγες· πληγαὶ ὕφαιμοι διακεκομμέναι ⟨553⟩

ῥώχειν· βρύχειν τοῖς ὀδοῦσι ⟨559⟩

(ῥωχμάδας·) ῥωγάδας. ῥαγάδας γῆς

ῥωχμοῖς· ῥήξεσιν, ἢ ῥηγμοῖς

ῥωχμός (Ψ 420)· βάθος γῆς

ῥώψ· βοτάνη ἁπαλή

Σ

Σᾶ (Eur. fr. 762)· σῶα, ὑγιῆ, ἀκέραια. καὶ ἀντωνυμία δευτέρου προσώπου (γ 92)

(σααμα [Lacones]· σησάμη) cf. 115

σαβάζειν· εὐάζειν, βακχεύειν [3. 4]

Σαβάζιος (Ar. Lys. 388)· ἐπώνυμον Διονύσου. οἱ δὲ υἱὸν Διονύσου· καὶ Σάβον ἐνίοτε καλοῦσιν αὐτόν. Φρὺξ δὲ ὁ Σαβάζιος

COD. 44 σμῖξαι 47 ῥογάδες 49 ῥωγ. κατερρηγκέα 51 ῥώγας — ἀναρώγας 59 ῥωκῶσα 63 cf. ἐπιρρώπια 65 ῥώνιος 67 σφαλ| cf. ῥόγαν 68 ὥρμουν 74 ὡραῖον 76 ῥωπῆ τις — τριπτῶν 79 ἄριος. ὁ γὰρ λεπτὸς ῥῶπος ἤγουν ὁ φόρτος μίγματα 80 cf. ῥᾶρος 85 cf. ἐπίρρωσις 93 ὁρμηστικόν Σ 5 σαβὸν

HES. 49 ῥωγαλέον (Β 417)· διερρωγότα. κατατετρυμμένον. ῥακώδη Ad 62 ῥωώδης 63 ῥώνια· φρύγανα ⟨ῥωπήϊα⟩ 66 ῥώννυσιν (LXX)· ὑγείαν παρέχει 71 ῥωπήϊα (Ν 199)· τόπος, ἐν ᾧ οἱ ῥῶπες φύονται. ἢ οἱ σύμφυτοι τόποι 73 ῥωπητήριον· παρορμητήριον ⟨ῥωστ—⟩ 77 ῥωποπῶλαι (Nehem. III 31. 32)· μυροπῶλαι Σ 3 σαβά (Genes. X 28)· αἰχμαλωσία 4 σαβέκ· ‚ἐν φυτῷ σαβέκ' (Genes. XXII 13). βάτος

σαβακός (Hippocr. II p. 210 K)· ὁ σαθρός. Χῖοι
σαβακτίδες· ὀστράκινα ζῴδια
σαβακῶς· αὐστηρῶς, ξηρῶς ⟨261⟩, τραχέως
σαβάξας· διασκεδάσας, διασαλεύσας
σαβαρίχην (Teleclid. fr. XXI)· τὸ ......
†σάβειρος· σάβειρος, σάβειος, κόραξ
†σαβῆρον· τὸ δακτύλιον
σάβηττοι· κώνωπες ⟨1316⟩
σάβος· βακχεία
σάβυττος· εἶδος ξυρήσεως εἰς καλλωπισμόν· πότερον δὲ τοῦ πώγωνος, ἢ τῆς κεφαλῆς, ἄδηλον. τινὲς δὲ τὸ γυναικεῖον
σάγαρις· πελέκιον μονόστομον. †φαρέτρα. ἄροτρον (Xen. An. IV 4, 16 Herod. VII 64)
?σάγανα· σκεπάσματα. περιβόλαια [18—22]
σαγγάδην (Persae)
(Σαγγάριος [Γ 187]· ποταμὸς Λυδίας καὶ Φρυγίας)
σάγδας (Aristoph. p. 1027)· εἶδος μύρου. ἢ ψάγδας ⟨q. v.⟩
σάγη (Menand. et Trag.)· ἡ ὅλη πανοπλία. ἢ περιβόλαιον, σκέπασμα
(σάγην·) τὸν θύλακον· ἄλλοι δὲ σάκταν λέγουσιν ὁδοιπορικὸν θύλακον
σαγηνεύειν (Herod. VI 31)· θηρεύειν. αἰχμαλωτίζειν. ἢ ἁλιεύειν
σαγηνεύσαντες (Herod. III 149)· τοὺς πολιορκηθέντας δικτύοις ἔθος .... †οἷς καὶ σαγηνεύειν τοῦτο Ἕλληνες
σαγήνη· πλέγμα τι ἐκ καλάμων εἰς θήραν ἰχθύων [Λάκωνες
†σαγείρετον· μετακλέπτην
σαγίς· πήρα
†σαγλῶδες· πλαδαρὸν σῶμα
σάγμα (Eur. Andr. 617)· τὸ ἔλυτρον τῆς ἀσπίδος
σάγος· μέρος τι τῆς πανοπλίας
σάγουρον· γυργάθιον
Σάγραι· ἔθνος Αἰθιόπων ⟨251⟩
†σαγροῖς· κοπίς. ἢ πέλεκυς
σαγύριον· ἄρτου κλάσμα ⟨σάγυρι?⟩
σάθα· μόρια [39]
σαθαρυγά· ταραχή [41]
σάθη (Archil. fr. 95)· τὰ ἀνδρεῖα ἀναγκαῖα
σαθρά· ἀσθενῆ. κεκλασμένα
σάθραξ· φθείρ
σάθων (Teleclid.)· ὑποκόρισμα ἐπὶ παιδίων ἀρρένων, ἐπὶ τοῦ αἰδοίου [46]
†σαικίς· δειλός ⟨480⟩ [48. 49]
σαικωνίσαι (Ar. Plut. 681)· διασαικωνί(σαι, τὸ κινηθῆναι ἁπαλῶς)
σαίνει· κολακεύει, προσηνεύεται. τινάσσει. ἀσπάζεται. θωπεύει [52]
†σαινικρίζει· ἐκτρέφει
σαίνουροι καὶ σαινουρίδες· οἱ τὰς οὐρὰς συνεχῶς κινοῦντες ἵπποι καὶ κύνες ⟨176. 513. 1261⟩
Σάϊοι· πολέμιοι. νεκροί. καὶ ἔθνος, οἱ πρότερον Κίκονες (Archil. fr. 6) [56]
σαίρει· κοσμεῖ, φιλοκαλεῖ, καλλύνει
σαίρειν· σαροῦν, κοσμεῖν
†σαιρός· σαρός
†σαῖς· κοῦρος, κάρος
Σαισαρία· ἡ Ἐλευσὶν πρότερον
σαιστός· ἐλαία θλαστή ⟨56⟩
Σακάδ(ε)ιον· εἶδος μουσικοῦ ὀργάνου
Σάκαι (Herod. VII 64)· οἱ Σκύθαι
σάκαια (Ctesias)· ἡ Σκυθικὴ ἑορτή
σάκαν· τὸ τῆς γυναικός
Σάκας (Ar. Av. 30)·

ἡμεῖς γάρ, ὦ 'νδρες οἱ παρόντες ἐν λόγῳ,
νόσον νοσοῦμεν τὴν ἐναντίαν Σά(κᾳ)

οὕτω δὲ προσαγορεύει διὰ τὸ ξένος εἶναι· οἱ γὰρ Σάκες Θρᾷκες
Σάκας ἀφικνεῖ (Cratin.) [69. 70]
σακέσπαλος (Ε 126 Call. Iov. 71)· πολεμιστής
σάκε' ὤμοισι κλίναντες (Λ 592)· κεραμιδώσαντες
σακκίζειν· ἐπὶ τοῦ ἐκκενῶσαι διὰ κλοπὴν τοὺς σάκκους· †ὁποῖόν φασι τοῖς ἐργάταις [74]

COD. ⟨6 Κῷοι?⟩ 9 διακευάσας 12 ἄβηρος· δάκτυλος Cyr. Dr. 15 ξυρῆς 23 σαγάδην Post 23] 25b 36 κόνις 38 μοίρα 40 σαθάρυγα, ταραχή 42 σάθει 45 cf. ἀνδροσάθων ⟨48 δοῦλος Bocolice?⟩ 50 σαικωνῆσαι, διασαικώνη .... (cf. 46) 55 σαϊοί 64 σακαιοί 65 σακαία 67 σάθρες 68 σάκασα· σαφήνεια Post 73] ὡσεὶ — λέγει

HES. 18 Σαγάριος (Γ 187)· ποταμὸς Λυδίας καὶ Φρυγίας 19 σαραβάρια (Antiphan. III p. 115)· βρακία ⟨190⟩ 20 σαδδαεί (Ezech. I 24)· εἰ κακοῦ ⟨ἱκανοῦ⟩ 21 σαβαώθ (צבאות)· στρατιῶν 22 σαβαώθ· παντοκράτωρ 39 σαθεύει· θάλπει ⟨στα—⟩ 41 σάθεα· τὰ ἀσθενῆ ⟨43⟩ 46 σαί· τὸ κινηθῆναι ἁπλῶς 48 σαίκτας· θύλακας, μαρσίππους. ἔνιοι αὐλοθήκας ⟨82⟩ 49 σαίκουλουμ· χρόνος, σάκκος. Ῥωμαῖοι 52 (σαίνεται 1 Thess. III 3·) κινεῖται, σαλεύεται, ταράττεται 56 σεπτὸς ἢ σεπτή· ἐλαία θλαστή ⟨62 et Pausan. II 28, 2⟩ 69 σακέλα· ὅπου τὸ χρυσίον τίθεται 70 σακέλιον· ὁμοίως 74 σάκκινον· λεπτόν, ἀσθενές ⟨σύκινον⟩

σακκινόσυκοι· δασύπρωκτοι

σακοδερμιστής (Soph. fr. 573)· ὄφιν σάκος ἔχοντα. οἱ δὲ σκώληκα, παρ' ὅσον δερμιστὴς οὗτος. βέλτιον δὲ τὸ(ν) χαλκοῦν ἔχοντα δέρμα νοεῖν .... (ὡσεὶ ἔλεγε χαλκοδερμιστής. τὰ γὰρ σάκη ἐπίχαλκα λέγει)

σάκοιτοι· οἱ ἱστῶντες τὸν κέραμον ⟨1054⟩

σάκος· ἀσπίς. ἀφ' οὗ καὶ οἱ νεώτεροι σάγην τὴν πανοπλίαν φασί

σάκος αἴγειος· ἀντὶ τοῦ τεῦχος αἴγειον. θέλει δὲ εἰπεῖν τὴν πήραν, κατὰ μετάληψιν [80]

σάκταρον· τοῦτο ἐμφερές ἐστι κόμμει, γεννώμενον ἐν τῇ Ἰνδικῇ, διαλυτικόν

σάκτας (Ar. Plut. 681)· ὁ θύλακος ⟨25b 48⟩

σακτῆρος· θυλάκου. ἔλεγον δὲ καὶ σάκταν

σακτός· ὁ τεθησαυρισμένος. ὁ πολυχρόνιος, καὶ ἤδη ἀποκείμενος. καὶ χιτῶνος εἶδος. καὶ θύλακος

σακυνδάκη· ἔνδυμα Σκυθικόν

σάκωσε (Dor.)· κατέκλεισεν

σάλα (Aeschyl. fr. 312)· φροντίς. βλάβη ⟨90⟩

Σαλαβακχώ (Arist. Eqq. 765)· πόρνης ὄνομα. ἀπὸ δὲ ταύτης καὶ τὰς καταφερεῖς εἰς τὰ Ἀφροδίσια οὕτως ἔλεγον Ἀττικοί

σαλαβάρ· μάγειρος. Λάκωνες

σαλάβη (Soph. fr. 985)· [ad 90] θύρας ὀπή ⟨101. 137⟩ [ad 90]

σαλάβους· θυρῶν ὀπάς

σαλαγεῖ· ταράσσει. ἡ γὰρ φροντὶς σάλα λέγεται

σαλαγή· βοή

σάλαγξ· ἰχθῦς †ἀγαθός. καὶ μεταλλικὸν σκεῦος

(......) ὡσεὶ ἔλεγε σιδηροπλά(σ)της

σαλαΐζειν (Anacr. fr. 167)· κόπτεσθαι

σαλαϊσ(μός)· κωκυτός

σαλακύρων· εὐήθων

σαλάκων (Aristot. 1221, 35)· ὁ πτωχὸς ἀλαζών

σαλακωνία· ἡ ἐν πενίᾳ ἀλαζονεία

σαλακωνίσαι· σαλακωνεῦσαι. ἔλεγον τοὺς διαθρυπτομένους σαλάκωνας· ἀπὸ τοῦ ἁβρῶς καὶ μετὰ θρύψεως βαδίζειν. ὁ δὲ Θεόφραστος σαλάκωνά φησιν εἶναι τὸν δαπανῶντα, ὅπου μὴ δεῖ

σαλάμβη (Soph. fr. 985. 6)· ἡ ὀπή, δι' ἧς τὸ σέλας βαίνει. ἡ πύλη. καπνοδόχη. θυρίς ⟨90. 137⟩ †ἡ τροφός

Σαλαμβώ· ἡ Ἀφροδίτη παρὰ Βαβυλωνίοις

Σαλαμίν· νῆσος

(Σαλαμινία (Ar. Av. 147)· μία τῶν ἱερῶν νεῶν

Σαλαμίνιος (Ar. Eccl. 38)·

σαλάννη· φαρέτρα

σαλαχθέν· σεισθέν

σαλάξαι· κατακλύσαι. κινῆσαι

σαλέη· σάλη. βλάβη

σαλεύειν· ῥιπτάζεσθαι

σαλητόν· Σοφοκλῆς Ἀνδρομέδᾳ (fr. 123). Ἀντίπατρος βαρβαρικὸν χιτῶνα. οἱ δὲ καὶ μεσόλευκον (Poll. VII 61) αὐτὸν εἶναί φασι

σαλία· πλέγμα καλάθῳ ὅμοιον, ὃ ἐπὶ τῆς κεφαλῆς φοροῦσιν αἱ Λάκαιναι. οἱ δὲ θολία

†σαλιβάσσα· τῇ θαλάσσῃ ἀπελθούσῃ [113]

†σαλιᾶ· ἀρκεῖ ⟨129⟩ [15]

†σάλλα· δρυσοφύουσα

†σάλλινον· φρόντισμα

Σάλμοξις (cf. Herod. IV 94)· ὁ Κρόνος. καὶ ὄρχησις. καὶ ᾠδή

Σαλμυδησός (Soph. Ant. 969)· αἰγιαλὸς περὶ τὸν Εὔξεινον πόντον

σάλος· φροντίς, ταραχή. κλύδων, καὶ ἡ τῆς θαλάσσης κλύδωνος κίνησις

σαλοῦσα· φροντίζουσα

σάλπη· ἰχθῦς ποιός, ὃν καὶ βοῦν καλοῦσιν

σαλπιγκτής· ὁ τῆς σάλπιγγος φωνοβόλος

σάλπιγξ· †σιγηνοσάλπιγξ. ἀντὶ τοῦ κῆρυξ. τινὲς δὲ ὄρνιν ποιόν. καὶ ὄργανον πολεμικόν. καὶ θαλασσίαν σάλπιγγα. παρὰ Ἀρχιλόχῳ (fr. 191) δὲ τὸν στρόμβον. ἐκδέχονται δὲ καὶ Σάλπιγγος Ἀθηνᾶς ἱερὸν παρὰ Ἀργείοις

σαλπι(σ)τής· ὀρνεόν τι

σαλυγά· ἡ συνεχὴς κίνησις ⟨v. ψαλίς⟩

σαλυγήν· τὴν γινομένην κίνησιν ἐκ τῆς καταφορᾶς τοῦ ἀτράκτου οὕτω καλεῖσθαί φασι

†σάλω· ἀρκεῖ. παρὰ Ῥίνθωνι ⟨114⟩

σαλῶος· ὁ πεφροντισμένος. ἡ γὰρ φροντὶς σάλα

COD. ⟨75 σακκόκυσοι?⟩ 75 |πρακτοι 76 σακκ| — σάκκη 78 σάνη 79 αἴγειον 81 κώμη, γενόμενον 92 σαλάγη 99 ἀλαζωνεία 100 σαλακῶνα φησὶ 7 καταχλῆσαι 8 σαλέης, ἄλη 10 ἀντὶ πατρὸς ἡ ⟨cf. σάρητον⟩ 20 σαλμύδης 22 σάλουσα 25 σάλπιγγας, Ἀθ| 27 |ύγα 28 |ύγην

HES. 80 σακοφόροι (Eur. Phoen. 139)· ὁπλοφόροι Ad 90 καὶ φροντίς ⟨σάλα⟩ 113 σάλιξ· ἰτέα. Ῥωμαῖοι 15 σάλμα ⟨σαᾶμα⟩· σησάμη

σᾶμα (Theocr. I 125)· μνῆμα, Δωριεῖς δὲ στοιχεῖον ⟨155⟩
σάμαινα· εἶδος νεώς, ὑὸς ἔχουσα προτομήν
σαμαίνεται· σφραγίζεται. παρὰ Ἐπιχάρμῳ
σαμάκια· κοσμαρίου εἶδος
σάμαξ (Lysippus)· ὕλη τις δρυώδης, οἷον βούτομον. οἱ δὲ φορμόν (Eratosth.). καὶ οἱ πλείους (σάκταν) ἀπὸ τοῦ σάττεσθαι. ἔνιοι δὲ τὴν βούτομον καλεῖσθαι σάμακα. καὶ τοξικὸς κάλαμος. ἀφ' οὗ τὰ λεπτὰ συνάγοντες στιβάδια ποιοῦσιν
†σαμβά· ὀσφῦς. ὀφρῦς [37]
σάμβαλα (Sappho, Callim.)· σάνδαλα ⟨415⟩
σαμβύκη· οὐ μόνον τὸ μουσικὸν ὄργανον, οὗ μέμνηται Ἰόβας· ἀλλὰ καὶ πολιορκητ(ικ)όν, οὗ Βίτων
σάμεα· τὰ ἐν ταῖς ὤαις τῶν ἱματίων παράσημα. Λάκωνες
σαμένορα· τὸν βραβευτὴν τῶν σφαιριζόντων
σάμερα· σάμερος. σήμερον
σάμερον (Call. LM. 45)· σήμερον, νῦν [Ταραντῖνοι [44]
Σαμία· εἶδός τι ἀμπέλου
Σαμία γῆ· ἰατρικὸν μῖγμα, ὅμοιον τῇ †ἱερᾷ τριαδικῇ
Σαμιακὸς τρόπος (Cratin. fr. XI p. 24)· δύο δηλοῖ ἡ λέξις· ἓν μὲν τὸ ἐπὶ διαβολῇ τῶν Σαμίων θρυλλουμένων ὡς κατεαγότων· ἕτερον δέ, ὅτι αἱ λεγόμεναι Σάμαιναι ναῦς κατέστρωντο δι' ὅλου. Δίδυμος δὲ τὰς Σαμαίνας ἰδιαιτέραν παρὰ τὰς ἄλλας ναῦς τὴν κατασκευὴν ἔχειν· εὐρύτεραι μὲν γάρ εἰσι τὰς γαστέρας. τοὺς δὲ ἐμβόλους σεσίμωνται, ὡς δοκεῖν ῥύγχεσιν ὑῶν ὁμοίως κατεσκευάσθαι, οἷον ὑοπρώρους εἶναι. διὸ καὶ ἐπὶ τ(οι)αύτης λέγεται (Choerili?)·
ναῦς δέ τις ὠκυπόρος Σαμία ὑὸς εἶδος ἔχουσα
σαμίθη· ῥόφημά τι, ὡς Γλαυκίας ὁ ἰατρός
σαμινά· θαμινά. συνεχῶς. Λάκωνες
Σαμίων ὁ δῆμος· φησί τις παρὰ τῷ Ἀριστοφάνει, τοὺς ἐκ τοῦ μυλῶνος ἰδὼν Βαβυλωνίους (fr. II p. 972)·
Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος·
καταπληττόμενος τὴν ὄψιν αὐτῶν, καὶ ἐπαπορῶν. ἔστι δὲ καὶ ἑτέρα ἱστορία, δι' ἣν πολυγράμματον ἔφη δῆμον· ἐπειδὴ Ἑλλήνων Σάμιοι πολυγράμματοι ἐλέγοντο πρῶτοι καὶ χρησάμενοι καὶ δι(α)δόντες εἰς τοὺς ἄλλους Ἕλληνας τὴν διὰ τῶν τεσσάρων καὶ εἴκοσι στοιχείων χρῆσιν
σάμμα· ὄργανον μουσικὸν παρὰ Ἰνδοῖς [52]
Σαμονία· οἱ δὲ Σαμορινία· ἡ Ἔφεσος
σαμυλίς· ἡ πρόπολις ὑπὸ τῶν μελισσουργῶν ⟨1290. 1240⟩
σαμφόρας (Ar. Eqq. 603)· σαμφόραι ἵπποι λέγονται, οἷς ἐπικεχάρακται τὸ C στοιχεῖον. τοῦτο γὰρ σὰν ἔλεγον .... ⟨131⟩
σαμψοῦχος· πλείστη γίνεται ἐν Αἰγύπτῳ. ἄλλοι δὲ μάραθον καλοῦσιν αὐτήν
†σαμώση· κεραυνώσῃ (Eur. El. 1140)
σάναπτιν· τὴν οἰνιώτην. Σκύθαι ⟨schol. Apoll. Rhod. II 948⟩
?σανδαράχη· χρώματος εἶδος
σανδαία· τροπὴ ἀπὸ γῆς. ἔνιοι δὲ τὸν λίβα ἄνεμον
σανδάλια (Theopomp. com. p. 809)· σάνδαλα· γυναικεῖα ὑποδήματα, ἃ καὶ βλαυτία. καὶ ἰατρικὸς ἐπίδεσμος σανδάλιον
Σανδαλιῶτις (Timaeus)· ἡ Σαρδὼ πάλαι
σανδαράκη· τροφή τις τῶν μελισσῶν, ὡς Ἀριστοτέλης (HA. IX 40). καὶ εἶδός τι μεταλλικόν
Σανδαροφάγος· ὑπὸ Ἀλεξάνδρου ποταμὸς μετωνομάσθη, καὶ ἐκλήθη Ἀκεσίνης
σάνδυξ· δένδρον θαμνῶδες, οὗ τὸ ἄνθος χροιὰν κόκκῳ ἐμφερῆ ἔχει, ὡς Σωσίβιος. ἡ φάρμακον ἰατρικόν. καὶ κιβωτός
†σανθείς· αἰσθόμενος, γνούς [67]
(Σ)ανίκετις· θεοφιλής
σανίς (Callim. fr. 105)· θύρα. λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. τίθεται δὲ καὶ ἐπὶ τοῦ (σ)ταυροῦ
†σάνιτρα· τροφός, τιθήνη
σαννάδας· τὰς ἀγρίας αἶγας

COD. 32 σαμαίνα 34 σαμακία 35 στιβάδα 39 σαμβάκη — Βήτων ⟨41 σαμάντορα — Ταραντῖνοι?⟩ 47 σαμέναι — τασσόμενος ἰδιαιτέραν — σεσήμονται ὡς δοκῶ — ἰχθυοπρώρους 150 φησὶ τὶ περὶ τῶν ἀριστοφάνους — ἐγένοντο 52 ἢ — οὗ ⟨53 Imo Σάμορνα; cf. Αἱμονία et Ἄρτεμι Σ.⟩ 56 σάμψουχας 59 σανδαλαράχη 62 σανδαλώπη Post 64 καὶ εἶδος κτλ.

HES. 37 σάμβαι· θύραι ⟨90⟩ σάμβαλα 44 Σάμη (α 246)· πόλις Κεφαλ(λ)ηνίας 52 Σάμου ὑληέσσης Θρηικίης (Ν 12. 13)· τῆς Σαμοθράκης. ἄλλοι τῆς πρὸς Θράκῃ Σάμου, ἢ ὁμωνύμως λέγεται καὶ τὸ ἐν αὐτῇ ὄρος. οὐ μνημονεύει, ἀλλὰ πάντοτε αὐτὴν Σά[λα]μον καλεῖ, καὶ οὐδέποτε Σαμοθράκην κατὰ σύνθετον 67 σανίδαι (Μ 461)· θύραι

σάννιον (Cralin.)· τὸ αἰδοῖον, ἀντὶ τοῦ κέρκιον· [ad 72] τὸ γὰρ αἰδοῖον ἐσθ' ὅτε οὐρὰν ἔλεγον, ὡς Εὔπολις (fr. inc. LXXXVI)

σαν(ν)ιόπληκτος· αἰδοιόπληκτος

σαννίς· †δρυοσάνδραξ. Θούριοι

σάννορος· μωρός, παρὰ Ῥίνθωνι. Ταραντῖνοι [76]

σάξαι καὶ σάττειν· νάξαι. ν(ά)σσειν

σάξασθαι· ὁπλίσασθαι [ad 78]

σαοῖ (Call. Del. 22)· βοηθεῖ, καὶ σώζει

σαοσίμβροτος· ὁ σώζων ἀνθρώπους [81]

Σάπαι· ἔθνος Θρᾴκιον

σαπέρδης· ὄνομα ἰχθύος. οἱ δὲ ταρίχου εἶδος. ἄλλοι ὑπὸ Ποντικῶν τὸν κορακῖνον ἰχθύν

σάπιθος· θυσία. Πάφιοι

σαπρία· σῆψις, σάθρωμα. τυδράκιν [86]

σαπρόν· παλαιόν. αἰσχρόν, ἀκάθαρτον

σαπύλλειν· σαίνειν. Ῥίνθων

?σάμφαρος· μωρολόγος

σαράβαρα (Antiphan. com. p. 115)· τὰ περὶ τὰς κνημῖδας ἐνδύματα ⟨19⟩

σάραβος· τὸ γυναικεῖον αἰδοῖον ⟨10⟩

σάραγος· ὑπηρέτης ὁ σαρῶν τὰς δημοσίας στοάς

Σάραπις ⟨110⟩· Περσικὸς χιτὼν μεσόλευκος, ὡς Κτησίας· καὶ διαρρηξαμένη τὸν σάραπιν καὶ τὰς τρίχας καθειμένη ἐτίλλετό τε καὶ βοὴν ἐποίει. καλεῖται δὲ καὶ ὁ Πλούτων οὕτως

σαραπίους· τὰς μαινίδας. Περγαῖοι [95]

σαραχηρώ· παρὰ Βηρώσῳ ἡ κοσμήτρια τῆς Ἥρας

σαργάναι· δεσμοί, καὶ πλέγματα γυργαθώδη ⟨322⟩ σχοινίων ἀγκυράγωγα

σάργανος· ὁ ἀγροῖκος

†σαρδαναπαλᾶ· ἀλλοιᾶ (Cyrill. Br.)

Σαρδανάπαλ(λ)ος (Ar. Avv. 1021)· πάντες σχεδὸν ἁπάσης ἀκολασίας καὶ τρυφῆς δοῦλον τοῦτον ἀναγράφουσι γεγονέναι. καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ ἐν τῇ Ἀσσυρίᾳ ἐν Νίνῳ φασὶν ἐπιγεγράφθαι Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλ(λ)ος .... γεγόνασι δὲ δύο Σαρδανάπαλ(λ)οι

σαρδανάφαλλος· γελωτοποιός

σάρδιον (υ 302)· βοτάνη ἐστὶ δηλητήριος, ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν σπασμῷ ὑποβάλλει, ὡς καὶ τῶν χειλέων τοῦ στόματος συσταλέντων ἐκ τοῦ τοιούτου σπασμοῦ γυμνοῦσθαι λοιπὸν καὶ τοὺς ὀδόντας, καὶ γέλωτος φαντασίας δείκνυσθαι τοῖς ὁρῶσιν. ἔνθεν τὸ Σαρδόνιος γέλως (Plat. Civ. 337 A)

σαρδόνες· ἐν κυνηγετικῷ (VI, 9) μέρη τινὰ δικτύων δηλοῦνται

Σαρδόνιος γέλως· ὁ καθ' ὑπόκρισιν ἢ ἐπὶ κατάρᾳ ἐρριμμένος γέλως. ἢ ὑποκοριστικῶς Σαρδόνιος γέλως. οἱ τὴν Σαρδόνα κατοικοῦντες τῷ Κρόνῳ ἔθυον γελῶντα(ς) καὶ ἀσπαζόμενοι ἀλλήλους· αἰσχρὸν γὰρ ἡγοῦντο δακρύειν καὶ θρηνεῖν· τὸν οὖν προσποιητὸν γέλωτα κληθῆναι Σαρδόνιον. τινὲς δὲ ἀπὸ Σαρδόνος τῆς νήσου. φύεται γάρ τις βοτάνη ἐνταῦθα, ἧς οἱ γευσάμενοι μετὰ σπασμοῦ καὶ γέλωτος ἀποθνήσκουσιν. ἄλλοι τὸν καθ' ὑπόκρισιν γινόμενον γέλωτα Σαρδόνιον καλεῖν εἰώθασιν, ἀπὸ τοῦ σεσηρέναι τοῖς ὀδοῦσιν

†σάρδοντα· διαπίπτοντα

σαρδώ· ἐν Πασιφάῃ (Alcaei com.) τὸ σαρδόνιον ἡ σφραγὶς εἴρηται

Σαρδώ (Call. Del. 21)· νῆσος μεγάλη, πλησίον Ἀφρικῆς, ἡ καὶ Σαρδών

σάρητον (Soph. fr. 132)· ὁ σάραπις, εἶδος χιτῶνος ⟨110⟩

?σαρκῶν· σπερμολόγος

σάρι (Theophr. HP. IV 9)· φυτόν τι γινόμενον ἐν τοῖς κατ' Αἴγυπτον ἕλεσιν

σαρίν· ὀρνέου εἶδος, ὅμοιον ψάρῳ ⟨ψαρίῳ⟩

σαρίρ· κλάδος φοίνικος Λάκωνες

σάρισα (Theophr. HP. III 11, 2)· δόρυ μακρόν, εἶδος ἀκοντίου Ἑλληνικοῦ, σπάθη βαρβαρική. Μακεδόνες

σαρκάζει· μειδιᾷ, εἰρωνεύεται, καταγελᾷ. ἀπὸ τοῦ σεσηρέναι

σαρκάζων· μετὰ πικρίας γελῶν

σαρκάσας· μετὰ πικρίας ἢ ἠρέμα τὰς τῶν χειλίων σάρκας διανοίξας, γελάσας

σαρκήρη στάχυν (Trag. inc. 206)· τὸν ἐκ σαρκῶν συνηρμοσμένον, καὶ οὐκ ἐκ

COD. 77 θάπτειν 83 καρκίνον 88 σαπυλλεῖν 93 πλάτων 96 |ήρω 97 σχοινίον ἀγυράτωγα 202 σαρδόνιον γέλως 3 σάρσονες — μέρει 4 τὴν σάρδον 6 σαρδῶ — |φα.. 7 σαρδών — σαρδώνη 8 καὶ εἶδος 10 σαρίν, σαρόν φ. 13 σάρισσα 17 σαρκήρης — τῶν

HES. 76 σάνουροι· τὰς οὐρὰς σαίνοντες .... ⟨54. 513. 1261⟩ Ad 78 πλήσασθαι 81 σαόφρων (δ 158)· σώφρων 86 σαπριοῦσι (Eccles. XI)· σήπουσι 95 σαραφίν· γνώσεως πληθυσμός, ἢ σοφίας χύσις

κριθῶν συνεστῶτα, †οἷον (Ἴων) ἄνθρωπον [218]

σαρκοκόλ(λ)α· φυτοῦ δάκρυον

σαρκῶν (Hipponact. fr. 133)· σεσηρώς

σάρματα· καλλύσματα. καὶ κόπρια παρὰ Ῥίνθωνι

σάρμοι· θερμοί. Καρύστιοι (430)

σαρμός· σωρὸς γῆς. καὶ κάλλυσμα. ἄλλοι ψάμμον, ἄλλοι χόρτον

σάρον· Ἴων Ἀργείοις (fr. 9)· ὡς παλαιὸν †ἀκίσσαρον. βαρυτονητέον, ὡς παρὰ Σώφρονι. θέλει δὲ λέγειν, ὅτι ἄχρηστοί εἰσι διὰ τὸ γῆρας

σάρον· κάλ(λ)υντρον. Βυζάντιοι

σαρός (Berosus)· ἀριθμός τις παρὰ Βαβυλωνίοις [ad 26]

Σαρπηδόνιον (Aesch. Suppl. 869)· τὸ μέγα. καὶ ἡ ἐν Θρᾴκῃ καὶ Κιλικίᾳ πέτρα ὑψηλοτάτη

Σαρπήδοντος (M 379)· Σαρπηδόνος. ἅλις δὲ ταύτῃ χρῆται τῇ γενικῇ Σαρπήδοντος. ἔστι δὲ Αἰολικὴ ἀπὸ εὐθείας τῆς Σαρπήδων

Σαρπηδών· κόσμος τῶν θεῶν, ἀπὸ μέρους. ἔστι δὲ ἀπὸ λίθου σαρπηδονίου καλουμένου. καὶ ὄνομα κύριον

Σαρπηδὼν ἀκτή (Soph. fr. 42)· ἀντὶ τοῦ Σαρπηδονία. τόπος δὲ οὗτος Θρᾴκης, ἀεὶ κλύδωνας ἔχων καὶ κυματιζόμενος, ἱερὸν Ποσειδῶνος

σάρπους· κιβωτούς. Βιθυνοὶ δὲ ξυλίνους οἰκίας

†σαρρυφθεῖν· μωραίνειν (cf. ὑῤῥάφθαι)

σάρσαι· ἅμαξαι

†σαρσίτει· χορὸς πρὸς μύλον ποιούμενος τὴν χορείαν. Λάκωνες

σαρῶ· κοσμήσω

σάρων· λάγνος. τισὶ δὲ τὸ γυναικεῖον

σαρῶνες· τὰ τῶν θηρατῶν λινά

Σαρωνία Ἄρτεμις· Ἀχαιὸς Θησεῖ (fr. 17). ἀπὸ τοῦ ἐν Τροιζῆνι Σαρωνικοῦ κόλπου

†σασαλαγεῖ· θρηνεῖ (95. 96)

σαρωνίδες (Call. Iov. 22)· πέτραι. ἢ αἱ διὰ παλαιότητα κεχηνυῖαι δρύες

σάτρα· σηπία (σᾶστρα· σηλίαι?)

σάσαι· καθίσαι. Πάφιοι (σᾶσαι· καθαρίσαι?) [43]

σαταρίδες· σαταρνίδες. κόσμος κεφαλῆς γυναικεῖος (252)

σᾶτες· τὸ ἐπ' ἔτος. Δωριεῖς

σάτιλλα· πλειὰς τὸ ἄστρον

σατίναι (Anacr. fr. XIX 12)· αἱ ἅμαξαι

Σατνιόεις· ποταμὸς ἐν Λελεγείᾳ (Φ 87). οἱ δὲ Λέλεγες Καρῶν γένος, πλησιόχωροι αὐτοῖς ὄντες. ἔστι δὲ καὶ Κιλικίας ποταμός

σατός· ἐπ' ἔτος

σατράπαι· ἀρχηγοί, στρατηλάται. Περσικὴ δὲ ἡ λέξις

Σατρ†ιάς· ἔθνος Αἰθιόπων (35)

σάττα· κάλυμμα κεφαλῆς γυναικείας (244)

?σατήοραι· σκάφαι βοτρύων, παρὰ Λάκωσιν [54]

σατύραν· καταφερῆ

σατύριον· πόα τις συνεργὸς πρὸς τὰς Ἀφροδισίας ὁρμάς. καὶ ζῷον (Aristot. HA. VIII 5) τετράπουν, ἢ λιμναῖον

σάτυροι (Eur. Bacch.)· μορφαὶ ἀπρεπεῖς

σάτυρος· ἡ ἔντασις. ἢ χορευτής

†σαυᾶδαι· σαῦδοι. Ἀμερίας τοὺς σειλείνους οὕτω καλεῖσθαί φησιν ὑπὸ Μακεδόνων

σάνη· ὁ κόσμος Βαβυλώνιος (—οι)

σαυκόν· ξηρόν. Συρακούσιοι (8)

σαυκρόν· ἁβρόν. ἐλαφρόν. ἄκρον [63]
[64] τρυφερόν. σεμνόν. σοβαρόν

σαυκρόποδες· ἁβρόποδες

σαῦλα (Simonid. Am. fr. 18)· κοῦφα. ἥσυχα. τρυφερά

σαῦλον· ἁβρόν. κοῦφον. ἄκρον. τρυφερόν. Ἀττικοί

σαυλοῦσθαι· τρυφᾶν, θρύπτεσθαι, ἐναβρύνεσθαι

σαυλῶ (—οῦ)· θρύπτου

σαύλωμα· θρύμμα [71]

σαυνά· ἁπαλά

σαυνίον· ἀκόντιον βαρβαρικόν. καὶ σαθρόν, χαῦνον, ἀσθενές (288), παρὰ Κρατίνῳ (fr. inc. CXXII)

σαύρα· τὸ ἑρπετὸν ζῷον (Theocr. II 58). καὶ ἰχθῦς μέγιστος, σαῦρος (Arist. HA. IX 2)

COD. 23 κάλυμμα 26 cf. ἀρῶς 27 δραισήκῃ 28 ἀεὶ 29 ἀπὸ μέρους τῶν θεῶν 31 βυθινοί 35 κοσμίζω 38 τρυζῆνι 40 κεχηνηδρύες; cf. σορ— σωρ— et ἀρχωνίδας 45 σατεῖς 46 πηλείας 47 σατῖναι, αἱ ἀμάξαι 48 σατνισόεις 49 ἐπετός 62 cf. ψαυκρὸν 65 cf. ψαυκρ— 66 σαυλά 67 σαυλόν — ἀβρόν 74 σαῦρα — σαυρός

HES. 218 σαρκοβόρα (Greg. Naz.)· σαρκοφάγον Ad 26 [ἢ κάλυντρον] 43 σάτον (Matth. XIII 33)· σιτικὸν μέτρον (263) 54 σαττίν (Iosu. II 1)· ὄνομα τόπου 63 σάτων· μόδιος γέμων, ἤγουν ἓν ἥμισυ μόδιον Ἰταλικόν 64 σαυαρόν· ἁβρόν. ἐλαφρόν. ἄκραν] 71 σαυλάτηρ· δορατοθήκη (280)

Σαῦραι (Hecataeus, Herod. VII 110)· ἔθνος Θράκιον

σαυρῖται· εἰδός τι ὄφεων

σαυρίγγη· πόα τις. καὶ τὸ ζῷον ἡ σαύρα

σαυροβριθὲς ἔγχος (Trag. inc. fr. 207)· ἐκ τοῦ σαυρωτῆρος βαρύ. καὶ Αἰσχύλος (fr. 329) ὀπισθοβριθὲς ἔγχος ἔφη

σαυρωτή· ποικίλη

σαυρωτήρ· τὸ ἔσχατον σιδήριον τοῦ δόρατος. δηλοῖ δὲ καὶ στάθμην. †κεστόν

σαυρωτῆρες· τοῖς (σ)τύραξιν τῶν ὀπίσω τῶν δοράτων, ἤτοι σιδήρου τοῦ δόρατος

σαυρωτῆρος· τοῦ σιδηρίου (Κ 153)

σαυρωτοῖς δόρασι· τοῖς σαυρωτῆρας ἔχουσι κατὰ τῆς ἐπιδορατίδος

σαύσακας· τυροὺς ἁπαλοὺς εὐτρόφους. καὶ δοκοῦσι δὲ οὗτοι (εὐ)επιφόρους ποιεῖν πρὸς συνουσίαν

σαυσαρόν· †ψιθυρόν

†σαυσιαλεῖ· μαστιγᾶται. Ἠλεῖοι

σαυτορία· σωτηρία. Ἀμερία(ς) ⟨306⟩

σαυχμόν· σαχνόν, χαῦνον, σαθρόν, ἀσθενές ⟨273. 296⟩

σάφα (Eur. Or.)· σαφῶς, φανερῶς, λαμπρῶς

σαφές· τὰ αὐτά

σαφηνιεῖ· ἑρμηνεύ(σ)ει

σαφήνισον· ἑρμήνευσον

σαφήτωρ· μάντις ἀληθής, μηνυτής, ἑρμηνεύς

?σάγματα· φορτία ⟨σαχ—⟩

?σαγμίς· ἡτοιμασμένος ⟨σαχ—⟩

σαχνόν· ἀσθενές, χαῦνον ⟨288⟩

σαψίς· ὁ ἀγαθὸς δαίμων, παρὰ Ἀράβοις

σάω (Π 363 Callim. ep. XXXIII)· σῷζε, σῶσον

σαώζει (Cyprii)· σῴζει

Σαωκίς· ἡ Σαμοθρᾳκη οὕτως ἐκαλεῖτο τὸ πρότερον

σαωμένα· θεωροῦσα

σαώς· ἥλιος. Βαβυλώνιοι [303. 4]

σαώτερος (Α 32)· ὑγιέστερος. σῶος. ὑγιής. ἢ σωτηριώτερος. ἀπὸ πρωτοτύπου **σάος** Αἰολικοῦ

σαωτηρία· σωτηρία ⟨287⟩ [7—11]

σέβας· τιμή. θαῦμα. θάμβος, ἔκπληξις. αἰδώς (Σ 178)

σεβάσμιον· τιμητόν, προσκυνητόν [14]

σεβαστός· προσκυνητός, τιμητός

σεβέννιον (Archigenes med.)· τὸ ἐπ' ἄκρῳ τῷ φοίνικι φλοιῶδες γινόμενον

σεβερός· εὐσεβής, δίκαιος

σέβεσθαι (Eur. Or. 347)· αἰδεῖσθαι, ἐντρέπεσθαι. προσκυνεῖν. αἰσχύνεσθαι

σέβηται· λατρεύηται. ἢ αἴδηται

σεβιστόν· τιμητόν

σέβις· πυξίς ⟨421⟩

σεγάνιον· γυργαθῶδες ⟨197⟩ πλέγμα παρὰ Ῥοδίοις

σέδας· καθέδρας ⟨σέλλας⟩

σε(.)έλλισαι· Φρύνιχος ἐν Κρόνῳ (p. 584)· ἄγαμαι Διονῦ σοῦ στόματος, ὡς σε(σ)έλλισαι κεκόμπακας πολλάκις. Αἰσχίνης τις ὑπῆρχε, Σέλλου καλούμενος, ἀλαζὼν καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος καθ' ὑπερβολήν, ὡς τοὺς παραπλησίους τούτῳ καλεῖσθαι ..... ⟨438⟩ [25]

σέθεν (Α 180)· σοῦ. ἰσοδυναμεῖ δὲ αὐτῷ καὶ τὸ **σεῦ** καὶ τὸ **σέο** καὶ **σεῖο**· τὸ δὲ καθ' Ὅμηρον τοῦ σοῦ σύναρθρον·
μνῆσαι πατρὸς σεῖο (Ω 486)
καὶ σοῖο ἢ ἐκ σοῦ

σεῖα· ἐδίωξα. Βοιωτοί ⟨458⟩

σεῖν· θεῖν. Λάκωνες

†σεῖναι· θεῖναι. Κρῆτες

?σείεις· ἐξαπατᾷς. Ἀττικοί [31. 32]

σειομένους· καθαλλομένους [34—36]

σειραί· πλέγματα, ἡνίαι, ἢ πλεκτοὶ ἱμάντες [38]

σειραφόρον (Aesch. Ag. 1640)· ἡγεμονικόν. μετῆκται δὲ ἀπὸ τῶν δεξιοσείρων ἵππων

σειρήν (Θ 19. 25)· ἀναδέσμην. καὶ μέλιττα (Arist. HA. IX 40), ἡ μελίττης οἶκος. καὶ ὀρνιθάριόν τι ποιόν. καὶ ἱμάτιον ἀσπάθητον λεπτόν [41]

COD. 76 σαυρίται 84 **σαυσάκας** 93 **σαφῆτορ** 99 ut καλήζω 301 |ένη 5 |τύπου **σωσηῶ** 17 **σέβερος** 21 πηξίς 24 χρονίω — |λίσαι κεχομμένα 26 ὀμηροῦν 28 **σείν**· θείν litus?) 40 **σείρη** ἡ ἀναδέσμη

HES. 303 **σαώσεις** (Α 83)· σώσεις 4 **σάωμεν** (Χ 175)· σώσωμεν 7 **σαόφρονα** (Φ 462)· σώφρονα 8 **σβέννυται** (Prov. X 7)· κατασβέννυται 9 **σβέσαι**· παῦσαι (Π 621), κατασβέσαι (Ι 678?) 10 **σεαυτόν**· τοῦ σοί 11 **σέβαμα** (Iesai. XVI 8)· ἐπιστροφὴ πονηρά 14 **σεβάσσατο**· σεβαστὸν ἡγήσατο (Ζ 167), ἐτίμησεν, ἐνετράπη (Ζ 417) 25 **(Σ)εδέκ** (Iesai. XVI 7)· πό(λις) Μωαβιτῶν. ἑρμηνεύεται δὲ μελέτησις 31 **Σειθονίη** (Herod. VII 122)· ἡ Θεσσαλία 32 **σεῖο** (Γ 137)· σοῦ ἢ τοῦ σοῦ 34 **σείνεται**· κακοποιεῖ 35 **σεῖο φονήσας** (Σ 336)· τοῦ σοφόνεος 36 **σεῖον ζυγόν** (γ 486)· ἀπὸ τοῦ παρακολουθοῦντος, συνεχῶς καὶ ἐπιτεταμένως ἔτρεχον 38 **σειραχθῆσαι**· χρεῶν ἀποκοπαί 41 **σειρή**· ἅλυσις, δεσμός

σειρῆνες· οἱ λεπτοὶ καὶ διαφανεῖς χιτῶνες

σειριᾷ· φλεγμαίνει, καροῦται

σειρίδας (Xen. Venat. IX 13. 19)· τὰς σειράς (426)

σείριος· ὁ ἥλιος. καὶ ὁ τοῦ κυνὸς ἀστήρ

Σειρίου κυνὸς δίκην· Σοφοκλῆς (fr. 732) τὸν ἀστρῷον κύνα. ὁ δὲ Ἀρχίλοχος (fr. 63) τὸν ἥλιον. Ἴβυκος (fr. 3) δὲ πάντα τὰ ἄστρα [47—50]

σειρόν· τὸ ἀνδρεῖον, θέριστρον. Σικυώνιοι

σειροφόρος· †οἰωνὸς ἡγεμονικός

σεῖσαι· συκοφαντῆσαι. ἀπὸ τῶν τὰ ἀκρόδρυα σειόντων [54]

σεισάχθεια· Σόλων χρεῶν ἀποκοπὴν δημοσίων καὶ ἰδιωτικῶν ἐνομοθέτησεν, ἥνπερ σεισάχθειαν ἐκάλεσε, παρὰ τὸ ἀποσείσασθαι τὰ βάρη τῶν δανείων

σεισμός (Thuc. III 89)· τρόμος

σεισό†φελος· †τὸ τῶν τροχίλων εἶδος

σείσων (Alexid. com.)· ἄγγος κεραμεικόν, ἐν ᾧ τοὺς κυάμους φρύγουσιν

σεῖφα· σκοτία. Κρῆτες

σεκάνες· πόρρωθεν (σέκασα)

σεκούα· σικύα

†σεκουάνη· ἐλαίας εἶδος. Λάκωνες [63]

σελαγίζει· αἴθεται, φλέγεται. ἀπὸ τοῦ σέλας (Greg. Naz. Arc. VI 4?)

σελαγεῖται (Ar. Nubb. 286)· τὰ αὐτά

σέλαιναι· λαμπάδες

σελάοντες (Nic. Th. 691)· λάμποντες

σέλας· φῶς, αὐγή. πῦρ, φλόξ, φέγγος τοῦ πυρός, λαμπρότης. ἢ καθέδρα(ς) (Lacon.)

?σελάσει ⟨—αγεῖ⟩· φλέγει, λαμπαδίζει

Σελ(.)ασία· Ἄρτεμις

Σελ(.)ασία (Xen. Hell. II 2, 13)· τόπος τῆς Λακωνικῆς, ὅθεν εἰκὸς κληθῆναι τὴν Ἄρτεμιν

σέλας πυρός (Δ 559)· ἡ λαμπρότης τοῦ πυρός, περιφραστικῶς· ἔνθεν καὶ σελήνη, παρὰ τὴν λαμπρότητα τὴν περὶ αὐτὴν γινομένην τοῦ ἡλίου·

εἵατο πεντήκοντα (σέλα) πυρὸς αἰθομένοιο

σελασφόρος (Aesch. Eum. 1022)· λαμπροφόρος ⟨λαμπαδο—⟩

†σελάτης· κοχλίας

σελάχιον (Aristot. HA. III 1)· κόμμα ἰχθύος. ἢ τὰ σελάχια λεγόμενα. τινὲς δέ φασι· σελάχη λέγεται, ὅσα ἄποδα ζωοτοκεῖ. Σέλαχος δὲ λέγεται τὸ ἐκ τοῦ σελαχίου ψαρίου

σελάχη· εἴδη θαλασσίων θηρίων

σελαχίας· εἶδος ἰχθύων (οὐ) μεγάλων

σελευκίς· εἶδος ἐκπώματος, ἀπὸ τοῦ βασιλέως κληθέν. καὶ ὑπόδημα γυναικεῖον. καὶ ὄρνεον ἀκριδοφάγον

σελήνας (Eur. fr. 352)· πόπανα, τῷ ἄστρῳ ὅμοια πέμματα

σεληνίς· φυλακτήριον, ὅπερ (δέρης) ἐκκρέμαται τοῖς παιδίοις [81]

σελίαρ· φοίνιξ

σελίδες· τὰ μεταξὺ διαφράγματα τῶν διαστημάτων τῆς νεώς. καθάπερ καὶ ἐν τοῖς βιβλίοις, τὰ μεταξὺ τῶν παραγραφῶν

σέλινον· τὸ γυναικεῖον

σελινουσία· κράμβης εἶδος

σελίνου στέφανος· πένθει προσήκων. διὰ τοῦτο καὶ ἐν τῷ Ἰσθμικῷ ἀγῶνι στεφάνῳ ἐχρήσαντο αὐτῷ (Duris)

σελίς· πτυχίον, (ἡ) καταβατὸν βιβλίου

Σελλάδαι· γένος Ἰθαγενῶν (ἔνδοξον)

†σελληγορεῖ· εὐχερείας ἀναφώνημα

Σελλήεις (Β 659)· ποταμὸς Θεσπρωτίας, ἀφ' οὗ καὶ τὸ ἔθνος Σελλοί, καὶ ἄλλο(ς) τῆς Τρῳάδος. οἱ δὲ ἀναγινώσκοντες κατὰ συναλοιφὴν

ἀμφὶ δέ σ' Ἕλλοί (Π 234)

οὐχ ὑγιῶς ἀκούουσι τὸ ἔθνος

Σελληϊάδεω (Archil. fr. 102)· Σελλέως υἱὸς ὁ μάντις, Βατουσιάδης τὸ ὄνομα

σελλίζεσθαι· ψελλίζεσθαι. τινὲς δὲ σελλίζει· ἀλαζονεύει

σέλματα (Archil. fr. 5, 1)· τὰ ζυγὰ τῆς νεώς· ἢ τὰ ἀπὸ τοῦ ζυγοῦ εἰς τὸν ζυγὸν διαστήματα. ἢ αἱ καθέδραι τῶν ἐρετῶν, καὶ συναρμογαὶ τῶν σανίδων [94]

σελμίς· δρμιὰ τριχίνη. καὶ τὰ ἴκρια

COD. 42 |ῆναι 57 cf. τινακτοπήληξ 61 σεκούανα 68 cf. κασέλα 72 σέλας φῶς πυρὸς ἢ — εἰάτου 75 εἰσὶν ὡς τοκεῖ 79 ὅμοιον, ἀπέμματα 80 |ᾶται 84 γύναιξ 86 προσήκειν Post 87 ἢ ἔνδοξον 90 σελλὴς — ἀμφίοις σελλοὶ 91 σελληΐδέω, σελέως 92 φιλ|

HES. 47 σειροὶ ἐπαύλεις 48 σειρῆνες· οἱ μὲν ἔξω γυναικὸς φασι μελῳδούσας, ὁ δὲ Ἀκύλας (Iesai. XIII 21) στρουθοκάμηλον 49 σειρομάστης (Iudic. V 8)· εἶδος ἀκοντίου (425) 50 σειρομαστῶν (Iudic. V 8)· δορυφόρων. καὶ εἶδος λόγχης 54 σείσατο (Θ 199)· ἐσείσθη 68 σέκρετον· συνέδριον 81 Σελαπιάδαο (Β 693)· Σεληπίου υἱοῦ 94 σέλμενοι (Μ 38)· γενόμενοι (ἐελμένοι· στενόμενοι)

σελμῶν· σανίδων [ad 96] [97]

σέλπιδες· σχεδίαι

σέλπον· σίλφιον

Σελχροί· Πέρσαι

σεμαλία· ῥάκ[κ]η. Ἀργεῖοι

σεμέλη· τράπεζα. παρὰ δὲ Φρυνίχῳ (trag. fr. 21) ἑορτή

σεμελοι†ρίδαι· οἱ ἄνευ κελύφους· οὓς ἔνιοι λίψακας ⟨ψίλ—⟩

σέμελος· κοχλίας

σεμίαρ· χιτών. ἡ πλὰξ ἀντὶ στέγης ἐπικείμενος, ὡς Λάκωνες

Σεμίραμις (Theocr. XVI 100)· περιστερὰ ὄρειος Ἑλληνιστί

σεμνὰ τῆς σῆς παρθένου μυστήρια· Σοφοκλῆς τὰ ἄρρητα, καὶ ἀνεξήγητα μυστήρια

σεμναὶ θεαί (Thuc. I 126, 7)· τὰς Εὐμενίδας οὕτως ἔλεγον, καὶ Ἐρινύας ἐπὶ εὐφημισμῷ

σεμνή· τιμία. σώφρων [410]

σεμνολόγημα· ......

σεμνόν· κατάστυγνον, καὶ ἥσυχον. δηλοῖ δὲ καὶ ἔνδοξον, καὶ θαυμαστόν, καὶ ἄξιον ἐντροπῆς, καὶ μέγα ⟨506⟩, καὶ ἕξιν ἔχον

σεμνύνεσθαι (Eur. fr. 916)· κομπάζεσθαι, μέγα φρονεῖν. λαμπρύνεσθαι

σεμνυνόμενος (Ar. Ran. 1020)· κομπάζων, μέγα φρονῶν. λαμπρυνόμενος

σέμπαλα· ὑποδήματα ⟨138⟩ [15a]

σεπτά· θαυμαστά, σεβάσμια

σεπτεύειν· σέβειν

σεπτευομένης· εὐχομένης, σεβομένης [19]

σεπτόν (Aesch. Prom. 813)· ἔντιμον, ἅγιον, σεβάσμιον, σεβαστόν

σεπυΐς· πυξίς ⟨321⟩

σεργοί· ἔλαφοι

†σερήτιον· ἡ σερίς [24. 25]

σερίδες· σειραί ⟨314⟩

†σερίζω· στηρίζω. στηρίζομαι ⟨ἐρίδω⟩

Σέριφος· Ἀριστοφάνης (fr. CCXLVIII) τὴν Λακεδαίμονα Σέριφον. ἔστι δὲ καὶ πόα σέριφος λεγομένη

σέρκος· ἀλεκτρυών. καὶ ἀλεκτορίδες σέλκες

σερμοί (Laced.)· θερμοί ⟨222⟩

σερός· †χθές. Ἠλεῖοι

σέρτης· γέρανος. Πολυρρήνιοι ⟨2779⟩

σέρφοι (Ar. Avv. 82)· οἱ πτερωτοὶ μύρμηκες

†σές· ἔλαθες. Πάφιοι

σέσακται· ἔσταλται. καθὸ καὶ ἡμεῖς τὴν στολὴν σάγην λέγομεν

σεσαλαγμένον [ad 36]

σεσάχθαι· ἐσκευάσθαι, καθοπλίζεσθαι. Σάγη γὰρ ἡ καθόπλισις

σεσέλλισαι (Phrynich. com. p. 584)· ...... ἀλαζονεύεσθαι καὶ σκώπτειν, ἀπὸ Αἰσχίνου τοῦ Σελλοῦ ⟨324⟩

σέσελι (Theophr. IX 15, 5 Alexis)· πόα τις

σεσήκασμαι· †πεπλάνημαι

σέσηλοι (Epicharm.)· κοχλίαι. Λάκωνες

σεσημασμένον (Dem. 999, 16)· ἐσφραγισμένον [43]

σεσηπυῖα· διερρωγυῖα

σέσηρε· γελᾷ δολίως. ψύχει τοὺς ὀδόντας (γελῶσα)

σεσηρέναι· γελᾶν προσποιητῶς

σεσηρυῖαι· γελῶσαι κατὰ θυμοῦ, ἢ ἐν ὑποκρίσει, ἢ προσποιητῶς

σεσηρώς· κεχηνώς. διηνοιγμένον, ἀνοικτὸν ἔχων στόμα

σεσιμωμένος (Aristot. p. an. IV 2)· ......

σεσοβημένος· τεθορυβημένος, ἄτακτος τῇ κινήσει, τεταραγμένος

σέσοψ· ποιὸς ἰχθῦς

σεσύανται· ὡρμήκασιν

σέσυφος· πανοῦργος [54]

σεσωσμένος· γυναικὶ συγγεγονώς

?σεπτηρία· καθαρμός. ἔκθυσις [57. 58]

σεῦαι· (ἀ)πελάσαι. ἐλάσαι. διῶξαι. ἢ ὁρμὴν ἐμβαλεῖν [60]

σεύας· παρορμήσας. διώξας·
σεύας ἐκ πεδίοιο (Ο 681) [62]

COD. 403 κελίφους 8 ἐριννύας 15 σέμπαδα 17 σεύειν 18 ἐγχομένης 21 σεπτυΐς 33 σερφοί 38 σεσελίσθαι [ως] 39 σεσέλη 41 σισῆλοι 44 διαρρηγυῖα 45 γελῶσα post 46 48]ός bis 61 σευάσας

HES. Ad 96 ἀνταπόδοσις (LXVII [VIII] 15) 97 Σελοί· ἔθνος ἐν Δωδώνῃ. ἢ πτωχοί 410 σεμνεῖον (Philo II p. 475, 15)· οἶκος ἱερός 15a Σέξ[ε]στος· ὄνομα κύριον 19 σεπτοί (Ι 493)· μεταβαλλόμεναι ⟨στρεπτοί⟩ 24 σερί· ζωστήρ 25 σειρομάστης (Iudic. V 8)· εἶδος (ἀ)κονταρίου ⟨349⟩ Ad 36 σεσαγμένον, διατεταγμένον 43 σεσηνομένον ⟨σεσιλλω—⟩· διασεσυρ†ημένον 54 σεσωρευμένα (II Tim. III 6)· βεβαρημένα 57 σεῦ (Β 27)· σοῦ 58 σεῦα (Υ 189)· ἐδίωξα 60 σευάμενος (Χ 22)· ὁρμήσας, καὶ τὰ ὅμοια 62 σεῦε (Ζ 133)· δίωκε

σεύει· διώκει [64]
σεύεσθαι· ὁρμᾶσθαι, διώκειν [66]
σευομένη· πορευομένη, ὁρμῶσα [68]
σεχές· τοῦ Ἑρμοῦ ἀστήρ. Βαβυλώνιοι
σέψασθαι· σεφθῆναι. θαυμάσαι
σέων (Hermipp. Ar. Lys. 731)· σητῶν
σῆ (Lacon.)· τρέχε
σηγᾷ (Lacon.?)· σιωπᾷ
σηδόν· γλαυκὸν ἔλαιον ⟨1808⟩
†σηδρακεῖ· κτυπεῖ
σῆκα· οὕτως ἐπιφθέγγονται οἱ ποιμένες εἰς τὸ συγκλεῖσαι τὰ ποίμνια [77]
†σηκανατὰ καὶ χλουρὰ ῥαβδία [79]
σηκίς (Ar. Vesp. 768)· οἰκογενὴς δοῦλος, ἢ δούλη. οἷον ἐκ τοῦ σηκοῦ ⟨47⟩
σηκοί (ι 219)· αἱ μάνδραι, αἱ ἐπαύλεις. ἀπὸ τοῦ τὰ εἰσαγόμενα σῶα μένειν
σηκοῖς· ὁμοίως
σηκολόαι· λησταί
σηκοκόρος (ρ 224)· ὁ τὴν ἐπιμέλειαν τῶν σηκῶν ποιούμενος, ... ὅθεν καὶ νεωκόρος [ad 84]
σηκός (Simonid. 4, 6)· οἶκος. τάφος. ναός. μάνδρα. ἐνδότερος τόπος τοῦ ἱεροῦ
σηκύλλαι· αἱ ταμίαι παιδίσκαι
σηκῷ· οἴκῳ, ἐν ᾧ ἔφηβοι γυμνάζονται. ἢ βαθεῖ τόπῳ
· σηκωτήρ· ὁ ἀναφορεύς τοῦ ζυγοῦ [89. 90]
σήλια· τὰ μικρὰ πιθάρια. καὶ σκεῦος ἀρτοποιητικόν ⟨σηλία⟩
σῆμα· τάφος. μνῆμα. ἢ ναοῦ εἶδος [ad 92]
σημαία· σημεῖον [ad 93] [94]
σημαίνειν· [ad 95] δεικνύειν. δικάζειν. βουλεύεσθαι. σαλπίζειν
σημάντορες (τ 314)· ἐπιτάκτορες, βασιλεῖς, ἡγεμόνες· ἀπὸ τοῦ σημαίνειν, ὅ ἐστι προστάσσειν. ἡνίοχοι. ἐπιστάται
σήμαντρα (Eur. IT. 1372)· σφραγῖδες
σημασία· φανέρωσις (διὰ σάλπιγγος)
ταυτί (Ar. fr. XV p. 957)· ταῦτα. ἢ τοῦτο [67]

ταύτῃ τοι· οὕτω δή

ταυτό· ταυτόν, τὸ αὐτό

ταυτοέπειαι· ταυτολογίαι

COD. 7 cf. θαρρία 13 ταρτησίαισι, γάλαις (cf. γαλῇ T.) 15 συνηχῆ 18 ποδὸς — βλαστ.., 19 ταρφίεντα 27. 28. cf. στερχανά et τέρχνεα 42 cf. τεγγύρος, τετάργη, τιτύρας 43 τατώμενα· στερωμένη ⟨826. 980⟩ 44 ταῦγε ταῖς 45 ταυληρόντα 47 πόμα, ἀπὸ αἰγειταύρου ποταμοῦ Σοφοκλῆς Τροίζηνα πάρα καὶ κτήνη 49 ταυρίηδα, κεφαλὴ καὶ π| 52 ταυροπῶλαι 53 παιδαρέατην 56 ταυροχολία — κουζίκω 57 ταύρω 59 ταῦς

HES. 211 τάρταρος (Θ 481)· ὁ ὑπὸ τὴν γῆν κατώτατος τόπος 15a ταρφέας (Ο 472)· ...... 17 ταρφεῖς· θεωροί. θαυμαστοί ⟨273⟩ Ad 18 ἢ βλαστός (Genes. XLIX 9?) Ad 19 [ἐντάφια] 20 ταρφῆες· κτερισταί. ἀγχιστεῖς ⟨275⟩ 21 ταρφίαι (τ 357)· πυκναί, συνεχεῖς 22 ταρφήϊα· ἐντάφια ⟨276⟩ 23 τάρφθεν (ζ 99)· ἐτέρφθησαν 31 ταρχύσωσι (Η 85)· τὰ αὐτά ⟨cf. ἀρχύσωσι et ἐταρχύσωσι⟩ 33 τὰς οὐ τλαγάς (Eur. Hec. 160)· τὰς οὐχ ὑπομονητικάς 34 τὰς οὐ φερτέρας (Eur. Hec. 160)· τὰς οὐ φορητάς Ad 36 τὰς κέλλας 37 τὰ στίγματα (Galat. VI 17)· τὰ παθήματα, τὰ ἕλκη 39 τά τ' ἐόντα (Α 70)· τανύοντα 41 τά τ' ἐσσόμενα (Α 70)· τά τε μέλλοντα 46 ταυρείην (Κ 258)· ἐκ ταυρείου δέρματος κατεσκευασμένην περικεφαλαίαν 67 ταυτί· ταῦτα. τοῦτο [ὁμοιότης

σφενδόνην (Plat. Civ. 359 E)· τοῦ δακτυλίου τὸ περιφερές. ἡ σφραγίς

σφέρτα· τὰ ἄφορα δένδρα (ἄφερτα?) [74]

σφετέρησι (α 7)· ταῖς αὐτῶν
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο

σφετερίζει εἰς ἴδιον κέρδος (κε)χηνώς

σφετεριζόμενος (Dem. 248, 12)· ὑφαιρούμενος. ἰδιοποιούμενος

σφετερίζων· ἰδιοποιούμενος, καὶ προσλαμβανόμενος [79—83]

Σφήκεια (Xenagor.)· ἡ Κύπρος τὸ πρότερον. καὶ τὰ τῶν σφηκῶν κηρία (σφηκεῖα)

σφηκίσκος (Ar. Plut. 301)· τὰ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους λέγουσιν· ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἄγαν ἔχουσι. καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους καὶ .. προκοιλίους ......

σφηκισμός· εἶδος αὐλήσεως εἰρημένον ἀπὸ τῆς ἐμφερείας τῶν βομ(β)ῶν

σφηκίωσις· κηρία σφηκῶν

σφηκοί (Soph. fr. 26)· οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι. ἔνιοι δὲ ῥωμαλέους

?σφηκῶν· ποικίλων

σφηκὸς λόφου· τὸ ἄκρον τοῦ λόφου, τὸ ἐπὶ τῶν ὤτων ἀποκρεμάμενον τοῦ λόφου, τῆς περικεφαλαίας τὸ συνεσφιγμένον. Λόφουρον δέ, οἷον λόφου οὐράν [91]

σφήκωμα (Ar. Pac. 1216)· πύκνωμα. καὶ ὁ δεσμός

σφῆλαι· πλανῆσαι. βλάψαι (.σαλεῦσαι. κινῆσαι)

σφήλειεν· ἀποτυχεῖν ποιήσειεν

σφηλόν· λοξόν. πυκνόν. εὐκίνητον. Ἄσφηλον δὲ τὸ ἀκίνητον (2865)

σφηνεύς (Euthyd.)· ἰχθύς ποιὸς θαλάττιος

σφηνούμενος· στρεβλούμενος [98—2900]

Σφήττιοι· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς

σφί· ἑαυτῷ ἢ ἑαυτῇ

σφί(γ)κται (Cratin.)· οἱ κίναιδοι, καὶ ἁπαλοί

σφιγκτήρ· χιτών. Ταραντῖνοι

σφίδες· χορδαὶ μαγειρικαί (1511)

σφίδη· χορδή [7]

σφίσιν (Hom.)· ἑαυτοῖς [ad 8]

σφισίμολος· διαφορὰ τῆς κινήσεως

σφόδελος· ἡ ἄλιμος δασὺ ἄνθος †ἄρχον σκιερόν. οἱ δὲ σῖτον

σφοδελοφόρους· τοὺς μετοίκους

σφόδρα· πάνυ, πολύ, ἄγαν, λίαν

σφοδρόν· ἔντονον. ἰσχυρόν. ὀξύ. στιβαρόν. εὔτονον. χαλεπόν [14]

10 σφονδύλη (Ar. Pac. 1077)· ὅμοιόν τί φασι †σαλαφίῳ εἶναι, ὀσμὴν φαύλην προϊέμενον, εἴ τις ἅψεται αὐτῆς

σφόνδυλος (Ar. Vesp. 1489)· τράχηλος

σφόνδυλοι· αἱ ἁρμογαὶ τῶν μελῶν. καὶ οἱ τῶν φυτῶν πυθμένες. ἄλλοι τὰς δικαστικὰς ψήφους. καὶ τὰ τῆς ῥάχεως ὀστᾶ. καὶ τῶν σκορπίων αἱ ἐπὶ τῶν κέντρων περιγραφαί (Nic. Th. 781. 797)

†σφορτάν· λιμόν [19]

20 σφραγῖδες· αἱ ἐπὶ τῶν δακτυλίων, καὶ τὰ τῶν ἱματίων σημεῖα

σφραγιδονυχαργοκομήτας (Ar. Nub. 331)· τοὺς ἔχοντας σφραγῖδας ἐν τοῖς δακτυλίοις ὄνυχας λίθους, καὶ κομῶντας

σφραγίς· χελώνη. καὶ ὁ ἐν τῷ δακτυλίῳ λίθος, ἡ σήμαντρον

?σφηρός· τὸ τοῦ ἱματίου σημεῖον

σφριαί· ἀπειλαί, ὀργαί

σφριγᾷ· περιτέταται, περιτείνε(τα)ι. ἄλλοι

30 σφύζει, πλήρης τυγχάνει. μάλιστα δὲ ἐπὶ θηλείας, εὐσωματεῖ (Ar. Nub. 799), ἀκμάζει, νεάζει, καπριᾷ (Lysistr. 80)

σφριγανόν (Hippocr.)· ἀκμαῖον. δαψιλές σφοδρόν [27]

σφριγῶντα· ἐπαιρόμενα, ἰσχύοντα

σφριγῶσα· πεπυκνωμένη, συνεστηκυῖα, ἰσχύουσα

σφυγμός· φλεγμονή. κυρίως δὲ ὁ παλμὸς τῶν ἀρτηριῶν

40 σφυδρά· ἡ περιφέρεια τῶν ποδῶν

σφυδῶν· ἰσχυρός, εὔρωστος, σκληρός

σφύζει· πηδᾷ, φλεγμαίνει. καίεται. ἅλλεται ἡ φλέψ

σφῦρα· ἐργαλεῖον τεκτονικόν, ἡ χαλκευτι-

COD. 90 ὁρᾶν (σφήκωμα λόφουρον?) 2902 ἑαυτοῦ ἢ ἑαυτῆς 17 ἁμοργαί 21 |γους, κομήτας 25 πλήρεις 28 σφριγόντα (non Aesch. Prom. 380) 33 στέλλεται ἡ 34 σφύρα

HES. 74 σφέτερα (α 274)· ἴδια αὐτῶν 79 σφέτερον (Ρ 287)· τὸ αὐτῶν ἴδιον 80 σφετρίδες· ἐπιβλήματα (ἐφεστρίδες) 81 σφέων (Σ 311)· αὐτῶν 82 σφῇ (Λ 90)· αὐτῇ 83 σφήσι (Δ 162 α 34)· ταῖς ἑαυτῶν 91 σφή, σαλεῦσαι, κινῆσαι. σφῆλαι 98 σφῆς (Π 18)· τῆς ἑαυτοῦ 99 σφῇσι (Δ 162)· ταῖς αὐτῶν (2883) 2900 σφῇσιν· αὐταῖς, ἡ αὐτοῖς 7 σφίν· αὐτοῖς, ἡ αὐτούς, ἡ αὐτάς Ad 8 ἡ ταῖς ἑαυτῶν (α 34) 14 σφοῖσι (Ξ 202)· τοῖς αὐτῶν 19 σφοῦ (Α 534)· τοῦ αὐτοῦ, τοῦ ἰδίου [ἡ τῆς αὐτῆς] 27 σφριγῶν (Greg. Naz. p. 483 B)· ἀκμάζων, νεάζων, αὔξων

κόν (ἢ ἡ παρά τισι λεγομένη κέστρα (q. v.), ἰχθῦς θαλάσσιος)

σφυρά (Δ 147)· τὰ περὶ τοὺς ἀστραγάλους, αἱ περιφέρειαι τῶν ποδῶν. ἢ τῶν ὀρῶν τὰ ἐπίπεδα καὶ κατώτατα (Pind. P. II 46)

σφυράδες (Ar. HA. VII 8)· τὰ διαχωρήματα τῶν αἰγῶν καὶ προβάτων. οἱ δὲ σπυράδας

σφυρήλατος (Theocr. XXII 47)· σφύραις ἐληλα[σ]μένος, οὐ χωνευτός

σφυρήματα· τὰ σιδήρια, ὅτι οὐ χεῖται

σφυροδέται· ἡ λέξις παρὰ τοῖς τὰ ἱπποτροφικά

σφυρόν· σφυδρόν. ἢ τὸ ἐπάνω τῶν ἀστραγάλων. ἢ ἐν κύκλῳ τὰ πέλματα

σφύρωσις· διάρσσις

σφώ (Λ 574)· ὑμεῖς. ἢ ὑμᾶς (Ο 146) [43]

σφωέ (Α 8)· ἑαυτούς. ἔστι δὲ τοῦ τρίτου προσώπου

σφῶϊν· ὑμῖν (Δ 337), καὶ ὑμῶν (Eur. Phoen. 460), καὶ αὐτοῖς ⟨σφωΐν⟩ [46. 47]

σχᾷ· σχάζει

σχαδόνες (Euthyd. com. p. 889)· τὰ κηρία τῶν μελισσῶν, ἔνθα οἱ σκώληκες. οἱ δὲ τὴν ὑπερβάλλουσαν ἡδονὴν σχαδόνες

σχαδών· κυβευτικὸς βόλος

σχαλίδες (Xen. Cyn. II 8)· δι' ὧν σχάζουσι τὰ δίκτυα ὀρθὰ ἑστῶτα ⟨2953⟩

σχαλίσαι· θηλάσαι. καὶ ἀνίσχαλον τὸ ἄτοκον (ἢ ἀνήμελκτον EM. 110, 32). καὶ ἀθήλαστον [53]

σχάσαι· μεταβάλαι

σχάσει· ἀφήσει

σχάσον (Eur. Phoen. 454)· ἄφελκε. κατάπαυσον

σχαστηρία· ὁρμιστηρία. καὶ μέρος τι ἐν τῇ νηΐ ⟨3009⟩

†σχαῦδαι· ἰσχνόφωνοι

σχέδην (Xen. Hipparch. 3, 4)· ἡσυχῇ, βάδην

σχεδία· μικρὰ ναῦς. ἢ ξύλα ἃ συνδέουσι, καὶ οὕτως πλέουσιν. ἢ ὅπλα (Aesch. Cho. 162) τὰ ἐκ χειρὸς τιτρώσκοντα

σχεδιάζειν· ἐγγίζειν. ἐκ παρατυχόντος ἐν ἑτοίμῳ λέγειν. λέγεται δὲ καὶ ἐπὶ τοῦ ταχέως ποιεῖν

σχεδιασθείς· ἐγγισθείς [63. 64]

σχεδίη (Herod. IV 88)· [ad 65] ἡ εἰκαίως πεποιημένη ναῦς. διάβασις, γέφυρα, ζεῦγμα

σχέδιον (Aristot. ap. schol. Eur. Rhes. 311)· τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται. ἢ τὸ ἀνευπρεπῶς γενόμενον. ἢ ἐκ τοῦ σύνεγγυς [67. 68]

σχεδρός· τλήμων, καρτερικός

σχέθεν· ἔμεινεν. ἐκρατήθη [ad 70]

σχεθέτω (θ 537. 542)· [ad 71] ἐπισχέτω

σχέθον· κατέσχον (Ξ 428)

σχεθών (Aesch. Cho. 832)· κατέχων

σχελίδες (Ar. Eqq. 362)· κρέα ἐπιμήκη τετμημένα. οἱ δὲ πλευρίδες

σχέλινος· ἀγρία κυπάρισσος. οἱ δὲ ἄρκευθος [76—78]

σχελυνάζει· φλυαρεῖ

σχενδυλόληπτοι· ἐσχενδυλῆσθαι ἔλεγον τοὺς ἐν τοῖς †ταύροις. ἀπὸ τοῦ χαλκευτικοῦ ὀργάνου, ὃ σχενδύλη λέγεται

σχέραφος (Cret.)· βλασφημία. λοιδορία

Σχερίη (ζ 8)· ἡ Σχερία. ἡ τῶν Φαιάκων χώρα, ἡ νῆσος Κέρκυρα τὸ πρότερον οὕτως ἐκαλεῖτο

σχερόν· κῦμα † ἕτοιμον. Ἀμερίας

σχερός· ἀκτή, αἰγιαλός

σχέσις· ἐποχή (Hippocr. 1159 F). κατάστασις. συγγένεια. φιλία

σχετική· κατασχετικὴ οἰκείωσις

σχετικός· ὁ πρός τινα ἔχων σχέσιν καὶ ἐγγύτητα. ἔστι δὲ τῶν πρός τι

σχετικῶς· οἰκειωτικῶς

σχετλιάζει· δυσφορεῖ, δυσχεραίνει, δυσπετεῖ

σχετλιαζέτω· βαρείσθω, ἀποδυσπετείτω. Σχέτλιον γὰρ τὸ ἄδικον

σχετλιάζων· ἀδικούμενος [92]

σχετλιασμοί (Thuc. VIII 53?)· δυστροπίαι. δυσφημίαι ὀδυνηραί

σχέτλιον· χαλεπόν, ὀδυνηρόν, ἄπορον, ἄθυμον. ἀτυχές. ἄδικον

COD. 35 ὑπέρ τισι Post 35] ἢ ἡ .... θαλάσσιος 36 διαχωρίσματα 37 σφυλίλατος 38 σφυρίματα 40 σφοδρόν ἢ ἐν ... πέλματα] post 41 44 σφῶε 51 σχάδουσι ⟨52 gl. ι 1051. 1069 EM. 739, 43⟩ 54 μετάβαλλε 57 σχαπτήρια, ὁρμητήρια — ἵμερος ⟨cf. χαστηρία⟩ 58 ἰσχνόφανοι 61 cf. ἐσχεδιάζομεν 73 σχέθων ⟨79 cf. γελυνμάξαι, ἐσχελ—, χελυ— 81 cf. κερ—, σκερ—⟩ 82 καὶ ἡ κουρά 87 ἡ

HES. 43 σφῶϊ (Π 18)· τῆς ἑαυτῶν 46 σφωΐτερον (Α 216)· ὑμέτερον, ὑμῶν τῶν δύο 47 σφῶν (Μ 155)· ἑαυτῶν 53 σχανδές· τὸ δίκτυον ⟨2951⟩ 63 σχέδιοι· εὐτελεῖς 64 σχεδίη· συνάφεια. κοινωνία ⟨σχέσις⟩ Ad 65 σχεδία (ε 251). καὶ τὸ ἐκ χειρὸς πατάξαι οὕτω λέγεται ⟨Ε 830⟩. καὶ 67 σχεδόθεν (Π 807)· ἐγγύθεν 68 σχεδόν· ἐγγύς (Δ 247), ἐκ χειρός (Ε 458) Ad 70 ἐπέσχεν (Τ 119) Ad 71 ἐπισχεθήτω ⟨2978⟩ 76 ?σχέμα· σχῆμα Ἀχαιοί 77 ?σχεῖται· ἐμεῖ 78 σχεθήτω· κατασχεθήτω ⟨2971⟩ 92 σχέτλιαι (δ 729)· δειναί

σχέτλιος (Apollon. lex.)· τάλας. ἀγνώμων. φορτικός. στεναγμοῦ ἄξιος. χαλεπός [96]
σχῆμα· πλάσμα. ἱματισμός. διάθεσις. κόμπος (Aesch. Sept. 470)
σχηματιζόμενοι· προσποιούμενοι, σχῆμα ἐπιδεικνύοντες
σχηματισμός· πλάσμα
†σχηματοβόλον· ἤτοι ἐπὶ τῶν δικαστῶν τούτους ἐλάμβανον
(σχήρ· ἐχῖνος) 3055 [3001. 2]
σχήσεις (λ 70)· προσέξεις
σχήσεσθαι (N 747)· κατασχεθήσεσθαι
σχήσεται· ἀνθέξει
σχῆσις· ἕξις. ὁρμή
σχήσουσι· κωλύουσι (Λ 819), παύσουσιν, ἐφέξουσιν
σχήσων· ἐφέξων. καὶ τὰ ὅμοια
σχη⟨ε⟩τηρίαν· ἄγκυραν. ὁρμιστηρίαν ⟨2957⟩
σχίδα· σχίδος σινδόνος. πῆγμα (ῥῆ—)
σχίδαξ· κλάσμα ξύλου
σχίδια· ὠμόλινα
σχίδος· τὴν ἀπόσχισιν
σχίζα (Ar. Pac. 1031)· ἡ λαμπάς [15—17]
(σχιζίας [Cratin. fr. XC]· λεπτός παρ' Ἀττικοῖς)
σχιζογυνάνδρους (Com. an. fr. CLXXVIII)· τοὺς συκοφάντας
σχιζόποδες (Ar. HA. VIII 3)· τῶν ὀρνέων τὰ ἔνυδρα [21]
?σχῖνος· εἶδος σμαράγδου εἰργασμένου
σχινάτας· σχινατίων ἀγών τις ἐπιτάφιος ἐν Λακεδαίμονι
σχίνδαν· θερμάστριον
σχῖνον διατρώγων [ad 25]
σχινοκέφαλος (Cratin. fr. I p. 62)· .... εἶδος φυτοῦ
σχῖνος· [ad 27] καὶ ἡ σκίλλα (Ar. Plut. 720). καὶ εἶδος φυτοῦ
Σχινοῦντα· νῆσός ἐστι Σχινοῦσ(σ)α Φωκίδος

σχίσμα· ποδὸς τὰ σχίσματα. καὶ ὀρχηστικὸν σχῆμα (Poll. IV 105)
σχι(σ)ματῶδες· ὁμοίως
σχισμή· διαχώρισις
σχιστά· τὰ γράμματα. καὶ τὰ κρόμμυα (Theophr. VII 4, 7)
σχιστόν· προσκεφάλαιον
σχι(σ)τός (Apollod. com. p. 453)· χιτών τις ποιὸς γυναικεῖος, κατὰ τὸ στῆθος πόρπῃ συνεχόμενος
σχοίατο (B 98)· παύσαιντο, ἐπίσχοιεν
σχοίητε· νομίσοιτε, ὑπολάβοιτε
Σχοίνικος· ὁ Ἀμφιαράου ἡνίοχος. καὶ ὄρνις τις (Ar. HA. VIII 3). καὶ φυτόν (?)
σχοινίτην φωνήν· τὴν σαθρὰν καὶ διερρωγυῖαν
σχοίνινος ἠθμός (Cratin. fr. XIII p. 93)· δι' οὗ τὰς ψήφους οἱ δικασταὶ εἰς τὰς ὑδρίας καθιᾶσιν
σχοινίον· τὸ μεμιλτωμένον (Ar. Ach. 22)· ἔρ(ρ)αινον ὑπὲρ τοῦ σοβῆσαι τὴν ἀγοράν, ὁπότε βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν. καὶ ἐν τῇ νηὶ ὁ σχοινοδρόμος [41]
σχοινίων· τῶν αὐλητικῶν νόμων τις. καὶ ὄρνις τις [43]
σχοινοτενές (Herod. VII 23)· ὀρθόν. μακρόν [45]
σχολαῖον· ἡσύχιον. βραδύ
σχολαίτερον (Thuc. II 75)· ἠρεμώτερον. βραδύτερον
σχυλαίων· ἀργῶν
σχολή· οὐ μόνον τὸ μηδὲν δρᾶν, ἀλλὰ καὶ τὸ περί τι σχολάζειν. καὶ ἡ διατριβή
σχόλια· σεμνολογήματα [51. 52]
σχόμενος περὶ δουρί (M 298)· κατασχεθεὶς καὶ συλληφθεὶς ὑπὸ τοῦ δόρατος
σχόντες· εἰληφότες. προσχόντες
†σχῦρ· ἐχῖνος ⟨σχήρ⟩
σχώμεθα· κατασχεθῶμεν [57]
σῶ· σώω
σωάδδει (Lacon.)· παρατηρεῖ

COD. 3008 σχήσας 9 ὁρμη| 10 σχῖδος 13 σχῖδος; 18 accessit e schol. Clem. Al. p. 26 25 λευκεῖν 29 σχῆμα 31 |ησις; 35 σχοίαντο — ἐπίσχοιαν 36 νομίσητε 39 ὑδρείας καταθίασιν 40 ὁπόταν 42 σχοίνων (sic) .... τις post 44, καὶ ὄρνις τις post 40 47 σχολαιο| cf. οὐ σχολ— 55 cf. χήρ 59 σωαλδεῖ, παραληρεῖ

HES. 96 σχίδακας (III Regg. XVIII 38)· κλάσματα ξύλων 3001 σχήσει (χ 70. 248)· ἐφέξει, καθέξει 2 σχήσειν· ἀνθέξειν (M 166), κωλύσειν (M 4), παύσειν 15 σχίζης (Λ 462)· σχίζαις 16 σχίδαξε· τὰ ξύλα 17 σχίδαξ· τῶν ξύλων 21 σχίζεσι (B 425)· σχίδαξι Ad 25 εἰώθασι τὴν σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι, ἕνεκα τοῦ λευκοῦν τοὺς ὀδόντας Ad 27 τὸ ψέλλιον (ad ἐχῖνος) 41 σχοίνισμα (Ps. CIV 11)· μέτρον ὁδοῦ. ἢ μέρος 43 Σχοῖνος· πόλις Βοιωτίας (B 497), καὶ τὸ τῆς σχοίνου φυτόν· σχοίνῳ ὑπεκλίνθη (ε 463) 45 σχολάσατε (Ps. XL 10)· ἠρεμίσατε 51 σχόμεθα· ἐπὶ τοῦ οὗ ἕνεκα μὴ σύμπεδι περισχόμεθα περιέσχομεν (ι 199) 52 σχομένη· κατασχεθεῖσα (λ 278). ἀνατείνασα τὰς χεῖρας. καλύψασα τὸ πρόσωπον (α 334) 57 σχῶνται (υ 151)· ἀπόσχωνται

σωβῆρις· ναῦς, πορθμίς. ἔνιοι τὴν παλαιάν
σωγάσαι· σῶσαι ⟨σφάσαι⟩ [62]
σώζει· διασώζει. βουλεύεται
σωκεῖ (Soph. El. 119 al.)· ἰσχύει. βοηθεῖ
σῶκος (Υ 72)· σωσίοικος, σάοικος. ἰσχυρός
σῶκον· δυνατόν
†σωκόνδας· ὁ γαμικὸς οἶκος
σωκόον· σῶα ἀκούοντα. τὸν Ἑρμῆν. καὶ σωσίοικον
σωλῆνες· οἱ στεγαστῆρες. καὶ τῶν ὀστρακοδέρμων τι γένος κογχυλίων (Arist. HA. IV 4, 8). τάσσεται δὲ καὶ ἐπὶ τῶν μορίων
†σωλίγξαι· δραμεῖν
σωλούς· ὗς
σῶμα· [ad 72] δέμας
σῶμαι (Epilyc. p. 887)· ἔρπω. Δωριεῖς
σωμάλοιφος· ὁ κατηλειμμένος
σωματοφύλαξ· δορυφόρος. νωτοφόρος. καὶ ὁ βασιλικὸς φύλαξ
σῶν· σφαν. ἡ βλάστησιν, ἀπὸ τοῦ σεύεσθαι. Ἀττικοὶ δὲ σωζόμενον
σῶον· ὁλόκληρον, ὑγιαῖνον [78]
σώοντο· ὡρμῶντο. ἤρχοντο
σωμάτια· τὰ σκύτινα αἰδοῖα
σωπιαίνουσιν· οἱ κύνες, παρὰ Ξενοφῶντι ⟨—άνει?⟩
σώρακον (Ar. fr. VI p. 1049)· ἀγγεῖον, εἰς ὃ σῦκα ⟨σκεύη?⟩ ἐμβάλλεται. ἡ ξυλοκανθήλια
σωρεύει· βουνίζει ⟨1341⟩
σωρηδόν· κατὰ σύστημα σεσωρευμένον. λέγεται δὲ ἀναρίθμητον
σωρεία· πλῆθος [85]

σωρός· συναγωγή, ἢ θωμοῦ διαφέρει
σῶς· ὁ ὁλόκληρος, καὶ τέλειος. ὁ σωζόμενος, καὶ σῶος ὑπάρχων
σώσικες· οἱ ἑφθοὶ κύαμοι
σωσίβιοι· οἱ κώβιοί
σωσίοικος· ὁ τοὺς οἴκους σώζων [91. 92]
σωστέος· σωθῆναι ἄξιος ⟨3099⟩
σῶστρα· σωτήρια. μήνυτρα (Xen. Mem. II 10, 2), λύτρα. ὕμνος, ᾠδή. σωτρεύματα, τὰ τοῦ τροχοῦ ξύλα. καὶ ὁ ἐπὶ τούτοις σίδηρος ἐπίσωτρον
σῶται (Dor.)· ὁρμᾶται, ἔρχεται, πορεύεται
Σώτειρα (Ar. Ran. 376 Lycurg. 150, 5)· ἡ Ἀθηνᾶ παρὰ τοῖς Ἕλλησιν. κατὰ Γαληνὸν ἀντίδοτός τις
σωτέος· σωθῆναι ἄξιος ⟨3093⟩
Σωτήρ· ὁ τοῦ ἁλὸς χόνδρος. καὶ ὁ Ζεύς. [καὶ] ὁ ἐλευθέριος, ἢ λυτρωτής
σωτηριακόν· τὸ εἰς ἐκφορὰν νεκροῦ διδόμενον
σωτήριος· ὁ οὔριος ἄνεμος [3101]
Σωτῆρος Διός (Aesch. fr. 54, 4)· οὕτω τὸν τρίτον κρατῆρα καλούμενον
†σωφράτορες· σωφρονέστεροι
σωφρονιστῆρες (Hippocr. I p. 436 K)· τῶν ὀδόντων τινὰς οὕτω λέγουσιν [5. 6]
σωφρονιστής· νουθετητής
σωφροσύνη (monost. 505)· σοφία, ἐπιστήμη
σώχειν (Nic. Th. 590)· τρίβειν
σωχίς· εἶδος ἀμπέλου (Poll. VI 82)
σωχομένους· τριβομένους
Σωχός· ὁ τῶν Κουρήτων πατήρ ⟨cf. Κόμβη⟩ [13]

Τ

Τά· ταῦτα, ἅτινα αὐτά, ἀναφορικῶς· ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν (Π 60) [2. 3]
τὰ αἴσχίω· τὰ χείρω
τὰ ἀμείνω· τὰ κρείττονα [6]
τὰ ἀπὸ τρίποδος· παροιμία [ad 7] [8. 9]

COD. 64 σώκει 66 σῶκον, ἀδύνατον 70 cf. αὐλίξαι, πελίγξαι, ἐξώλιγξε 76 σῶαν — ἡ βλάστησις — σεβύεσθαι — σωζόμενοι 79 κατειλημμένος σώματι τὰ 81 ξηλον ανθίλια 83 ἐναριθμητόν 86 ἡ 93 σωστέλος 94 σωστεύματα — ἐπίσωστρον Post 95] σωτεύματα, σωτρεύματα 3109 σωχῖν, cf. ψώχειν Τ 2 τάα

HES. 62 σώεσκον (Θ 363)· ἔσωζον Ad 72 πτῶμα (Matth. XIV 12 coll. Marc. VI 29) 78 σώοντες (ι 430)· σώζοντες. κρύπτοντες ⟨3113⟩ 85 σωρωνίς· ἐλάτη. καὶ πόλις ⟨cf. σαρω— σορω—⟩ 91 σωσόλεθρος (χ 28)· ὁ πρόδηλος, καὶ φανερός. καὶ μέγας. καὶ τέλειος 92 σωρήχ (Iesai. V 2)· ἐκλεκτή ...... 3101 σωτηρίου (Exod. XXXII 6)· ἐξιλασμοῦ 5 σώφρων· φρόνιμος. καθαρός, ἁγνός 6 σωφρονίζεται· σεμνύνεται 13 σώωντες (ι 430)· κρύπτοντες ⟨3078⟩ Τ 2 τὰ ἅ (ι 310)· [ἅτινα, ἢ τοιαῦτα] 3 τὰ ἀδάνοντα· τὰ ἀρέσκοντα 6 τὰ ἀντααῖον· βαρύ ⟨57⟩ Ad 7 ἐπὶ τῶν ἀληθῶς λεγομένων· ἤτοι ἀπὸ τοῦ Δελφικοῦ τρίποδος· ἢ ἀπὸ τοῦ Πυθαγορικοῦ ...... 8 τὰ βάθη (I Cor. II 10)· τὰ ἀχώρητα, τὰ ἀκατάληπτα 9 Ταβεήλ (Iesai. VII 6)· ἀγαθοῦ Θεοῦ

ταβάλα· ταβῆλα. ὑπὸ Πάρθων οὕτω καλεῖται ὄργανον κριβάνῳ ἐμφερές, ᾧ χρῶνται ἐν τοῖς πολέμοις ἀντὶ σάλπιγγος [11a, b]

ταγαῖος· ὁ ἐξ ἐπιταγῆς τι ποιῶν

ταγαῖς· ἀρχαῖς, ἡγεμονίαις

†τάγανα· ταῦτα. Κρῆτες

ταγατίζων· κιχλίζων

ταγή· βασιλικὴ δωρεά. καὶ ἡ σύναξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων (Arist. Oec. II 2)

ταγηνίαι (Cratin. p. 90)· πεμμάτια (ἀπὸ) τηγάνων. οἱ δὲ στέας ὑγρόν, ἐπιχεόμενον τηγάνῳ, ᾧ προσβάλλεται μέλι, (ση)σάμη, τυρός [18]

τάγιλος· φειδωλός

τάγιος· κήρυξ. πρεσβευτής. ὀξύς. ταχύς. βάσιμος

ταγοί (Ψ 159 Aesch. Pers. 23)· προστάται, ἄρχοντες, ἡγεμόνες

ταγύρια (Eupol. p. 431)· τὰ ἐλάχιστα, τὰ τυχόντα

†ταγόναγα· Μακεδονική τις ἀρχή [24—32]

ταιναρ†ίας· παρὰ Λακεδαιμονίοις ἑορτὴ Ποσειδῶνος· καὶ ἐν αὐτῇ Ταιναρισταί. Ταίναρον γὰρ πεδίον Λακωνικῆς

ταῖν θεαῖν· ταῖς θεαῖς

ταινία(ι)· στέμματα τῶν ἱερέων, διαδήματα ἀρχιερατικά, ἢ ζῶναι, ἢ στέφανοι, κόσμοι, ἢ δεσμοὶ ἱεροί

ταινιοῦντες· κοσμοῦντες, δεσμοῦντες, στεφανοῦντες

τὰ κέρατα· τὰ ἄκρα

τακερόν· τηκτόν. οἰκτρόν

τακτικοῖς· στρατιωτικοῖς, πολεμικοῖς

τακτόν· ὁμοίως

τὰκ τοῦ νίτρου (Anaxipp. p. 466)· τὰ τῶν μαγείρων ξηρὰ ἀρτύματα· διὰ τὸ ἔνθα καὶ τὸ νίτρον πωλεῖσθαι

τακῶνες (Cratet. fr. III p. 240)· τροχίσκοι στέατος κεκομμένου μεθ' ἁλῶν, καὶ ξηρῶν [καὶ] ἀρτυμάτων

τάλα· μέγα

ταλαεργοί (δ 636)· οἱ ὑπομένοντες τὰ ἔργα, τλητικοί, ταλαίπωροι, δυσπαθεῖς

ταλαεργόν (Ψ 654)· τὰ αὐτά

ταλαίνης (Soph. OC. 1263)· ἀθλίας, ταλαιπώρου

ταλαιπωρία· μοχθηρία

ταλαίπωρος· ἐπίπονος, τλητικός

ταλακάρδιος (Hesiod. Sc. 424)· τλητικός, ὑπομονητικὸς κατὰ τὴν καρδίαν (Soph. OC. 662)

ταλαίφρων (Eur. Hel. 524)· καρτερικός

ταλανίζει· θρηνεῖ

τάλαντα (I 122)· ζυγά, σταθμοί [52]

ταλανταίων· μεδίμνων, καὶ σταθμίων

ταλάντατα· ἀτυχέστατα

ταλαντεύει· σταθμίζει, ζυγοστατεῖ (Greg. Naz.?)

ταλαντιαῖον· βαρύ ⟨6⟩

Ταλάντιον· τόπος. Ἀρτεμίδωρος

τάλαντον· σταθμός, ζυγός. ὁλκὴ λιτρῶν ἑκατόν, ἢ ἑκατὸν εἰκοσιπέντε, ἢ ἑκατὸν ἑξηκονταπέντε. ἢ τετρακόσια. ἢ χίλια ἑκατὸν πεντηκονταδύο

τάλαντος· ταλαιπώρου

ταλαντώσει· σταθμήσει, στήσει

ταλαόν· ὑποστατικόν. ἰσχυρόν, βίαιον

ταλαπείριος (η 24)· τλητικὸς κατὰ τὴν πεῖραν, ἢ τηλόθεν διαπεπεραιωμένος. οἱ δὲ ἀφιγμένος

ταλαρίς· ἐξ οὗ βάλλουσι τοὺς ἀστραγάλους [65]

τάλαροι (Σ 568)· κάλαθοι ἐρίων. καὶ ἐν οἷς οἱ τυροὶ πήγνυνται·

πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν

τάλας· ἄθλιος, ταλαίπωρος

ταλάσια· τὰ ἔρια. καὶ ἡ ἐν τοῖς ταλάροις ἐργαζομένη κρόκη, ἢ ἔρια [69]

ταλασία (Plat. Legg. VII p. 805)· ἐριουργία, ἐργασία

COD. 17 ταγηνία — τιγανῶν ⟨23 cf. σάγυρι⟩ 25 τὰ δὲ ⟨27 cf. διαβούλια 31 θέαιν — θεωρίαις Cyr. Voss.⟩ 38 τικτὸν 41 τακτονίτου 49. 50 = 50. 49 51 cf. ἐταλάνισα. 54 ταλαντέων 57 ταλαντίεον 60 ταλαίπωρον 66 φέρων μελίην δὲ ἄκαρπον 68 καὶ ... ἔρια post 72

λ

HES. 11a ταβερνία· καπή 11b ταβέρνων· πανδοχείων 18 τάγηνον (Ar. Eq. 929 Plat. Com. p. 672)· τήγανον ⟨Moer.⟩ 24 τά δ' ἄποινα (Α 20)· τὰ δὲ λύτρα 25 τάδε· ταῦτα 26 τὰ δ' ἐρῆμα φοβεῖται (Ε 140)· τὰ δὲ πρόβατα ἔρημα γενόμενα τῇ τοῦ ποιμένος φυγῇ 27 τὰ διαβούλ(ι)α· τοὺς διαλογισμούς (Ezech. XI 5) 28 ταθείς (Ν 655)· ἁπλωθείς 29 ?τατθίον· μασθός, τιτθίον 30 ταῖδε χθόνα (Ψ 121)· ...... 31 ταῖν· ταῖς 32 ταῖη· διοικητής, προστάτης 52 τάλαντον· λίτραι ἑκατὸν εἴκοσι πέντε κατὰ τὸν μέγαν Ἐπιφάνιον (II p. 183) 65 ταλαπενθέα (ε 222)· ὑπομένοντα τὰ πένθη 69 ταλασείῃ (Ο 164)· ὑπομείνει

ταλασιουργία (Plat. Polit. p. 282 C)· τῶν ἐρίων τὰ ἔργα

ταλασιουργός (Plat. Ion. 540 C)· ἐριουργός [73. 74]

ταλάσ(σ)αι (Apoll. 149, 3)· ὑπομεῖναι. καὶ τὰ ὅμοια

ταλαύρινον (E 289)· ὑπομονητικόν, τολμηρόν, πολεμιστήν

ταλάφρονα (N 300)· τλητικὸν κατὰ τὰς φρένας. οἱ δὲ ἰσχυρογνώμονα

ταλαώρεα· τοξεύματα

Ταλαιός· ὁ Ζεὺς ἐν Κρήτῃ ⟨Ταλλαῖος⟩

ταλαιδίτης· ἀγὼν γυμνικός ⟨Ταλλαιάτης⟩

†ταλικής· ἀναιδής

ταλίκην· τηλικαύτην [83]

†τάλιξ· ὁ ἔρως [85]

τᾶλις (Arist. fr. CCLXI)· ἡ μελλόγαμος παρθένος καὶ κατωνομασμένη τινί, οἱ δὲ γυναῖκα γαμετήν, οἱ δὲ νύμφην

Ταλύβιος· ἱερεύς

ταλῶς· ὁ ἥλιος

τἀμά (Soph. OT.)· τὰ ἐμά

ταμᾶς· γαμβρός [90. 91]

ταμεῖν (Eur. Hec. 1204?)· τεμεῖν [93. 94]

ταμεσίχροα (Δ 511)· τέμνοντα τὸν χρῶτα. ἀπὸ μέρους δὲ λέγει τὴν σάρκα

τὰ μέταζε (Hesiod. Op. 396)· μετὰ ταῦτα. Δωριεῖς

†ταμετάτι· τηνικάδε ⟨1106⟩

ταμίαι· οἱ τῶν δημοσίων χρημάτων καὶ πάντων τῶν κοινῶν προστάται καὶ φύλακες, ταμιοῦχοι

ταμίαν (Cretice)· ζημίαν

ταμιείας· φύλαξ χρημάτων, προστάτης, δεσπότης, οἰκονόμος, διοικητής

ταμιεῖον· κοιτῶνα

ταμιεύεται (Arist. Thesm. fr. X)· διοικεῖται. ἀποκρύβει

ταμίη· ἡ προστάτις τοῦ οἴκου, διοικήτρια, ἡ κελλαρία πιστή (Z 381). καὶ ἀρχὴ Ἀθήνησιν

ταμίην· δέσποιναν, τὴν τοῦ οἴκου προεστῶσαν [105. 6]

Ταμιράδαι· ἱερεῖς τινες ἐν Κύπρῳ

τάμισος (Hippocr. 667, 36)· ἡ πυτία

τάμνειν (Hesiod. op. 421. 741)· διατέμνειν

τάμνεν (Γ 273)· ἐνέκοψεν

τάμνοντες· διατέμνοντες. ποιοῦντες·

τάμνον τ' ἀμφὶ (Σ 528)

περιήλαυνον

τάμοις· τέμοις. ποιήσαις [13—15a]

τᾶν· σύ, Ἀττικῶς. ἢ ταύτην (τὰν). ἢ τούτων

τανάγρα· ἀγγεῖον χαλκοῦν, ἐν ᾧ ἤρτυον τὰ κρέα

Ταναγρίδαι· οἱ Ταναγρεῖς

Ταναγραίων φυήν· Κητεῖ ὁμοιοτάτην. Ἔφορος λέγει εἶναί τινα ἐν Τανάγρᾳ παχύτατον, ὃς ἐλέγετο Κητεύς

ταναηκέα· δι' ὅλου ἠκονημένα, ὀξέα, ἀποτεταμένην τὴν ἀκμὴν ἔχοντα [20]

ταναηκέος· μακροῦ, τοῦ μακρὰν λαβὴν ἔχοντος

ταναηκές· εὐμηκες [23]

ταναῆς· ἐκτεταμένης [25. 26]

τανα(όν)· ἰσχυρόν. ὀξύ. λεπτόν. σκληρόν; μέγα. ὑγρόν. μακρόν [28. 29]

(ταναϋφῆ· λεπτοϋφῆ) cf. 139

τἄνδον (Eur. Or. 514)· τὰ ἔνδον [31—33]

ταυθαλύζει· τρέμει. Δωριεῖς. οἱ δὲ σπαίρει

τάνθάριον· ἐρύθημα [36. 37]

ταυθαρυστός· ὁ τρόμου παρασκευαστικός [39]

COD. 76 ταλαβρινὸν 78 ταλαόρεα (Choer. Canon. 87, 22) 82 ταλικήν· ταλικάτην 85a ταλλίς 96 ταμετάξαι 108 πυτύα 11 τάμνοντ' — περιελαύνων 12 ποιήσεις 18 κήτει ὁμοιότητα — παχυττ' 21 ταναηκέως 34 ταυταλύζει — σπέρει
ε
35 τανθ| 38 τανόδρυστος — ποκευάτιος

HES. 73 ταλασίφρων (Δ 421)· ταλακάρδιος, ἰσχυρός, τολμηρός. θρασύς, ὑπομονητικός, ἰσχυρόφρων 74 ταλάσεις (N 829)· ὑπομείνεις, τολμήσεις 83 ταλικηνός· ταλικάντην 85 ταλίων· ἀθλίων ⟨ταλαόν· ἄθλιον⟩ 90 τάμε (Γ 292)· ἔταμεν 91 ταμέει (N 501)· τέμνει 93 ταμέσθαι (I 576)· ἀπομερίσαι. ἐπιτ[ι]μῆσαι 94 ταμεῖα (IV Regg. IX 2)· ἀπόκρυφα οἰκήματα 105 ταμεῖον· θάλαμος (cf. γύαλα) 6 ταμειοῦχος· οἰκονόμος 13 τάμονες· διακόπτοντες 14 ταμόντες (μ 11 B 124)· ποιήσαντες. συνθέμενοι 15a τάμωμεν (Γ 94 T 191)· ποιήσωμεν 20 ταναηκεῖ (Π 77)· τὰ αὐτά 23 ταναηκότες χαλκῷ· τῷ ἐκτεταμένῳ σιδήρῳ 25 τανακιδές· ὀξύ. μακρόν. δι' ὅλου ἠκονημένον 26 ταναοῖο (Π 589)· ἐπιμήκους, μακροῦ, πάνυ ἐκτεταμένου 28 τάνας· παρηκούσας, ἀπὸ τοῦ εἰς μῆκος τετανύσθαι 29 ταναύποδα (ι 464)· ὀρθόποδα, τεταμένοις τοῖς ποσὶ κατὰ τὴν ὁδοιπορίαν 31 τανέη· ἀποτεταμένη 32 τανεηκῆ· ἐκτεταμένην ἔχοντι τὴν ἀκμήν 33 τανηλ(εγ)έος· παρατεταμένην ἔχοντος τὴν ἀλγηδόνα. μακροκοιμήτου· τανηλεγέος θανάτοιο (Θ 70) 36 τανίφυλλος (ν 102)· μακρόφυλλος 37 τανίσφυρος (Hesiod. Th. 364)· ὀρθόσφυρος. εὔσφυρος. λεπτόσφυρος 39 τανοϋφῆ (Soph. Tr. 602 W.)· λεπτοϋφῆ ⟨ταναϋφῆ⟩

†ταυταλάσσεται· δάκρυα. στάζει δάκρυα

ταυύγλωσσοι (ε 66)· μακρόφωνοι. ἢ τεταμένην ἔχουσ(α)ι τὴν γλῶτταν

ταυταλίζεται· σαλεύεται

ταυυγλώχινες (Θ 297)· τεταμένας τὰς γωνίας ἔχοντες

ταυύει· ἐκτείνει, ἕλκει, τείνει

ταυυηκές (Ξ 385)· τὴν ἀκὴν ἔχον παρατεταμένην [46]

ταυύοντο· ἐξετείνοντο. ἔτρεχον·

ταυύοντο δὲ μώνυχες ἵπποι (Π 375)

ἐπὶ τῶν συῶν. ἐξετείνοντο διὰ τὴν λιπαρίαν·

εὑόμενοι ταυύοντο διὰ φλογὸς Ἡφαίστοιο (Ψ 33)

ταυύπεπλος (Γ 228)· μακρόπεπλος

ταυύποδας Ἐρινῦς (Soph. Ai. 834)· ταχύποδας, ἐν τάχει τιμωρουμένας

ταυύπτερος (Pind. Alcae.)· μακρόπτερος, τεταμένα ἔχων πτερά

ταυυπρώρους· τὰς καλύπτρας· διὰ τὸ περὶ τὸ πρόσωπον περιτετάσθαι

ταυυσ(σ)άμενος (Δ 112)· ἐκταθείς

τάνυσσα (Apoll. lex.)· ἐνέτεινα [54. 55]

(ταυύσφυρος cf. 137)

ταυύτριχα· δασύτριχα. λεπτότριχα

τὰ νῶτα· τὰ ὀπίσθια [58]

τάξις· ἡ ἐπὶ ὀφειλομένοις χρήμασι καταβολή. ἡ ἀκολουθία, καὶ εἱρμός ⟨q. v.⟩

τάξος· δένδρον τι ὀρεινόν

τάξω· συντάξω. θήσω

ταπεινόν· χθαμαλόν

τάπ(ι)δες (Xen. An. VII 3, 18)· τάπητες ⟨cf. δα—⟩ [64—69]

τάρ· σύνδεσμος. δέ, δή, ἄρα, καὶ δή, ταχέως [71—73]

τάρανδος (Antig. Car. 31)· ζῷον ἐλάφῳ παραπλήσιον, οὗ τὰς δορὰς εἰς χιτῶνας χρῶνται Σκύθαι

Ταραντῖναι· αἵματι βαφαί (Achaei fr. 38), τινὲς δὲ τὰς πορφύρας. ἐδώδιμοι γάρ. καὶ ἐξ αὐτῶν τραχήλια

Ταραντῖνοι (Polyb.)· ἱππεῖς τινες ὀνομάζονται. οἱ δὲ τοὺς ἀκοντιστάς, ἢ τοὺς ψιλοὺς ἱππεῖς ⟨gl. ψ 204⟩, ὡς καὶ †Ἵππαρχος

Ταραντῖνον (Nicostrat. com. p. 290)· ἱμάτιον γυναικεῖον λεπτόν, κρωσσοὺς ἔχον ἐκ τοῦ ἑνὸς μέρους

Ταράξιππος· οὕτως ὑπ' ἐνίων Πέλοψ ἱστορεῖται, οὗ τάφος ἐν Ὀλυμπίᾳ [79. 80]

Τάρας· πόλις Ἰταλίας· ἀπὸ Τάραντος τοῦ Ποσειδῶνος. ἔστι δὲ Λακώνων ἄποικος [82—84]

ταρβαρέον (h. Merc. 165)· δεινόν, φοβερόν ⟨—λέον?⟩

τάρβος· φόβος (Ω 152?)

ταργαίνειν· ταράσσειν

ταργάναι· πλοκαί, συνδέσεις, πέδαι

τάργανον· ὄξος. Λυδοί (Phoenic. Coloph.). ἢ τὸ ταράττον. ἢ τὸ ἀπὸ στεμφύλων πόμα. καὶ πόα, ἢ καὶ σκορπίουρος

†ταρήφη· κόφινος μέγας. οἱ δὲ νεκροφορικὸν ἀγγεῖον ⟨ταφῆρες?⟩

ταριχεύουσαι· τήκουσαι

ταριχευτόν· τηκτόν. ξηρόν [93]

ταρμύξασθαι· φοβηθῆναι

ταρνόν· κολοβόν, κολοβόουρον

Τάρνη (Callim. ep. 1)· πόλις ἐν Λυδίᾳ. οἱ δὲ ἐν Μυσίᾳ, ὅθεν ἦν Ἑρμείας, ὁ Ἀριστοτέλους τοῦ φιλοσόφου γνώριμος

τάρπη· †συρακούσιοισύηνος. τινὲς σορόν [98. 99]

ταρπήμεναι (Ω 3 ψ 346)· τερφθῆναι

τάρπησαν (Ω 633)· τέρψιν ἔλαβον

(Ταρρακῖναι· ἔθνος. ἢ πόλις) cf. 173

τάρροθοι· παρορμῆται. βοηθοί

τάρροθος· βοηθός, ἀρωγός

ταρροί· τὰ ἀγγεῖα τῶν τυρῶν (ι 219?)

COD. ⟨40 —ταν σταλάσσεται?⟩ 41. 42 = 42. 41; cf. ἐταυταλίχθη 47 τάνυτοδε μωνύχιπποι — οὐρῶν (ζ 83) — εὖ μεταλλοίοντο 49 |νυῦς, cf. ἀνύπους 74 ἐλάφου, ᾧ 75 πορφυρᾶς, ἐδώδημοι 76 ὑψηλοὺς 77 ταραντινόν 87 cf. συνταργανές 89 ὄξος — ἢ καί ⟨90 cf. τάρπη. δάρπη — ταρφήϊα⟩ Post 90| τεθμὸς ... τεθυκὼς (333—348) 97 σώρακος οἰσύϊνος? 200 ταρπημένα. τερφθηνα τερπνά 1 τέρπιν 3 ἀρρωγός

HES. 46 ταυυηκέας (Π 768)· ἐκτεταμένους ὄζους 54 τάνυσσαν (N 359)· ἐνέτεινον 55 ταυύσας (Ψ 25)· ἁπλώσας. ἐκτείνας. κρεμάσας 58 ταξάμενοι (Act. Ap. XXVIII 23)· ὁρίσαντες 64 τὰ ὅπλα τοῦ φωτός (Rom. XIII 12)· τὴν φυλακὴν τῆς τῶν ἐντολῶν ἐργασίας 65 τάπις (K 156)· προσκεφάλαιον 66 τάπερ (Hom.)· ἅτινα 67 τάπησι (K 12)· ποικίλοις στρώμασιν 68 τὰ πρόσω· τὰ ἔμπροσθεν ⟨cf. ἐπὶ τὰ π.⟩ 69 τὰ πρῶτα (A 6)· ἀντὶ τοῦ ἅπαξ. ἢ τὸ πρῶτον, καὶ ἐξ ἀρχῆς 71 τάρα (Hom.)· ἅτινα δή 72 ταρβήσαντες (M 331)· φοβηθέντες, εὐλαβηθέντες 73 Ταραχῖναι· ἔθνος. ἢ πόλις ⟨Ταρρ—⟩ 79 τ' ἄρα οἱ· ἃ δὴ αὐτῷ 80 τ' ἄρα τἄλλα (A 465)· καὶ τὰ ἄλλα δέ 82 ταρβεῖ (N 285)· φοβεῖται 83 τάρβει· φοβοῦ 84 τάρβησαν (O 280)· ηὐλαβήθησαν 93 †ταρχούει· ἀκούει (φ 290?) 98 ταρόν· ταχύ ⟨1271⟩ 99 τάρπημεν (Λ 779)· ἐκορέσθημεν

ταρρός· κώπη (Eur. IT. 1346). καὶ πλέγμα καλάμινον, ἐφ' οὗ τοὺς τυροὺς ξηραίνουσιν, ἔνιοι ταρσοὺς κρεμαστούς (Ar. Nubb. 226). καὶ λίθος ὁ κάτω τιθέμενος ἐν τῷ ἰπνῷ ἐν τοῖς μεταλλεῦσιν (Pherecr.?)

ταρσῆται· ἀγγεῖα, ἐν οἷς οἱ τυροὶ ψύχονται

ταρσιήν (Simonid. Amorg.)· τὴν τρασιάν

ταρσίοις· πτεροῖς ἄκροις

Ταρσοί (Xen. An. I 2, 23)· πόλις Συρίας. καὶ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν (Λ 388). καὶ τὸ ἐπάνω τοῦ πέλματος. καὶ τῆς κώπης τὸ ἄκρον

ταρσοὺς καλάμων (Herod. I 179)· πλέγματα καλάμων [211]

ταρτημόριον· τὸ τριτημόριον, ἢ τὸ δίχαλκον

Ταρτησσίαις· γαλαῖς (Ar. Ran. 478)

Ταρτησ(σ)ός· πόλις περὶ τὰς Ἡρακλε(ί)ους στήλας

(ταρφέα Μ 47 Eubul. com. p. 223)· συνεχῆ. ξηρά. ὀξέα. τραχέα [15a]

ταρφέσι· πυκνοῖς [17]

Τάρφη· πόλις Λοκρίδος (Β 533?). οἱ δὲ σποδός, τέφρα [ad 18]

ταρφήεντα· [ad 19] τεφρώδη [20—23]

ταρφθήμεναι· τερφθῆναι

ταρφὺς στάχυς·

τάρχ†η (cf. Solon. fr. 37, 5)· τάραξις

ταρχάνιον· ἐντάφιον

τέρχανον ⟨sic⟩· πένθος, κῆδος

ταρχύειν· θάπτειν, ἐνταφιάζειν

ταρχῦσαι (Apoll. lex.)· θάψαι, ἐνταφιάσαι [31]

τάσις· ὤθησις. σεισμός [33. 34]

τὰς σφετέρας (Polyb.)· τὰς αὐτῶν

τὰ στέγη· τὰς στέγας [ad 36] [37]

τὰς ὠτειλάς· τὰ τραύματα [39]

τᾶτες (Dor.)· κατ' ἔτος [41]

τατύρας (Epaenetus)· ὁ φασιανὸς ὄρνις

τατωμένα (Sophro fr. 62)· στερομένη

ταῦγέταις· πύλαις ταῖς μεγάλαις

τ' αὐληρόν τε· ἱμάντα. Ἡρακλέων [46]

Ταύρειον πῶμα· Σοφοκλῆς Αἰγεῖ (fr. 20). ἀπὸ Ταύρου ποταμοῦ (περὶ) Τροιζῆνα, παρ' ᾧ καὶ κρήνη Ὑόεσσα

Ταυρία ⟨—ύρεια⟩· ἑορτή τις ἀγομένη Ποσειδῶνος

ταυρίνδα· φαλλικὴ παιδιὰ παρὰ Ταραντίνοις

ταῦροι· οἱ παρὰ Ἐφεσίοις οἰνοχόοι (Amerias). καὶ οἱ τέλειοι βόες

ταυροπόλια· †ἃ εἰς ἑορτὴν ἄγουσιν Ἀρτέμιδι

Ταυροπόλαι· ἡ Ἄρτεμις (Soph. Ai. 172), καὶ ἡ Ἀθηνᾶ (Xenomedes)

Ταῦρος· Ταύρειος, ὁ Ποσειδῶν. Φανόδημος δὲ τὰς κριθὰς προσαγορεύεσθαι ταῦρον, ὅτι κέρας ἔχουσιν. ἄλλοι δὲ τὸν παιδεραστήν. καὶ τὸ γυναικεῖον

ταυροφάγος (Soph. fr. 602)· ὁ Διόνυσος

ταυρόφθογγοι (Aesch. fr. 56, 8)· παραπλήσια βουσὶ φθεγγόμενοι

ταυροχόλια· ἑορτὴ ἐν Κυζίκῳ

Ταυρώ· ἡ ἐν Ταύροις Ἄρτεμις

ταύρωσον· ταῦρον ποίησον

ταῦς· μέγας, πολύς

ταῦσας· μεγαλύνας, πλεονάσας

ταύσιμον· μάταιον ⟨833⟩

ταυτά· τὰ ἴσα. τὰ ὅμοια

ταύτασος· ὄρνις ποιός

ταυτέας· αὐλὰς μεγάλας

ταύτῃ (Ar. Eqq. 839. 271)· οὕτως, τούτῳ τῷ τρόπῳ

ταυτί (Ar. fr. XV p. 957)· ταῦτα. ἢ τοῦτο [67]

ταύτῃ τοι· οὕτω δή

ταυτό· ταυτόν, τὸ αὐτό

ταυτοέπειαι· ταυτολογίαι

COD. 7 cf. θαρρία 13 ταρτησίαισι, γάλαις (cf. γαλῆ T.) 15 συνηχῆ 18 ποδὺς — βλαστ.., 19 ταρφίεντα 27. 28. cf. στερχανά et τέρχνεα 42 cf. τεγγύρος, τετάργη, τιτύρας 43 τατώμενα· στερωμένη ⟨826. 980⟩ 44 ταῦγε ταῖς 45 ταυληρόντα 47 πόμα, ἀπὸ αἰγειταύρου ποταμοῦ Σοφοκλῆς Τροίζηνα πάρα καὶ κτήνη 49 ταυρίηδα, κεφαλὴ καὶ π| 52 ταυροπῶλαι 53 παιδαρέστην 56 ταυροχολία — χουζίκω 57 ταύρω 59 ταῦς

HES. 211 τάρταρος (Θ 481)· ὁ ὑπὸ τὴν γῆν κατώτατος τόπος 15a ταρφέας (Ο 472)· ...... 17 ταρφεῖς· θεωροί. θαυμαστοί ⟨273⟩ Ad 18 ἢ βλαστός (Genes. XLIX 9?) Ad 19 [ἐντάφια] 20 ταρφῆες· κτερισταί. ἀγχιστεῖς ⟨275⟩ 21 ταρφίαι (τ 357)· πυκναί, συνεχεῖς 22 ταρφήϊα· ἐντάφια ⟨276⟩ 23 τάρφθεν (ζ 99)· ἐτέρφθησαν 31 ταρχύσωσι (Η 85)· τὰ αὐτά ⟨cf. ἀρχύσωσι et ἐταρχύσωσι⟩ 33 τὰς οὐ τλαγάς (Eur. Hec. 160)· τὰς οὐχ ὑπομονητικάς 34 τὰς οὐ φερτέρας (Eur. Hec. 160)· τὰς οὐ φορητάς Ad 36 τὰς κέλλας 37 τὰ στίγματα (Galat. VI 17)· τὰ παθήματα, τὰ ἕλκη 39 τά τ' ἐόντα (Α 70)· τανύοντα 41 τά τ' ἐσόμενα (Α 70)· τά τε μέλλοντα 46 ταυρείην (Κ 258)· ἐκ ταυρείου δέρματος κατεσκευασμένην περικεφαλαίαν 67 ταυτί· ταῦτα. τοῦτο [ὁμοιότης

ταυτοεπεῖν· τὸ αὐτὸ λέγειν

ταυτότητος· ἀπαραλλάκτου καὶ φυσικῆς κοινωνίας

ταφεῖς· θεωροί. θαυμασταί (217). ἢ οἱ νεκροτάφοι

ταφεύς (Soph. OC. 582)· θεωρός. καὶ τὰ ὅμοια

ταφῆες· κτερισταί. ἀγχιστεῖς (220)

ταφήϊα· ἐντάφια (222), εἰς ταφὴν εὔθετα ἱμάτια (cf. β 99) [77]

τάφος (Ω 804)· τὸ γινόμενον περίδειπνον ἐπὶ τῇ τῶν κατοιχομένων τιμῇ. ἢ τύμβος. ἢ σημεῖον (ἐν θυτικῇ)

τάφρος· ἐπίμηκες ὄρυγμα ἔξωθεν τοῦ τείχους γινόμενον πρὸς ἔκπληξιν πολεμίων (Θ 213)

ταφρεῦσαι· διορύξαι

ταφών (Ι 193)· ἐκπλαγείς, θαμβηθείς

τάχα (Apoll. lex.)· ταχέως, ὡς σάφα, ἢ ἴσως· καὶ ταχεῖα (Λ 186) ὁμοίως [83]

†ταχή· βοή

ταχίνης (Lacon.)· λαγωός. ἔλαφος

[ad 86] γοργόν. ταχύ. †λεπτόν (onomast.)

ταχυβάμονας ὄρχους· [ad 87]

ταχυναυτεῖ (Thuc. VI 31. 34)· ταχέως πλέει

ταχυπόλοι· ταχυπόροι, ταχύοδοι [90. 91]

τάων (Δ 46)· τούτων [93]

τάως· τέως. Κρῆτες. καὶ δασέως τὸ ὄρνεον

τεά· τὰ σά

τεαῖς· ταῖς σαῖς

τεάν (Simonid. fr. 44)· σήν

τέγγει (Soph. Tr. 848 Empedocl.)· βρέχει, ὑγραίνει. στάζει

τέγγεις (Eur. Med. 922)· πληροῖς. κλαίεις. βρέχεις. σταλάζεις

τέγγεσθαι (Plat. Civ. 423 B)· εἴκειν. ἐνδιδόναι

τέγγοις· βρέχοις. πληροῖς

τεγγύρος· ὄρνεον ποιόν

τέγεα (470)· κόρυζα. Κῷοι [ad 303]

τέγεοι (Ζ 258)· ὑπερῷοι οἶκοι

†τεγείδιον· κοσμάριον ποιὸν γυναικεῖον

τέγεος (α 333)· τέγους, ἤγουν στέγης

τέγη· στέγη. οἴκημα

Τεγησσός· ἀκρωτήριον Κύπρου (354)

τεγκτούς· χριστούς [10]

τέγος· στέγη. δῶμα. ὑπερῷον

τεγοῦν (Hipponact. fr. 61*)· Λυδοὶ τὸν ληστήν [13]

τεήν (Ρ 39)· σήν [15. 16]

τεθαγμένοι· μεμεθυσμένοι (352)

τέθαξαι· (με)μέθυσαι

τεθαρρήκαμεν· ἐθαρρήκαμεν [20. 21]

τεθηγμένον· ἠκονημένον [23]

τεθήλαμεν· ἀνεφύημεν

τέθηλε· θάλλει, ἀνθεῖ

τεθηλότα· ὁμοίως

τέθηπεν (ψ 105)· ἐξεπλάγη, πεφόβηται, ἐπτοήθη

τεθηπός· πεφοβημένον. σεσηρός

τεθήσεται· Ἡρακλέων. δανεισθήσεται [30]

τέθμια (Call. Cer. 19 D. 174)· νόμους

τέθμια· νόμιμα [ad 32]

τεθμός· νόμος [34]

τεθολωμένον (Pher. p. 313)· μεμυρισμένον

τεθολώς· ἀνάπλεως. Ἀμερίας

τεθο(ω)μένον· ὠξυμμένον. καὶ ἐθόωσα· ὤξυνα

τεθράνευμαι· συγκέκλασμαι. ἀπὸ τῶν θράνων

τέθραπται· πέπηγεν

?τεθορεῖν· διαπηδῆσαι

†τεθρᾶσθαι· †ἀγεῦσθαι

τεθραυσμένος· πεπληγμένος [43]

τεθριπποβάμονι στόλῳ (Eur. Or. 989)· τῇ ὁρμῇ τοῦ ἅρματος

τέθριππον (Eur. Suppl. 601)· τετράϊππον ἅρμα

COD. 73 θεωρεῖς θαυμαστοί 81 ταφρών (84 τ' ἀχή vel ἰαχή) 89 ταχύπωλοι 94 δασέως] h. e. ταῶς 99 πληρεῖς 98 cf. γέγγει 303 τέγε 9 χρηστούς (18 τεθᾶξαι (cf. θᾶξαι)?) 24 τεθηλάμεθα 28 πεφοβείηνον, σεσειρός (35 μεμορυγ—? 36 cf. θυλῶσαι) 37 ὀξ— 38 θραυῶν 44 τεθριππόβαμον, ἡ στολωτὴ ὁρμή)

HES. 77 Τάφιοι (ο 426)· οἱ Τηλεβόαι λεγόμενοι, οἱ τὰς Ἐχινάδας νήσους κατοικοῦντες 83 ταχινοί· γοργοί (cf. Call. D 114) Ad 86 τάχιστα (Γ 102) Ad 87 ἀντὶ τοῦ βραδεῖς, βέλτιον δὲ τοὺς ἐν ἔρωτι γινομένους· ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες 90 ταχυπώλων (Δ 232)· ταχεῖς ἵππους (ἐχόντων) 91 ταχυτῆτος (Ψ 740)· τάχους. λέγει δὲ τοῦ δρόμου 93 τάων μοι (Δ 46)· τούτων μοι Ad 303 καὶ πόλις Ἀρκαδίας (Β 607) 10 τέγξω· κατασκευάσω (τεύξω) 13 τέειν (δ 619)· σοί. Δωριεῖς (356) 15 τεῆς (η 290)· τῆς σῆς 16 τεθαλυῖαν (Ι 208)· θάλλουσαν, ἀκμάζουσαν 20 τέθειγεν· ἥψατο 21 τεθελῶτα· θάλλοντα (399) 23 τέθηδεν· ἐθαύμασεν (ad τέθηπεν). ἀνεφύη (ad τέθηλεν) 30 τεθήσατο (Ω 58)· ἐθηλάσατο Ad 32 ϛτ' ὄπισθεν εἰς τὴν πρώτην $\bar{\kappa}$ στι$^{\chi}$ τεθμός 34 τεθνία· γαστριμαργία πολλή (τενθεία) 43 τεθρηδών· πρωρεύς (τερθρ—)

†τεθυλλιαμένον· τεταραγμένον, ἀπὸ τῆς θυέλλης

τεθυ(μ)μένον (Plat. Phaedr. 338 A)· τὸ κεκαυμένον ὑπὸ πυρός [48]

τεθυωμένον (Ξ 172)· ἡγνισμένον. τεθυμιασμένον. εὐῶδες

τεθωγμένοι· τεθυμωμένοι

τέθωκται· τεθύμωται

τεθωγμένοι· μεμεθυσμένοι ⟨317⟩ [53. 54]

τεῖδε· ἐνθάδε ⟨847 et col. 1118, 22⟩

τεῖν· †ζητεῖν. ἄλλοι δὲ σοί ⟨τεΐν 313⟩ [57]

τεῖον· ποῖον. Κρῆτες

τείρεα (Σ 485)· ἄστρα

(τειρίνους· τείρων διάνοιαν, λυπῶν) cf. 531 [60—63]

τείρων· λυπῶν. τιμωρῶν. καταπονῶν

†τείχεα· τέκνα [66—68]

τειχίον· Ἀττικοὶ τὸν περίβολον τοῖς χωρίοις. ὁ δὲ Ὅμηρος τεῖχος μὲν τὸ τῆς πόλεως, τειχίον δὲ τὸ τῆς οἰκίας (π 165)

τειχομαχεῖ (Thuc. I 102 Xen. Hell. I 1, 14)· πολιορκεῖ [71]

Τειχοφύλαξ· ἥρως τις ἐν Μυρίνῃ [73—74b]

τέκμαρ· πέρας, τέλος

τεκμαίρεο· σημείωσαι

τεκμαίρεσθαι· σκέπτεσθαι. φράζεσθαι

τεκμαίρομαι (η 317)· ἀποτελέσω. σημειώσομαι

τεκμαίρεται· ἐπὶ τέλο[υ]ς ἄγει. στοχάζεται. περαίνει [80]

τεκμήριον· σημεῖον ἀληθές

[ad 82] τεκμηρίων· σημείων

τέκμωρ (Η 30)· τέλος φανερόν, μαρτύριον, σημεῖον. τὰ δὲ εἰς ωρ λήγοντα ὀνόματα οὐδέτερα· ἔλωρ, τέκμωρ, ὕδωρ

τεκνοῦσα (Soph. Tr. 312)· τέκνον ἔμβρυον ἔχουσα [85—87]

τεκτονουργός (Soph. fr. 163)· ἀρχιτέκτων

τέκτων· πᾶς τεχνίτης (Apoll. lex.). εἶδος φαλαγγίου

†τέλα· σπεῦδε [91]

τελαμών (Λ 38 λ 609)· λῶρος. καὶ ὁ ἀναφορεὺς τοῦ ξίφους καὶ τῆς ἀσπίδος, ἢ δεσμός, ἢ φασκία

Τελαμῶνα ᾄδειν (Ar. Lys. 1237 al.)· ἀρχὴ σκολίου

Τελαμώνιοι κόνδυλοι (Aristophont. fr. I 7 p. 357)· οἱ προσδεόμενοι τῶν τελαμώνων. ἢ μεγάλοι, χαλεποί

τελάσσαι (Aeol.)· τολμῆσαι, τλῆναι

τέλγη· ὁ καλούμενος ῥῶπος. κακῶς· ἔστι γὰρ γέλγη

†τελδαίνειν ⟨—δε νιν⟩· κομιδῆς ἀξίου

τελέθει· γίνεται (Η 282). ἔστι. τελεῖται

τελέθοιεν· ὑπάρχοιεν. θάλλοιεν

Τελεία (Ar. Th. 973)· [ad 400] ἡ Ἥρα

τέλεια ἱερά (Dem. 1365, 17)· τὰ ἐνιαύσια. οἱ δὲ τὰ ἡμέρας δέκα ὑπερβεβηκότα

τέλειοι· οἱ γεγαμηκότες

Τέλειος (Aesch. Ag. 973)· τελεσιουργός. ὁ Ζεύς, καὶ ὁλόκληρος

τέλειος ἡμέρα· ἡ ὑστάτη, καὶ τελοῦσα τὸν βίον ⟨415⟩ [5—7]

τελενικίσαι (Cratin. p. 139)· ἀντὶ τοῦ [μὴ] κενὸν ποιῆσαι [9. 10]

?τελεστινόν· τὸ ξηρὸν σῦκον

τελεσιάς (Ath. 629. 30)· ἡ μετὰ ξίφους ὄρχησις, ἀπὸ τοῦ εὑρόντος Τελεσίου [13]

τελεσίερον παιᾶνα· τὸν ἐπιτελεστικὸν τῶν τοῖς θεοῖς ἐπιτελουμένων ἱερῶν [15]

COD. 50 τεθυμιασμένοι 51 τεθυμίαται 52 L. —θαγ— vel —θωχ— 55 τεῖδαι 89 |γείου 96 τελγή — ῥωπός — γελγή 99 |ειεν |ειεν θάλοιεν (cf. τεθελῶτες et Call. Ap. 49) 400 τέλεια· — ἡ ·ρα 8 τελενικῆσαι 12 τελεσία 14 τελεσιγέρων — τῶν ἐπιτελεστικῶν

HES. 48 τεθυκώς· εὐχαριστήσας 53 τειαλεσθὴν τὴν ἄμαξαν (Ω 711) cf. 734. 836 54 Τειγησός· ἀκρωτήριον Κύπρου ⟨308⟩ 57 τ[ε]ίνειν· ἀποδιδόναι 60 τείρει (Δ 315)· καταπονεῖ 61 τείρεο (Ε 352)· κατεπονεῖτο (Ρ 745) 62 τείρεσθαι (Ζ 387)· καταπονεῖσθαι 63 τειρόμενον (Ε 391)· καταπονούμενον. τιμωρούμενον (cf. τιμωροῦσι) 66 τειχειόεσσαν (Β 559. 646)· καλὰ τείχη ἔχουσαν 67 τειχεσιβλῆτα· τείχη καταβαλών ⟨Zenodot.⟩ 68 τειχεσιπλῆτα (Ε 31. 455)· προσπελάζων τείχεσι 71 τεῖχος Ἄρειον (Δ 407)· ἀντὶ τοῦ πόλιν Ἄρεως. δηλοῖ δὲ καὶ τὸ ἰσχυρόν, καὶ τὸ ἀσφαλές 73 τέκεν (Β 513)· ἔτεκεν, ἐγέννησεν 74 τεκέεσσι (Γ 160)· [τέκνοις ἰδίοις 74b τέκεσσι]ν ἑοῖσι (Μ 222)· τέκνοις ἰδίοις 80 τεκμήρατο (κ 563)· συνεπεράνατο Ad 82 [τεκμήρων· ἢ] 85 τεκνώσει (Eur. Phoen. 19)· εὔτεκνον ποιεῖ 86 τεκταινόμενος (Prov. XI 27)· κατασκευάζων 87 τεκτήνατο (Ε 62)· κατεσκεύασεν, ἐμηχανήσατο 91 τέλαθι (Α 586)· ὑπόμεινον Ad 400 [καὶ τέλη. τὰ ἀναλώματα. καὶ τὰ συνέδρια τῶν ἐν ἀρχῇ. καὶ τὸ συντέμνειν. τάγμα. τάξις] 5 τελειότατον (Θ 247)· ἐντελέστερον 6 τελειότατον πετεηνόν (Θ 247)· ἐπὶ τελεστικώτατον 7 τελείων (Α 66)· ἤτοι τὴν ἡλικίαν· ἢ ὁλοκλήρων, ἀσινῶν 9 τελειώσεις (Exod. XXIX 10)· ἁγιάσεις 10 τέλεον (τέλσον)· τὸ τέλος, καὶ πέρας 13 τελέσαι (Hom.)· δοῦναι 15 τελέσιος ἡμέρα· ἡ ἐσχάτη ⟨404⟩

τελεσιουργία· τὸ τέλειον πᾶν ἔργον

τελεσιουργεῖσθαι· τελειοῦσθαι ἐν ἔργῳ

τελεσιφά†στας· τελεσιουργός

τελεσ†θία· θυσία τις ἐν Λίνδῳ

τελεσφορεῖ· εἰς τέλος ἄγει

τελεσφόρος· ὁ τελεσφορῶν καθ' ὥραν τοὺς καρπούς, ἢ ὁ τελείους αὐτοὺς φέρων (cf. T 32)

τελεσφόρος οἶκος· τοῦ γεγαμηκότος καὶ τεκνώσαντος

τελέσωμεν· πράξωμεν

τελεταί· ἑορταί. θυσίαι. μυστήρια

τελεύτατον· ἄκρον, ἔσχατον [26. 27]

(τέλη· τὰ ἀναλώματα. καὶ τὰ συνέδρια τῶν ἐν ἀρχῇ. καὶ τὸ συντέμνειν. τάγμα. τάξις) cf. 400

τελητέσσας ἑκατόμβας (Α 315)· τὰς ἐπιτελεστικὰς τῶν γινομένων εὐχῶν θυσίας, ἢ τῷ ἀριθμῷ πλήρεις

τέλθει· ἐν ᾠδῇ τέρπει

†τέλθεια· ὀνείδη. καὶ πόλις (Τευθέα?). καὶ ἔθνη. τέλη. οὐσίαι (ad τέλθεα)

τέλθος (Call. Cer. 77 LM. 106)· χρέος [32]

τελλίην· ὁ δεῖνα. Ταραντῖνοι

?τέλλεται· ἐπιτελεῖν (ἐπὶ τέλει?) φαίνεται. γίνεται. ἀνί(ύ)εται

†τελλίς· ὅλον. τάξις. μέρος [36]

τέλλον· ἐποίουν. ἔμελλον

τέλμα· τόπος πηλώδης, †ἔλαφος, †πλέξ, ἰλύς

τέλματα (Herod. II 93)· τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος

τελμάτων· πηλῶν

τελμῖνος· μολύσματος πηλώδους

τελμίς· ἡ ἐν τοῖς τέλμασιν ὑφισταμένη ἰλὺς καὶ πηλός

Τελμισεῖς· ἔθνος περὶ Λυκίαν (Τελμησσ—)

τέλος· τάγμα. πέρας. καὶ τὸ καταβαλλόμενον τοῖς τελώναις

τελοῦντα· τεταγμένον (cf. ἐτέλει)

τέλσα[ς]· στροφάς. τέλη, πέρα(τα)

τέλσον (Σ 544)· πέρας. καὶ τὰ ὅμοια

Τελχῖνες (Call. Del. 31)· βάσκανοι, γόητες, φθονεροί. ἢ παρὰ τὴν τῆξιν, ἢ παρὰ τὸ θέλγειν

τελχιτ†ένοντες· σκληροτραχηλοῦντες

τελῶμεν· ποιῶμεν [51—55]

τέμενος (Θ 48 al.)· πᾶς ὁ μεμερισμένος τόπος τινὶ εἰς τιμήν, ἢ ἱερὸν καὶ βωμός, ἢ ἀπονεμηθὲν θεῷ ἢ βασιλεῖ

τεμενωρόν· τεμένους φύλακα

τέμμαι (Aeol.)· τίνει

τέμματα· στεφανώματα (στ—?)

†τέμνηξ· πόρρω

?τέμμειν· πείθειν. τιμᾶν (Aeol. (691. 458)). [ad 61] ἡγεῖσθαι

τέμνοντα· ἀμέλγοντα (cf. ἔτεμνεν)

τέμπη (Herod. VII 173)· τὰ σύνδε(ν)δρα χωρία. τινὲς δὲ τὰ στενὰ τῶν ὀρῶν [64]

τεμποῦροι· ἀρχὴ ἐπιμελουμένη τῆς τῶν γυναικῶν εὐκοσμίας

τενάγη· κάθυδροι τόποι. ἢ ποτάμιος πηλός

τεναγώδεσι· τόποι(ς), ἔνθα ὀλίγον ὕδωρ [68. 69]

?τένεα· κόρυζα (cf. τέγεα)

τέναρος· κακοῦργος. συκοφάντης

τένδει (Hesiod. op. 522)· ἐσθίει, ἢ λιχνεύει. Τένθαι γὰρ οἱ λίχνοι

(Τενεάτας· Ἀπόλλων ἐν Ἄργει ἀπὸ τόπου καὶ ἐν Κορίνθῳ) cf. ζωτεάτας

Τενέδιον βέλος· ἀντὶ τοῦ Τενέδ(ι)ος πέλεκυς. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀποτόμως τι πραττόντων ‚ἔτι ἄρα τὸ πρᾶγμα Τενεδίῳ πελέκει συνέκοψαν'

Τενέδιος ξυνήγορος· ὁ ἀπότομος καὶ σκληρός

Τένεδος (Apoll. lex.)· πόλις Τρωϊκή, ἢ νῆσος (468)

†τενεκοῦντι· ἐνοικοῦντι. Αἰολεῖς

τένθαι· λωποδύται. μοιχοί

τενθρηδών (Ar. HA. IX 43)· ζῷον τῶν ἐντόμων καὶ κεντροφόρων παραπλήσιον σφηκί. ἔνιοι ἀγρίαν μέλισσαν

τενθρήνιον (ib.)· κηρίον

τενθρηνιῶδες (Hippocr. 916 A)· πολύκενον ὡς κηρίον καὶ ἀραιόν

COD. 19 Λύνδῳ 20 ἐν τελῶς 39. 40. 41 = 41. 39. 40 44 ἀλώναις 46 Ϝέλσας· στρέψας? 57 τεμένωρον 58 τείνει 63 τέμπει 65 τὶς 66 ποταμὸς 71 cf. τεωρεῖς 73 πρᾶγμα τενέδιον (76 Imo τ' ἐνοῖκεντι vel τ' ἐνϜυκίοντι) 78 κεντω| 80 πολὺ καὶ κενὸν κηρίον

HES. 26 τελευτῆσαι (β 280)· τελέσαι 27 τελέω (Ψ 180 al.)· δῶ, παράσχω 32 τελισκόμενος (Deuter. XXIII 18)· πληρούμενος, τελειούμενος 36 τελμῖν.· ὁ ἐκ τῶν τελμάτων πηλός 51 τέλωρ· πελώριον. μακρόν, μέγα (cf. ἑλώρη) 52 τελώριος· μέγας. πελώριος 53 τέλβεσθαι (ἀτεμβ—)· μεμψιμοιρεῖν. ἐπικαλεῖν 54 τέλβει· ῥήγνυται. ὀδυνᾶται (ἀτεμβ—). σχίζει. ἢ πείθει (461) 55 τεμένη (λ 184)· ναοί. ἄλση. ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία Ad 61 [τείθεσθαι] 64 τέμπλα· τέμπλῳ ἐπίσημα 68 Τέναγος· νῆσος Τροίας (475) 69 τέναι· ζῶναι (ταινίαι)

τενθ†ίνοι· λίθοι πλατεῖς [82]

τέννει· στένει. βρύχεται

τέννος· στέφανος ἐλάϊνος, ἐρίῳ πεπλεγμένος

τένοντες (Π 587)· τὰ διατεταμένα νεῦρα, ἀπὸ κεφαλῆς ἕως τῶν ποδῶν. καὶ ἡ συνάφεια τῶν νευριῶν [86]

τένων (Ar. HA. III 5)· τὸ ἐν τῷ τραχήλῳ νεῦρον

τέο (Β 225 Ω 528)· τίνος

τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων [89—91]

τέορ· σοῦ. Κρῆτες ⟨cf. τρέ⟩ [93]

τεούς· σούς

τεπτά· ἑπτά (Fεπτά?)

τέρα (Ar. Ran. 1343)· τέρεα. σημεῖα [97]

τερᾴζει (Plato; Aesch. Ag. 125)· τερατεύει

τέραμνοι· στεγανοὶ σκιαί. σκηνώματα

τέραμνος· κυψέλη

τερασκόποι· ὀνειροκρίται

τεράστια· θαύματα, σημεῖα

τεράστιοι θεοί· ἐπὶ σημείων τεταγμένοι

τερατεύεται (Aeschin. 41, 9)· δολιεύεται

τερατευόμενον· δολιευόμενον, ψευδόμενον. ἢ σημεῖον †ποιῶν [505. 6]

τερατοσκόπος (Plat. Legg. 933 C)· μάντις, σημειωτικός

τερατουργεῖ· παράδοξα ποιεῖ, ἢ τέρατα ἐργάζεται

τέρειν· ἁπαλύν

τέρεμνα (Eur. Phoen. 335)· οἰκήματα

τέρεμνος· ἰσχυρός. ἢ στέρεμνος [13]

τέρενα· ἁπαλά, τρυφερά

τέρετρα (ε 246)· τρύπανα

τέρεσσεν· ἔτρωσεν. ἐτόρνωσε

τερετίζοντα· λαλοῦντα. ἐκ μεταφορᾶς τῆς χελιδόνος;

τερετίσματα· ᾠδαὶ ἀπατηλαί. τὰ τῆς κιθάρας κρούματα. καὶ τὰ τῶν τεττίγων ᾄσματα

τερηδών (cf. Ar. Eqq. 1308)· σκώληξ οἰκῶν ἐν ξύλῳ

τέρθεται· ξηραίνεται. καίεται

τερθρεία (Isocr. 209 A)· λογομαχία. ἀπάτη. φλυαρία. φληναφία

τερθρεύειν· τηρεῖν. σκοπεῖν. λιπαρεῖν

τερθρεύμασι· φλυαρίαις

τερθρεύονται· ἀπατῶνται

(τερθρηδών· πρωρεύς) cf. 343

τέρθριοι· οἱ εἰς τὸ κέρας τοῦ ἱστίου ἑκατέρωθεν δεδεμένοι, ἐν οἷς τὸ ἄρμενον ἕλκουσι

τέρθρον (Eur. fr. 372 Hippocr. 645, 20)· ὁ λεγόμενος ἀρτέμων. ἔνιοι δὲ τὸ ἄκρον τοῦ κέρως. καὶ στέγη οἰκίας. τινὲς δὲ τὸ ἔσχατον καὶ ὑψηλόν

τερθρωτήρ· ὅπου ὁ πρωρεὺς προορᾷ τὰ ἐν τῇ θαλάσσῃ

τ' ἐρίκαρπον· μεγαλόκαρπον

†τερίμη· τάφρος

†τερίνη· τετριμμένη ⟨561⟩. οἱ δὲ τερπωλή

†τερῖνος· τηρῶν διάνοιαν, λυπῶν

τέρμα· σημεῖον. τέλος ζωῆς (Soph. OT. 1530). καμπτήρ (Ψ 462). ἔσχατον

τερματίζει· τελειοῖ, ὁρίζει

τερμάτων (Eur. IT. 117)· τελευταίων

Τερμέρ(ε)ια κακά (cf. schol. Eur. Rhes. 508)· τὰ μεγάλα [36]

τέρμινθος· φυτὸν ἐμφερὲς τῷ λίνῳ, ἐξ οὗ πλέκουσιν παρ' Ἀθηναίοι(ς) ὁρμιάς

τερμιόεντα (τ 242)· ποδήρη, καὶ εὔμετρον, τὸν μέχρι τῶν ποδῶν τερματιζόμενον [39]

τερμιόεν· ἁρμοστόν. τέλειον. ἁρμόζον, πρέπον

τέρμιον· ἔσχατον

τέρμις· πούς ⟨cf. ἑρμίς⟩

τέρμονα (Eur. Tro. 1081)· φραγμόν. τέλος

τέρμονες· τέλη. φραγμοί, ὅρια, τέρματα

τέρνακα· τῆς κάκτου τοῦ φυτοῦ καυλόν

Τερπιάδης (χ 330)· Τερπίου υἱός, ὁ Φήμιος. πατρωνυμικῶς [47]

τερπικέραυνος (Θ 2)· ὁ τερπόμενος, ἢ τρέπων πάλιν κεραυνοῖς

τερπνά (Ararot. p. 275)· ἡδέα

τερπωλή (Theognid. 1086)· τέρψις

COD. ⟨83 Imo τέννεται = στείνεται⟩ 85 νευρήων 89 τεότινος — ὀχεύων
ει
98 τεράζει 502. 3 —τει— 10 τέρ..ν 14 τερενέη ⟨20 τέθερται Meinek.⟩ 25 τερθροί 28 τερι| ⟨31 τειρίνους· τείρων?⟩ 36 ἄστατοι 37 |ιν Ἀθηναῖοι παρορμιάς 39 ἐν σκοδῷ 40 ἁρ. πρ.] post 41 45 καυλός; 48 τέρπων πᾶσι

HES. 82 τενίαι· ζῶναι. στέφανοι. ἢ δεσμοί, διαδήματα ⟨ταινίαι cf. 469⟩ 86 τενοτωσεῖς (Exod. XIII 13)· νοτοκοπεῖς. ἀποκτενεῖς (ex Aq. Symm. Theod.) 89 τεοῖο (Θ 37)· σοῦ 90 τεόν (Λ 138)· σόν 91 τεοί· σοί 93 τεὸς φθόγγος (Ε 234)· ἡ σὴ φωνή 97 τεράτεσι (Δ 398)· σημείοις 505 τερατεῖαι· ψευδολογίαι 6 τερετίσματα ἢ τερετίματα· ᾠδαὶ ἀπατηλαί, ἠχητικαί. ἢ μωρολογίαι ἠχημέναι (518) 13 τέρενα χρόα (Δ 237)· ἁπαλὸν χρῶτα 36 τέρμιοι· ὕστατοι 39 τερμιόεσσα (Π 803)· ἐς πόδας ἀποτερματιζομένη 47 τέρπεται (λ 602)· ἥδεται

τερπωλῆς (id. 984)· τέρψεως [52]
†τερρατόν· ἔσχατον. ἡδύ, τερπνόν
†τερρητόν· τριήρης [55]
τερσαίνειν· ξηραίνειν
τέρσει (Theocr. XXII 63)· ξηραίνει
τέρτα (Aeoles)· ἡ τρίτη
τέρυ· ἀσθενές, λεπτόν
τέρυας ἵππους· οὕτω λέγονται ὅσοι ἀδδηφάγοι εἰσί. ἔνιοι τοὺς ἀσθενεῖς
τερύνης· τετριμμένος (530) ὄνος. καὶ γέρων, ἢ δυσανάληπτος γέρων
τερύσκεται· νοσεῖ. φθίνει
τερύσκετο· ἐτείρετο
τέρφη (Nic. Al. 268)· λέπυρα
τέρχνεα· φυτὰ νέα. ἢ ἐντάφια
τερψιμβρότου (μ 269)· τοῦ τοὺς βροτούς, ἤγουν τοὺς ἀνθρώπους, τέρποντος
τέρψις (Soph. Ai. 114)· τερπνότης
τέρψομαι (Υ 23 π 26)· τερφθῶ
τεσσίχον (Boeoti)· τὸ μικρόν [70]
τε τὰ λίαν· χάρτα
τεταγών (Λ 591)· διατείνας. τινάξας [73]
τεταμένον (Timoth. Miles.)· ἡπλωμένον
τέτανος (= τίτανος)· κονία. χρίσμα. ἄσβεστος
τετάνυ(σ)το (Κ 156)· ἐκτέτατο. ἐπέκειτο
τεταργανωμέναι (Attici)· συμπεπλεγμέναι [78]
τέταροι (Ptolem. rex)· φασιανῶν εἴδη
τεταρπέσθαι· ἐμπλησθῆναι. τερφθῆναι [81. 82]
τεταρτημόριον· οἱ δύο χαλκοῖ
τετάρτῳ· μέτρῳ τῶν ὑγρῶν (Herod. VI 57)
τέταρτον ἥμισυ· τὸ τέταρτον ἡμιστάτηρον [86—88]
τετέλεσται· γεγένηται (Σ 74?). οἱ δὲ γεγάμηκεν [90]
τετελεσμένον (Λ 212)· τὸ οἷόν (τε) πρᾶγμα τελεσθῆναι, ἤγουν πληρωθῆναι [ad 91]
τετελεσμένος· τελισκόμενος (q. v.). ἀνδρόγυνος [93]
τετεύξεται (Μ 345)· κατασκευασθήσεται. γενήσεται
τετευχῆσθαι (χ 103)· καθωπλίσθαι [96]
τέτηφεν· ἐκπέπληκται, ἐκπλήττεται (τέθηπεν) [98—600]
τετιημένος (λ 114)· τὴν ψυχὴν τετιμωρημένος, ἐκπεπληγμένος, ἢ συγκεχυμένος
τέτλα (Arat. Phot. Bibl. 531, 12 Δ 412)· ὑπόμεινον, ἀνέχου [3—5]
τέτορεν· ἔτρωσεν
τετόρῃ· τρώσῃ
τετραβάμονος (Eur. Tro. 519)· τετράποδος
τετραβαρήων πλίνθων καὶ τάγματα· Ἀλκαῖος (fr. 154)
τετράγκων· ὄργανον πολεμικόν
τετράγυον (σ 373)· τεσσάρων γυῶν. Γύης δὲ μέτρον ἕκτον σταδίου. καὶ ἐν τῷ ἀρότρῳ τὸ κύρτωμα τοῦ ἱστοβοέως γύης. ἔνιοι γύην τὸ ὀργυιαῖον μέτρον [12]
τετράδι μὲν τ' οἴχου (Plat. com. p. 689)· τετράδι μέν φασι γενέσθαι (Ἡρακλέα), καὶ †πρῶτον ἔνδοξον ὄντα, ἄλλῳ ταλαιπωρεῖν. ἔστιν οὖν ἡ παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων
τετραδισταί (Alexid. fr. III p. 501)· σύνοδος νέων συνήθων κατὰ τετράδα γινομένη
τετράδων· ὀρνεόν τι. Ἀλκαῖος (fr. 155)
τετράδυσιν· †ἀηδόνας
τετραέλικτον ἅλμαν· ἤγουν τρικυμίαν
τετραελίκωπες· τέσσαρας ὀφθαλμοὺς ἔχουσ(α)ι ναῦς
τετραέλιξ· τετράκις περιειλημμένος, ἢ πολυέλιξ. ἢ φυτόν τι (Theophr. VI 4, 4)

COD. ⟨53 πέρατον et ἐπέραστον? 54 τε ⟨ῥυτόν⟩ 57 τέρσει τέργει ξ. 62 φωνεῖ ⟨65 cf. τρέχνος et τερχάνια, στερχανά, ταρχάνιον 66 τοὺς ἀ. ἢ. τ. βρ. 69 τεσσίχου 71 Ν 284] τέ τι λίην? τέτα, λίαν cod. 77 ἐμπ| 79 τετάργη· φασγάνων 84 με (τρ, supra) 89 τετέλεσθαι 601 τετρημένος 7 τετορείη· τρώσει 11 ὀργυῶν 13 ὄντα ἀλλ' ὡς

HES. 52 τερπώμεθα (α 369)· τρεπώμεθα 55 τέρσεται (η 124)· ξηραίνεται ὑπὸ ἡλίου. καίεται. οἱ δὲ πήγνυται 70 τεστήλητε, τύμβῳ (Π 457)· στήλῃ ἐν τῷ τάφῳ 73 τετακώς· τετολμηκώς ⟨ΤΕΤΛΗΩC⟩ 78 τετάργιστο ⟨—ρπετο⟩· ἐχορέσθη, ἐπλήσθη 81 τετάρπετο (Ω 513)· ἐτρέπετο 82 τε(τα)ρπώμεθα (Ψ 10)· ἐμπλησθῶμεν 86 τέταται· (λ 19)· τείνει 87 τέταχας (Habac. I 12)· ἐτύπωσας. ἔταξας. [ἐτύπασας (ο̄ supra)] 88 τεστέων κεφαλήν (Ρ 39)· τὴν σήν 90 Τερέβινθος (Genes. XIV 6)· πόλις Ἰακώβ ⟨π Ἰω̄β⟩ Ad 91 ἢ καὶ μεμιασμένον ⟨Osea. IV 14⟩ 93 τέτευ[γ]κται (Γ 101)· κατεσκεύασται 96 τετηότι (Λ 554)· λυπουμένῳ. ὀργιζομένῳ 98 τετιημέναι (Θ 437)· τετιμωρημέναι 99 τετιηκότες (Ι 13. 30)· ὁμοίως λελυπημένοι 600 τετιηότι (Λ 554)· λυπουμένῳ, τιμωρουμένῳ 3 τέτλαθι (Λ 586)· ὑπόμεινον 4 τετληότι (δ 447)· ὑπομεμενηκότι 5 τέτμῃς (ο 15)· εὕρεις, καταλάβεις 12 τετραδάμονος· τετράποδος ⟨608⟩

τετραέτηρον, τετραετῆ καὶ τετράενον (Callim. Ap. 57)

τετραθέλυμνον (Ο 479)· τετράπτυχον, ἐκ τεσσάρων πτυχῶν [ad 21] τεθειμένον, ὅ ἐστιν ἐπιθήματα ἔχον τέσσαρα ἐπάλληλα, ἐκ τεσσάρων δερμάτων συνεστός

τετραῖον· ὀρνιθάριόν τι. Λάκωνες

τετραχίνη (Phryges, Hippon. fr. 135)· ἡ ἀγρία θρίδαξ [24]

τετρακτύς· Πυθαγορικὸς ὅρκος, ἤγουν τῶν τεσσάρων στοιχείων σημαίνων

τετράκωμος· μέλος τι σὺν ὀρχήσει πεποιημένον εἰς Ἡρακλέα ἐπινίκιον. ἐκαλεῖτο δὲ τέσσαρες κῶμοι

τετραμαίνει (Hippocr. II p. 842 K)· τρέμει, φοβεῖται

τετραμ(μ)έναι (ε 71)· ἀπεστραμ(μ)έναι, πρὸς αὐτοὺς τὰς ὄψεις ἔχουσαι

τετραντίας· τετράγωνος. καὶ ἰσχυρός

τετρᾶντα (Siculi)· τετράγωνόν τι σχῆμα. δηλοῖ δὲ καὶ τοὺς τέσσαρας χαλκοῦς

τετράξων· εἶδος χαλινοῦ

τετράοροι (ν 81)· τέσσαρες ἐπὶ τοῦ τεθρίππου ὑπεζευγμένοι

τετράρχαι· οἱ βασιλεῖς

τέτραπται· ἔστραπται

τετραστάτηρον (Ar. Eccl. 413)· τὴν τετράμνουν [36]

τετράφυον· τετραπάλαιστον [38]

τετραχίζειν (Ar. fr. inc. CCLXIV)· τὸ ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι [40]

τετρᾶχμα· τετράδραχμα

τετράψομαι· εἰς ἐκεῖνο τραπήσομαι

τετράων· ὄρνις ποιός [44]

τετρῆναι· τρῆσαι [46—48]

τέτριγε (Epicharm.)· τρίζει [ad 49] [50. 51]

τετριμμένη· πεπατημένη ὁδός

τέτρομος (Γ 34? Hippocr.)· τρόμος [54]

τετρόφασιν· ἀπευηνόχασι

τέτροφε· πέπηγε. πέφυκε. [ἐ]μετεώρισται

τετρυχόντεσσι· †κεκυπρωκόσι

τετρυμένον (Herod. II 129)· λεπτόν. καταπεπονημένον. διεφθαρμένον

τετρυμένος (Callim. Ep. LXIX 1)· τετρυχωμένος. δεδαπανημένος ἐν κακοῖς

τετρῦσθαι (Herod. I 22)· καταδεδαπανῆσθαι. καταπεπονῆσθαι [61]

τετρυχωμένος (cf. Thuc. IV 60, 2)· καταπεπονημένος

τέτρωλον (Cret.?)· τετράϊππον [64]

τετρωμένος· πεπληγμένος

τέτρωρον (Eur. Alc. 501)· τετράϊππον ἅρμα

τέττα (Δ 412)· νεωτέρου πρὸς πρεσβύτερον τιμητικὴ προσφώνησις

τέτταρα ξύλα· ἐπὶ τῆς θύρας οὕτω λέγουσιν Ἀττικοί

Τέττιγος ἕδρανον· ἡ Ταίναρος. Τέττιξ γὰρ ὁ Κρὴς Ταίναρον ἔκτισεν

τεττιγοφόρας (Ar. Eqq. 1331)· Ἀττικοὶ ἐπὶ τῶν τῆς κεφαλῆς τριχῶν εἶρον χρυσοῦς τέττιγας

τέττιξ· ἔξω τοῦ συνήθους ζῴου παρὰ Ἀττικοῖς οἱ τῶν μαγείρων ὑπηρέται ξένοι, οἱ δὲ ἐντόπιοι μαίσωνες (q. v.)

τετυγμένα· σύνθετα, πεποιημένα. πεφροντισμένα

τετύκοντο (Λ 467)· ἡτοιμάζοντο

τέτυκται (Γ 101)· κατεσκεύασται

τετύλωται· ἐμπέφρακται [76]

τετύσκετο· κατεσκευάζετο

τετύσκων· ἐμφανίζων

τετύφωται (Dem. 1483, 2)· ἀπόλωλεν. ἐμπέπρησται. ἐμβεβρόντηται [ad 79]

τετυφῶσθαι (Dem. 116, 6. 682, 6)· μεμηνέναι [81—83]

COD. 21 ἔχων· 25 |κτής 26 τεσσάρειν 27 τέτραμένη 29 τετρανθίας 30 |άντα — χάλκους 31 τετράζων 32 τετραόρχαι 41 τέτραχμα 44 τέτρηγεν, ἐτρύγησεν 45 τρίσαι 57 τετρικότεσσι 58 τετριμμένον 59 τετρυομένος |χομένος 62 |ομένος 63 τέτραλον 68 οὐρᾶς 70 εἱρομένων χρυσοῦς τέτας 71 μαίσονες

HES. Ad 21 [ὅ ἐστι] 24 τετράκολος (Greg. Naz. p. 82, 47 Dr.)· τετράπους 36 τεταφάληρον (Λ 41)· τέσσαρας φαλούς ἔχουσαν, καὶ ἐξοχάς, οἵ εἰσιν ἧλοι λαμπροὶ περὶ τὸ μέτωπον τῆς περικεφαλαίας κατακρουόμενοι 38 τετράφθω (Μ 273)· ἀναχωρείτω 40 τέτραχηλισμένα (Hebr. IV 13)· πεφανερωμένα 44 τέτρηνεν (ε 247)· ἐτρύπησεν 46 τετρήχει (Β 95)· τετράχυντο. πεπύκνωτο. τετάρακτο. ἢ θορύβου πλήρης ἦν 47 τεῦ (ο 508 § 510)· τινός 48 τετρίζει (Ψ 714)· ἔτριζεν Ad 49 [τέτριγεν] 50 τετριγῶτας (Β 314)· τρίζοντας 51 τετριγυῖα (Ψ 101)· [τετρωμένη ⟨ad τετρημένη⟩.] τρίζουσα 54 τετροπωμένους (Iosu. XI 6)· νενικημένους 61 τε τρυφάλεια (Κ 76)· περικεφαλαία 64 τετρωμένη (Cantic. II 5 V 9)· πληγεῖσα 76 τετυρευμένον (Ps. LXVII 15)· συγκείμενον. ἀπὸ τοῦ πηγνυμένου γάλακτος Ad 79 ἐπήρθη (I Timoth. VI 4) 81 τετύχησι (Δ 116)· τύχῃ. παρατύχῃ 82 τετώμενοι· ὑστερούμενοι. ἐνδεῶς ἔχοντες ⟨τητ—⟩ 83 τευάζοντες· πλανώμενοι ⟨τευτ—⟩

τευθίδες (Ar. HA. V 6)· σηπίαι. θρίσ(σ)αι

τευθίς· πέμμα πλακουντῶδες (Iatrocles). καὶ εἶδος ἰχθύος θαλαττίου (Antiphan. fr. I 20 p. 126)

(τεύχονον Ath. III 114 D)

Τευκροί· οἱ Τρῶες: καὶ οἱ ποιηταί ⟨τεῦκροι⟩

τεῦκρον· ποιητήν

τευκτῆρος· ποιητοῦ

τευκτοῖς· κατασκευασθεῖσιν

τευκτόν· χειροποιητόν, κατασκευαστόν

τευμᾶται (Antimach. fr. 3, 2)· τεχνάζει. τιμᾶται ⟨461⟩

Τεύμης· ποταμὸς ⟨τόπος?⟩ Θηβῶν

Τευμησία· περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανὰ εἰρήκασιν

Τευμησσός· ὄρος Βοιωτίας

τεῦξαι (Eur. Rhes. 959)· ποιῆσαι, κατασκευάσαι [96. 97]

τεῦξις· κατασκευή, ποίησις

τευξομένη· ποιήσουσα

τευξόμεθα· τύχωμεν

τευτάζει (Pherecr. fr. LV)· σκευωρεῖ. ἡσυχάζει. διατρίβει. οἱ δὲ φροντίζει [702]

τευτάζοντες· πλανώμενοι

τευτασμός· στραγγεία [5]

τεύχεα· ὅπλα, οὐ μόνον τὰ πολεμικά, ἀλλὰ (καὶ) τῆς νεώς, καὶ τὰ σκεύη, καὶ τὰ χαλκευτικὰ ἐργαλεῖα (γ 432)·

ἦλθε δὲ χαλκεὺς
ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα, πείρατα τέχνης [7—9]

τευχησταί (Call. Iov. 77)· ὁπλῖται

τεῦχος (Pherecr. p. 286)· βιβλίον. ὅπλον. ἄγγος, σκεῦος

τεύχοντες· κατασκευάζοντες

τεῦχρος (Cret.)· ἀδελφὸς νόθος

τεύχω· κατασκευάζω

τεύχωνται· σάττωνται. ὁπλίζωνται (Nic. Th. 198?)

τέφρα· σποδός

τεφρόν (Ar. HA. IX 45 Nic. Th. 173)· σποδόν, φαιόν, πολιόν [18. 19]

τεφρώσας (Lycoph. 227)· σποδώσας

τεχνάζω· τεχνάζομαι

τέχνη· ἐπιστήμη. ἢ δόλος. καὶ ἀτέχνως· ἀδόλως

τεχνήματα (Soph. Phil. 36 Eur. IT. 1355)· κατασκευάσματα [24]

τέχνης γὰρ οὐχ ἥμαρτες (Com. an. fr. CLXXVIII[b]) [26]

τέων δέ (Ω 387)· ποίων δέ [ad 27]

τεωρεῖς· δραπέται. κακοῦργοι, λῃσταί

τέωρος (Hipponact. fr. 15)· συκοφάντης. καὶ τὰ ὅμοια

τέως· ἕως (Ar. Pac. 32 Dem. 446, 3), μέχρι. ἢ πρὸς τὸ παρόν. ἢ ὅμως. ἢ τότε. ἢ ἐν τοιούτῳ (Ar. Pac. 687). τηνικαῦτα (Ω 658). ἢ ἀντὶ τοῦ πρότερον (Aristoph. p. 1159)

τῇ· ἄρθρον προτακτικὸν θηλυκόν (Α 54). καὶ ἀντὶ ὑποτακτικοῦ. [ἢ λάβε (Ξ 219).] ἢ σέ. ἢ ταύτῃ (ι 5). ἢ σή. χωρὶς τοῦ ῑ προστακτικὸν ἀνάλογον τῷ λάβε·

Κύκλωψ, τῆ, πίε οἶνον (ι 347). λάβε

τῆ (Call. Ep. XXXIX p. 306)· δέξαι [33. 34]

τῇ ἄλλως· τῇ ματαίως (cf. τηυ—)

τήβεννος· εἶδος περιβολαίου παρὰ Ῥωμαίοις

τήβηθ· περίτιος μήν (cf. Esth. II 16)

τηγανίτης (Hipponact. 35, 2)· ἄρτος ἐπὶ τηγάνου γεγονώς, καὶ μετὰ τυροῦ ὀπτώμενος [39]

τηθαλλαδοῦς ἢ τηθαμμωδοῦς· ὁ γυναικοτραφής. ἄλλοι τὴν ὑπὸ τήθῃ γενόμενον καὶ τεθραμμένον. ἄλλοι τὴν μαμμόθρεπτον καὶ σπάταλον

τήθεα (Π 747)· ὄστρεα [42]

τήθη (Menand. p. 228)· ἡ τῆς μητρὸς καὶ πατρὸς (μήτηρ), ἡ καὶ μάμμη, καὶ τηθίς· ἡ τῶν γονέων ἀδελφή [44]

τηθύα· τενάγη, ἃ προχέουσιν οἱ ποταμοί. καὶ εἶδος ὀστρέων (Ar. HA. IV 4, 6 VIII 1)

COD. 86 Τεῦκροι 87 τεύκρον 98 cf. τύξιν 99 ποιήσασα 701 τευτάξει 4 στρατηγίαν 15 ὁπλίζονται 18 κυνία 28. 29 cf. τέναρος, λεωργός 31 σέ] ad τεί σή] τεή (Ξ 249) 38 ὀπτύμενος 40 τηθαλλαδούση, τηθαμμωδούση — ὑποτιθῆ 42 cf. ἤθεα διφῶν 43 τήθη τηθὴς ἡ — καὶ ἡ τῶν

HES. 96 τεῦξαν (Φ 538)· κατεσκεύασαν 97 τεῦξε (Σ 608)· κατεσκεύασε 702 τευτέξεται· τε[υ]χνάζει. τέμνεται (τευμᾶται?) 5 †τευτᾶτ(αι)· τεχνᾶται (702) 7 τεῦχε (Α 4)· κατεσκεύασε 8 τεύχῃ (Α 110)· ποιεῖ 9 τεύχη (Η 207)· ὅπλα 18 τέφρα· σποδός, κόνις 19 τέφρῃ (Σ 25) καὶ τεφρόν· ὁμοίως 24 τεχνήσομαι (Ψ 415)· ἐπινοήσω. τεχνάσομαι 26 τέῳ· τινί (Π 227). ἢ τοὺς σούς, δυϊκῶς (Ε 230) Ad 27 ἢ τῶν σῶν δέ 33 τῇ ἁδρότητι (II Cor. VIII 20)· τῇ ὑψηλότητι 34 τῇ ἀλέσθῃ (Ω 711)· τῇ ἀμάξῃ (cf. τειαλέσθην, τιαλέσθην) 39 τῇδε (Ν 121)· ὧδε, ἐνταῦθα 42 τήθεα (διφῶν Π 747)· τὰ ἄρρυγα, ἢ ὄστρεα ζητῶν 44 τηθηνόν· ἐράσμιον ⟨τιθ—⟩

Τηθύς· ἡ γῆ [47]
τηκεδανοῖο· τηκομένου, τήκοντος [49]
τηκεδών (Plat. Tim. 82 E)· φθίσις, τῆξις [51]
τηλαυγές (Ar. Av. 1711)· τηλέσκοπον. καθαρόν [53—56]
τηλεδαποί· οἱ πόρρωθεν καὶ ἀπὸ τοῦ ἄλλου δαπέδου. ξένος ἀλλοδαπής. καὶ τηλεδαπός (ο 224) ὅμοιον [58]
Τηλεβόαι (Hes. Scut. 19)· οἱ Τάφιοι [60. 61]
τηλέθροον· ὀξύφωνον, μεγαλόφωνον
τηλεκλειτοί (I 233 Z 111)· πόρρω ἔνδοξοι [64—66]
τηλεσκόπος (Ar. Nubb. 290)· πόρρω ὁρῶν
τηλεφανής (ω 83 Soph. Ph. 189)· μακρόθεν φαινομένη
τηλεφανές· φαινόμενον μακρόθεν
Τηλεφίδην (λ 518)· Τηλέφου υἱόν
τηλέφιλον (Theocr. III 29)· φυτόν τι. τινὲς δὲ ἀείζωον ἄγριον
τηλία (Ar. Plut. 1037)· σηλία, ἐν ᾗ διαμάττεται τὰ ἄλευρα. ἡ περιφέρεια κοσκίνου
τήλιδα· οὕτως ἐκάλουν τὴν συνηρμο(σ)μένην
τηλικαῦτα· τοιαῦτα [75]
τηλικώτατον· πρεσβύτατον [ad 76] [77. 78]
τηλουρόν (Aesch. Prom. 1. 807)· πόρρω ἀφωρισμένην. τινὲς μὲν ὡς πανοῦργον, τινὲς δὲ ὡς κηπουρὸν τῷ τόνῳ
τηλοῦρος· μακρόθεν ἀποθείς [81]
τηλύγετος (I 143)· ὁ τηλοῦ τῆς ἡλικίας τοῖς γονεῦσι γεγονώς, ἐπὶ γήρᾳ παῖς μονογενής
τηλυγέτων ἀποικιῶν· τῶν μακρὰν ἀπεχουσῶν
τηλωπόν· μακρόθεν φαινόμενον
τημελεία· θεραπεία. ἐπιμέλεια
τημελές· ἐπιμελές, σπουδαῖον
τημελητής· ἐπιμελητής
τημελῆσαι· θλῖψαι. φιλοκαλῆσαι. σπουδάσαι. καὶ τημελήσαντες καὶ τημελούμενοι ὁμοίως
τήμερον (Aristoph. p. 1068)· Ἀττικοὶ [ad 89] καὶ τήμερα λέγουσιν
τῇ 'μῇ· τῇ ἐμῇ ἕπεσθαι
τῆμος (Π 434)· τηνικαῦτα, τότε
τήν (κ 102)· ὁτὲ μὲν ἄρθρον προτακτικὸν θηλυκόν. [ad 92] καὶ ἀντὶ τοῦ ταύτην
τηνάλλως (Demosth. 34, 13)· τὴν μάτην [93b]
τήνεβλος (Ar. Eqq. 276)· ἐφύμνιον, ἀφ' οὗ ὁ νικῶν τήνεβλος
τήνεβλα (Archiloch. fr. 118)· τὰ ἐφύμνια ᾀδόμενα τοῖς νικῶσι
τὴν ἐπιδεξιάν· περιέφερον ἐν τοῖς συμποσίοις ἐπὶ δεξιὰ τὸ πάλαι κιθάραν, εἶτα μυρρίνην, πρὸς ἣν ᾖδον
τηνεσμός (Hippocr. 523, 17 Nic. Al. 382)· νόσημα περὶ τὰ ἔντερα [98]
†τηνήδε, ἐποίησε δέ σοι ⟨1643⟩
τὴν ἠϊόνα (Herod. VIII 96)· τὴν αἰγιαλόν
†τήνης· ἕως. Ταραντῖνοι
Τηνία· ἔχιδνα. ἄλλοι δὲ τὴν στηθοδέσμην (Boeot.)
τηνίκα δέ· τότε δέ
τηνικαῦτα· [ad 804] τότε
τὴν κύλικα· τὴν φιάλην, τὸ ποτήριον
τὴν παῖδα· τὴν παρθένον
τὴν προσήκουσαν· τὴν ὀφειλομένην
τὴν φειδώ· τὸ φείδεσθαι
τῆξις (Hippocr. 189 D)· φθίσις, νόσος. παρὰ τὸ τήκεσθαι [10. 11]
τῇ πρὸς ἀκτῖνα· τῇ ἀνατολῇ [13—15]

COD. 57 τηλεδάνοι — τηδέδαπος 59 Πάφιοι 62 τηλύθροον 71 ἀειζῶον 73 cf. τᾶλις 88 τημελίσαι [ἀλεῖψαι?] 95 τηνεβλατὰ 96 ἐπιδεξιᾶ τὸ ⟨99 τίνη δ' ἐπόησε Doric.⟩ ⟨801 τείνη· σέ, ὡς⟩ 3 τηνικάδε

HES. 47 τῆι ῥίνωι σχέτο (Π 248)· ἐν τῇ βύρσῃ ἐπεσχέθη, ὅ ἐστιν ἐν τῷ ὅπλῳ, ἡ ἐν τῇ βελέῃ 49 τήκει (Nahum I 6)· φθείρει. δαπανᾷ. λεπτύνει 51 τηκόμενος (ε 396)· φθειρόμενος. λεπτυνόμενος. δαπανώμενος 53 τῆλε (Θ 14)· μακράν. πόρρω 54 τηλαύγημα (Levit. XIII 23)· ἀρχὴ λέπρας ⟨cod. λαμπρᾶ⟩ 55 τηλαυγήσεως (Psalm. XVII 12)· λαμπρότητος 56 τηλαυγῶς (Marc. VIII 25)· λαμπρῶς 58 τῆλε δέ (X 291)· μακρὰν δέ 60 τηλεθάον (P 55)· θάλλον, ἀκμάζον, εὐανθές 61 τηλεθόωσαν (Ψ 142)· θάλλουσαν, θάλπουσαν 64 τηλεκλειτά (T 400)· ἔνδοξα, καὶ μέχρι πολλοῦ ἀκουόμενα 65 Τηλεμάχῳ καὶ ἐμοὶ διαειπέμεν (δ 215)· πρός με καὶ Τηλεμάχῳ ἔσται ὁ λόγος 66 τηλέπυλον (κ 82)· μακρὰν ἀπ' ἀλλήλων ἔχουσαν διεστώσας τὰς πύλας. ἐξ οὗ τὴν μεγάλην δηλοῖ, [ἢ στύλου πύλαι] 75 τηλίκος (α 297)· τηλικοῦτος. ἡ νήπιος Ad 76 πορρώτατον ⟨τηλότατον⟩ 77 τηλόθεν (A 270)· πόρρωθεν 78 τηλόθι (A 30)· ὁμοίως 81 τηλυγέτην (Γ 175)· μονογενῆ Ad 89 [τήμερος] Ad 92 τήν ποτε Φοίνικες (ο 418) 93b τήνδε (A 127)· ταύτην 98 τὴν εὐπερίστατον (Hebr. XII 1)· τὴν εὔκολον Ad 804 [πότε. ἢ] 10 τῇ ὀρέξει (Rom. I 27)· τῇ ἐπιθυμίᾳ 11 τήποδα· λέβητα. τρισκελῆ, χαλκίον 13 τηπεδέσε χρεώ (K 85)· τίς δέ σε χρεία καταλαβεῖν; ⟨939⟩ 14 τηρεῖ (I Ioann. V 18)· φυλάσσει, φρουρεῖ 15 Τήρια (B 829)· ὄρος Τρῳάδος

Τηρίας (Thuc. VI 50. 90)· *ποταμὸς Σικελίας* [17]

τῆς ἄλης· *τῆς πλάνης*

τῆς δεῦρο· *τοῦ παρόντος*

τῆσδε φύσεως· *ταύτης τῆς φύσεως* [21]

τῆς ὑπερῴας· *τοῦ οὐρανίσκου*

τήτει (cf. Eur. fr. 495)· *σπάνει*

τῆτες (Ar. Ach. 15 fr. p. 1002)· *ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σᾶτές φασιν· ὅθεν σατανίους πυροὺς* [καὶ] *μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους*

τήτη· *ἀπορία, ἔνδεια, στέρησις*

τητωμένη· *στερομένη* [27. 28]

τητωμένου· *στερομένου*

τητώμενον· *στερισκόμενον*

Τηΰγετον (ζ 103)· *ὄρος*

τηϋσίην (γ 316 ο 13)· *ματαίαν*·

σὺ δὲ (τη)υσίην ὁδὸν ἔλθῃς

τινὲς ἀρχ(α)ίαν· ἄλλοι βλαβεράν, ἢ περιβόητον

τηΰσιον· *μάταιον*

†*τιάλλακτον*· *Σέλευκος παρὰ Ἐπαινέτῳ ἔμβαμμά τι* [35]

τιάρα (Xen. An. II 5, 23)· *ἡ λεγομένη κυρβασία. ταύτην δὲ οἱ Πέρσαι βασιλεῖς μόνοι ἐχρῶντο ὀρθήν· οἱ δὲ στρατηγοὶ ὑποκεκλιμένην. Ἡρόδοτος δὲ ἐν α′* (c. 132) *ἀρρενικῶς*

τιάρις· *λόφος τῆς περικεφαλαίας, περίθεμα κεφαλῆς, καμελαύκιον*

?*τιβάθων*· *τιμώμενος*

Τιάσσα· *κρήνη ἐν Λακεδαιμονίᾳ. τινὲς δὲ ποταμόν*

†*τίβδαινον*· *φίλον*

τιβδεῖ· *φοβεῖται*

τιβήν (Lycophr. 1204)· *λέβης, τρίπους*

τιγάς· *εἶδος ἀμπέλου*

τίγγα· *Διοκλῆς ἐν Μελίτταις* (fr. I). *Ἡρακλέων δὲ οὐ διελὼν τιγγάβαρυ τὸ κιννάβαρι[ν] λέγει*

τιγόνιον· *εἶδός τι Ἀριστοτέλει* (HA. V 30 IV 7)

Τίγρης (Herod. I 189)· *ποταμὸς Περσῶν. καὶ ὁ τοῦ ποταμοῦ ῥοῖζος. καὶ ζῷον* [ad 46] *τίγρις*

τί δαί· *τί γὰρ ἄλλο, ἢ τί γάρ; (ὧδε, ἐνταῦθα) Κρῆτες. Βοιωτοὶ* (Ar. Ach. 869) *δὲ ἐνθάδε. Ἀττικοὶ διὰ τί δή*

τί δή ποτε· *διὰ τί*

τί δῆτά σοι· *διὰ τί σοι*

†*τί δόστορε*· *τί ποιεῖτε; Ταραντῖνοι* [51]

τίεσκε μύθους (Trag. inc.)· *ἐτίμα λόγους* [53—57]

τιήρη(ς)· *τὸ ὀξύ ...... Πέρσαι*

†*τιητιβεῖν*· *τιμωρεῖσθαι*

τιθαί· *τιθασσαί. τέλειαι. ἐργάτιδες. πραεῖαι*

τιθαιβώσσειν· *βόσκειν. ἐργάζεσθαι. τρέφειν* †*ἐθήβειν. θησαυρίζειν. ἀγαπᾶν. θορυβεῖν. τιθέναι τὴν βόσιν, τουτέστι τὴν τροφήν* [62]

τιθαιβώσσουσι (Nic. Th. 199)· *τιθέασι. φυλάσσουσι* [64—70]

τιθήνας· *τροφούς, τιτ(θ)άς* [72]

τιθηνεῖ· *τρέφει*

τιθηνεύεται· *ὅμοιον*

τιθηνευόμενος· *τρεφόμενος. ἀσκῶν*

τιθηνός· *τροφός. μοσχοτρόφος. ἢ ὁ τὰ τι(τ)θευόμενα τημελῶν παιδία. οἱ δὲ τιθηνόν· τὸν ἐράσμιον* ⟨cf. *τηθ*—⟩ [77. 78]

τιθηνούμενος· *τρέφων* (Greg. Naz.?). *Τιθηνὸς γὰρ ἡ τροφός, καὶ τιτθοὶ οἱ μαστοί* [80. 81]

Τιθράσια (Ar. Ran. 480)· *χαλεπά, τραχέα*

COD. 23 *χήτει*? 24 *σατὲς* 26. 29 *στερρ*|; cf. *τατώμενα* 32 *συδευσίαν* — *ἀρχίαν* 34 *ἐν βάμματι* 36 *μόνη* 37 *περιθέμενα* 41 cf. *ψιβδεῖ* ⟨an *τί βδεῖ*?⟩ 42 *τίβηνος* 44 *ὅτι βαρὺ* 45 Imo *τιτιγόνιον*, coll. *ἠτιγόνιον* 47 Attici *τί δαί*; Cretenses *τεῖδε*, *τυῖδε* (cf. *οἶ τεῖδε*), Boeoti *τῖδε* ⟨50 *τί δ' ἱστορεῖς* (Soph. Tr. 429)· .... (*τί δρᾶτε*)· *τ. π. Τ.*?⟩ 60 *τίθαι* 61 *τιθεβώσσειν* 62. 63 *τιθεβόσσουσιν* — *τιθεβώσσουσα* 76 *τιθήνη*

HES. 17 *τῆσίν τε θαλάσσια ἔργα μέμηλε* (ε 67)· *ταῖς ἐν θαλάσσῃ κορώναις. προσημαίνουσι δὲ αὗται τοὺς χειμῶνας* 21 *τῆς κουστωδίας*· *τοῦ συστήματος* 27 *τητθή*· *μάμμη. θεία* 28 *'τητῦμα*· *ἀληθῆ* 35 *τιαλέσθην* (Ω 711)· *τὴν ἅμαξαν* ⟨cf. *τεια*—*τηα*—⟩ Ad 46 [*παρὰ μὲν Ἰουδαίοις Φορά, παρὰ δὲ Ἕλλησι*] 51 *τίει* (Ι 238)· *τιμᾷ, σέβεται, αἰδεῖται* 53 *τιέσκετο* (Δ 46)· *ἐτιμᾶτο* 54 *τίεσκον* (χ 414)· *ἐτίμων* 55 *τίετο* (Ε 78)· *ἐτιμᾶτο* 56 *τίη* (Α 365)· *διὰ τί, ἱνατί* 57 *τιήνη*· *ἡ βασίλισσα* ⟨*τιτήνη*⟩ 62 *τιθαιβώσσουσιν* (ν 106)· *ἐναποτίθενται, ἀποθησαυρίζουσι τὴν τροφὴν αἱ μέλιτται, τὸν λεγόμενον μελίκηρον* 64 *τίθει* (e. c. ε 267)· *ἐνετίθει, ἐδίδου* 65 *τιθεῖον*· *μαστός* ⟨*τιτθίον* an Cretice *τιθθίον*?⟩ 66 *τίθεισθα* (ι 404)· *ποιεῖς* 67 *τιθέντες* (Ε 384)· *ποιοῦντες* 68 *τίθεντο* (Η 475)· *παρεσκευάζοντο* 69 *τίθεον* (Α 264)· *ἰσόθεον* 70 *τιθή*· *τροφός* ⟨*τιτθή*⟩ 72 *τιθασσεύει*· *ἡμεροῖ, πραΰνει* 77 *τιθήμενον* (Κ 34)· *παρατιθέμενον, ὅ ἐστι καθοπλιζόμενον* 78 *τιθηνόκομον γένος*· *τοὺς Αἰθίοπας, ἐπεὶ μέλανες καὶ κομῆται* (883) 80 *τίθησι* (Δ 392)· *τιθεῖ* (*ΠΟΕΙ*) 81 *τιθίασται* (*ΤΙΘΡΑCΙΑΙ*)· †*τιμᾶν*

Τιθωνόκομον· ἔθνος μέλαν μὲν τὸ ὅλον σῶμα, λευκὸν δὲ τὰς κόμας ⟨878⟩ [84—86]
τιλίαι· αἴγειροι [88]
τίλλει (Anacr. fr. XXXIV)· ἀνα(σ)πᾷ. μέμφεται. διαβάλλει. ἀποσκώπτει
τιλλομένη· λοιδορουμένη
τιλμός· παιδιά
τιλτόν (Plat. com. p. 685 Nicostr. p. 280)· εἶδος ταριχίου
τιμάδιον· μικρὰ τιμή
τί μαθών· τί βουλόμενος
τιμαλφεῖν (Aesch. Ag. 922)· τιμᾶν
τιμαλφής· ἔντιμος, τιμὴν ἀλφάνουσα, διὰ τιμῆς ἀγομένη· Ἴων (fr. 43) Φοίνικι δευτέρῳ. τινὲς μὲν τὴν †ἰώνιον, Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις (fr. 55) ἐπὶ τοῦ ἐντίμου [97]
τιμαλφέστατα· τιμιώτατα, πολύτιμα. ἢ ὁσιώτατα [99]
†τιμᾶσι· τισίν
τιμά(σ)ω· τιμήσω
τιμή· δόξα. ποτὲ δὲ καὶ τιμωρία, ἢ ἀντέκτισις ἢ κυρία [903. 4]
τιμήεντος (ϑ 348)· ἐντίμου
τιμήορος (sch. Aesch. Suppl. 42)· τιμωρός. βοηθός
†τιμηρύειν· τιμιοπωλῶν
τιμῆς· τίσεως
τιμήσεως· ζημίας
τιμηταί· οἱ τιμώμενοι τὴν ἑκάστου οὐσίαν
τίμιος (κ 38)· ἔντιμος, ἔνδοξος [12. 13]
τιμοῦντας· τιμίους ὄντας
τιμοῦχος· ἔντιμος. ἀξιόλογος. καὶ ἄρχων, ἰσχυρότατος, μέγιστος
τιμῶμαι· καταδικάζω
τιμώμενος· εὐθυνόμενος. καὶ ἐπιτίμιον ὑπέχων. οἱ δὲ ἐπιτίμια πατρός

τιμωρεῖσθαι· κολάζεσθαι
τιμωρία· πρόστιμον, ἀνταπόδοσις. κόλασις. ἢ τιμὴ παρὰ Λυσίᾳ
τιμωροῦσι· καταπονοῦσιν. ἐκδικοῦσιν
τίν· σοί (Alcm. fr. 15 [29]). ἢ τινά ⟨τιν'⟩
τινακτοπήληξ· σεισολόφος
τινθαλέῳ (Ar. Vesp. 328? Nic. Al. 445)· πυρί. διαθέρμῳ
τινθαλέον· διάπυρον. †διάφορον. †διεφθαρμένον. διαφανές [25. 26]
τινύμενον· ἀπαιτούμενον. ἀποδιδόμενον
τίνυνται (Τ 260)· τιμωροῦνται
τινύων· ἀποδιδῶν
†τιντόν· ἑφθόν ⟨τινθόν?⟩
τῖξον· δεῖξον [32]
τίοιτο· τιμηθείη
†τίον· μέσον ἡμέρας ἐτίμουν
[Ad 35] τὰ ἀπρεπῆ
τί ὀνήσω· τί ὠφελήσω
τίπτε· τί δήποτε. ἢ κατὰ συγκοπὴν τί ποτε. ἢ διὰ τί, ἢ ἱνατί (Δ 202) [39. 40]
τί πράττεις· τί ποιεῖς [42]
τί ῥέζεις (Eur. Alc. 262)· τί πράττεις [44]
τίριος· θέρους. Κρῆτες [46]
Τιρύνθιον Ἄργος· τὰς Μυκήνας
Τιρύνθιον πλίνθε(υ)μα (Trag. inc. fr. 202)· ἀντὶ τοῦ τεῖχος. ὑπὸ Κυκλώπων δὲ κατεσκεύαστο [49—51]
τῖσαι (Aesch. Ag. 1430)· ἀποδοῦναι [53. 54]
τίσι· ποίοις [56]
τίσις· ἀντέκτισις (α 40). †ἀτιμία. ποινή, τιμωρία [58]
†τίσις (Cret.)· τί ποτε ⟨cf. τοῖν⟩ [60]
τίσομαι· τιμωρήσομαι (Eur. Med. 1316?) [62. 63]

COD. 91 τίλμος 92 τίλτον 93 τιμαδία 97 τιμαίωνα 99 cf. Ἀριστόδημος 7 τιμηοπωλῶν 22 |λιξ 24 τινολλεον 27—29 τινυ| 31 τίξον (34 ΤΙΟΝ· σόν (Boeoti)· ἢ γέρασι ἐτίμων (Θ 161 Callim. fr. XLI)?) 45 θέρου.κρῆται 48 τοῦτο (cf. Κυκλώπων ἔδος) 55 τίσοι (forte τίοισι?)

HES. 84 τί ἱκανόν (Iob. XXI 15)· τί ὄφελος 85 τί κεν· τί ἄν 86 τίκτειν· καὶ ἐπὶ ἀρρένων (Φ 118)· τίκτεν ἀνὴρ ἀνάσσων Μυρμιδόνεσσι 88 τιλλά ⟨πτι—⟩· πτερά 97 τιμαί· ὠναί. τιμήματα 99 Τιμάναξ ⟨Τιμησιάναξ⟩· ὁ πρωκτός. ὁ δὲ αὐτὸς ὁ (leg. καὶ) Θεόδωρος 903 τί μέλλει(ς Eur. Hec. 726 Alc. 254)· τί βραδύνεις 4 τιμηδές· εὐλαβές (Theocr. XXV 79?) 12 τιμηουλκῶν (Prov. XI 26)· τιμὴν αἰτῶν, ἢ ἕλκων τὴν τιμήν 13 τιμουλκῶν (Prov. XXI 26)· αἰτῶν, καὶ ἀπαιτῶν 25 τιννεῖν (Σ 407)· ἀποδοῦναι 26 τινυβειομαι (Χ 431)· τί δὴ μέλω βίου, ὅ ἐστι ζῆν 32 τιοίμην (Θ 540)· τίμιος εἴην Ad 35 τίον ἑτέρων (Σ 81) 39 τίπτε δέ σε χρεώ(ν Κ 85)· τίς δέ σε χρεία καταλαμβάνει ⟨813⟩ 40 τίπτε με (Λ 605)· διὰ τί με 42 τίρεα (Σ 485)· ἄστρα 44 τίρεται ⟨τει—⟩· καταμολύνεται. καταπονεῖται 46 Τίρυνθα (Β 559)· πόλις ἐν Ἄργει 49 τισάμενον (Ε 391)· καταπονούμενον 50 τίσασθαι (Β 356 al.)· τιμωρίας λαβεῖν 51 τίσατο (ι 479)· ἐτιμωρήσατο 53 τίς γάρ (Α 8 cf. 962 non Soph. OT. 1189)· τίς δή 54 τίς δ' αὖ τοι (Α 450)· τί(ς) δέ σοι 56 τίσοιεν (Α 42)· τιμωρίαν δοῖεν 58 τίς κεν· τίς ἄν 60 τίσον (Α 508)· τίμησον 62 τίς γάρ (Α 8)· τίς δή 63 τίσουσι (μ 382)· τιμωρήσονται

τίς τρόπος (Melagenis fr. II p. 754)· παροιμία ἐπὶ τῶν ἀλλοκότων [65]

τίται· εὔποροι. ἢ κατήγοροι τῶν ἀρχόντων [67. 68]

τιταίνειν· σπεύδειν. τείνειν. κραδαίνειν. ἕλκειν. τίσιν λαμβάνειν (Hesiod. Th. 209 sch.). τιμωρεῖν

τιταινομένω (β 149)· ἐκτετακότε

τιτάν· παιδεραστής [ad 71]

Τιτανίδα· τὴν Εὔβοιαν, παρόσον Βριάρεω[ς] θυγάτηρ ἦν. ἔνιοι δὲ τὴν Ἀσωποῦ φασι

Τιτᾶνες· τιμωροί, ἀπὸ τοῦ τιταίνειν. ἄλλοι δὲ οἱ μὴ ἔχοντες ἀποτῖσαι ἀτιτᾶνες ὠνομάζοντο, οἱ δὲ ἔχοντες τιτᾶνες

Τιτανὶς γῆ· ἤτοι πᾶσα ἡ γῆ, (ἢ) ἡ (Ἀττικὴ) ἀπὸ τῶν κατασχόντων

τίτανος· [ad 75] καὶ κονία, ἄσβεστος. οἱ δέ τι γύψου χρῖσμα

..τιτανωμένας· γεγυψωμένας

τιτανωτὴ χρόα· γυψωτή, ἡ λευκόχροος [78]

τίταξ· ἔντιμος. ἢ δυνάστης. οἱ δὲ βασιλεύς [80—82]

τιτῆναι· βασιλίδες .... ἢ Ἕκτορος Λύτροις (p. 68 Nck.)

τίτθαι· τροφοί

τίτθεν (Cret.)· τίκτειν

τιτθίον (Ar. Ran. 412)· τιτθός. μαστός [87. 88]

(τί) τίρ· (τί) τίς. Λάκωνες

τίτλος· πτυχίον ἐπίγραμμα ἔχον

Τίτορμος (Herod. VI 127)· οὗτος Αἰτωλὸς ἀνὴρ διαβεβοημένος ἐπὶ ἀνδρείᾳ καὶ μεγέθει

τιτρᾶται· τρυπᾶται. διανοίγεται

τιτυβίζει (Ar. Av. 236)· ὡς χελιδὼν φωνεῖ

τιτύπαι· αἱ ἐμπύλαι (q. v.)· αἱ πλάναι

δ

τιτύρας· ὄρνις ποιός. ἢ τιτυρό

τίτυρος· σάτυρος (Dor.). κάλαμος. ἢ ὄρνις (Theophr. Char. 6, 2)

τιτύρινος· μόναυλος (Amerias). ἢ αὐλὸς καλάμινος (Italiotae, Dores)

τιτύσκετο (Ν 23)· ἡτοιμάζετο, παρεσκευάζετο. κατεστοχάζετο [99. 1000]

τιτώ· ἠώς (Callim. fr. CCV 1). ἢ αὔριον

τί ὑμῖν διαφέρει (Demosth. 43)· τί ὑμῖν μέλει

τίφαι (Theophr.)· αἱ ὀλύραι. καὶ τίφη [ad 3]

τιφαίας· τὰς τῶν θηρῶν καταδύσεις

τίφια ὄρνεα· τὰ ἐν τοῖς ἕλεσι γινόμενα

τῖφος (Theocr. XXV 15)· ἕλος

Τῖφυς· ὁ ἐφιάλτης, † νέαλυς. καὶ ὁ τῆς Ἀργοῦς κυβερνήτης

τί φῶ (Trag.)· τί εἴπω [9]

τίω· σοῦ (Rhintho). ἢ τιμῶ (Δ 257). ἢ τύχω ⟨ad εἴω⟩. (ἢ τινί Sapph. fr. 55)

τλᾶθι (Pind. Pyth. IV 276)· ὑπόμεινον

τλαιπαθές· ταλαίπωρε ⟨τλαπ—⟩

τλάς· ὑπομείνας. ἢ ποιήσας

τλασίφρονα· ὑπομονητικόν

τλήθα· ὡραία. Κυρηναῖοι

τλήθυμος· ἰσχυροκάρδιος [17. 18]

τλημόνως (Eur. Tro. 40)· ἐλεεινῶς

τλῆναι (Apoll. lex.)· ὑπομεῖναι. τολμῆσαι. παθεῖν

τληπάθειαι· ὑπομοναί, ταλαιπωρίαι

τληπαθής· ὑπομονητικός

τλῆσις· τόλμα. θράσος

τλησίπονος· τολμηρός, καρτερικός [25. 26]

τλητῶν· ὑπομονητικῶν

τμάγεν (Π 374)· διεχωρίσθησαν, διέστησαν, ἐτμήθησαν, ἐσχίσθησαν

Τμάριον· ὄρος Ἀρκαδίας

Τμάριος· Ζεὺς ἐν Δωδώνῃ

τμήγας· γατόμος. ἀροτήρ

τμῆγος· [ἀρότης.] βούτμημα

τμήδην (Η 262)· τμητικῶς, τομῶς. ταχέως. ἀποκεχ(ω)ρισμένως. βέλτιον δέ, ὅσον ἐπιτεμεῖν, καὶ οὐκ εἰς βάθος τρῶσαι·

τμήδην αὐχέν' ἐπῆλθεν

τμηθεῖσα (Eur. Med. 3 fr. 475)· κοπεῖσα

λδ

COD. 66 cf. ἀτίτην 70 |νφ |ότι 75 ἐπιγύψου 83 βασι 87 τιτθή post τιτθίον, ἡ τροφός post μαστός 91 Τιτόλμος 97 |ρῆνος 1001 τίτῳ, πῶς Post 1] ἢ τινί 3 τιφή ⟨4 τίφεα?⟩ ⟨15 מליחא⟩ 33 αὐχένες

HES. 65 τίσω (Ι 142)· ἀποδώσω. τιμήσω 67 τιταινόμενος (Χ 23 Ψ 518 λ 598)· τρέχων. ἕλκων. τ(ε)ινόμενος 68 τίταιτνον (Ν 704)· ἕλκουσι. τείνουσι Ad 71 καὶ τὸ τοῦ ἀντιχρίστου ὄνομα ⟨τειτάν⟩ Ad 75 [ὄρος Θεσσαλίας (Β 735)] 78 Τιταρήσιος (Β 751)· ποταμὸς Ἠπείρου 80 τιτᾶσθαι· στερήσασθαι ⟨τη—⟩ 81 τιτένων (Β 390)· τείνων. πέμπων. ἕλκων 82 Τιτῆνες (Ξ 279)· Οὐρανοῦ παῖδες 87 τιτθή· ἡ τροφός 88 τιτίει (Ι 238)· τιμᾷ 99 τιτυσκόμενοι (Γ 80)· εὐστοχοῦντες, στοχαζόμενοι 1000 τιτυσκόμενος· τὰ αὐτά Ad 3 ἐν τοῖς ἕλεσι 9 τιχίζομαι· σκέπομαι 17 τλήμων (Ε 231)· ὑπομονητικός 18 τλημαθεῖν ⟨τληπ—⟩· ταλαιπωρεῖν, πονεῖν 25 τλῆτε (Β 299)· ὑπομείνατε 26 τλητικῶς (Philo VM. I 36 p. 112)· ὑπομονητικῶς

τμηθῆναι·
τμῆξαι (Nic. Alex. 301)· τεμεῖν. (δια)λαβεῖν
τμήξας (Nic. Th. 886)· τὰ αὐτά
†τμητός· τμῆμα
Τμῶλος (Β 866)· ὄρος. καὶ ποταμός
τό (Ι 575)· τὸ ἄρθρον οὐδέτερον προτακτικόν
τὸ μὲν ἥμισυ οἰνοπέδοιο
καὶ ἀντὶ τοῦ τοῦτο (Α 234)·
(τὸ) μὲν οὔποτε φύλλα καὶ ὄζους φύσει
τοάκης· χιτὼν σχιστός
τόβλικος· κρουματίου μίμησις
τόγε ἧκον· ὅσον δυνατόν
†τογέρα· μοιχός. λαλαχός
τὸ δ' αὐτό· τὸ αὐτό δέ. ὁμοίως δέ
τὸ δεῖν· τὸ δέον
τὸ δήϊον· τὸ πολέμιον [48]
τὸ ἐνσώματον· τὸ μετὰ σώματος
τὸ ἠλύσιον· ὁ παράδεισος
τὸ ἤνυστρον· μέρος τῆς κοιλίας τῶν μηρυκωμένων [52]
τοί· οἵ. οὗτοι. καὶ σύνδεσμος παραπληρωματικός [ad 53] [54. 55]
τοιγαροῦν (Soph. Ai. 490)· ὅθεν δή. ἢ οὐκοῦν
τοιγάρτοι (Aesch. Suppl. 655)· καὶ γάρ. τοιγάρτοι
τοίδε γε· ἐκεῖνοι δέ, ἢ οὗτοί γε
τοιθορύκτρια· ἡ τοὺς σεισμοὺς ποιοῦσα ⟨τονθ—⟩
τοιθορύσσειν· σείειν ⟨τονθ—⟩
τὸ ἱερόν· τὸ θεῖον [62]
τοῖν· τί ποτε. Κρῆτες ⟨959⟩ [64]
τοίνυν· διὰ τοῦτο
!τοινισταφράσαι· ἀγγεῖλαι. εἰπεῖν [67. 68]
τοῖον· τοιοῦτον. ὄντως ἀγαθόν (Aesch. Sept. 580). τοῦτον. τάσσεται καὶ ἐπὶ θαυμασμοῦ [70]
τοίοις δέ (Eur. Med. 784)· τοιούτοις δέ [72—75]
τοῖς τῇδε· τοῖς ἐνθάδε
τοῖς τυχοῦσι· τοῖς ἐντυγχάνουσι
.τοιχοδιφήτωρ· τοιχωρύχος [79]
τοιχωρύχος (Plat. Civ. 344 B)· λῃστής, κλέπτης
τοίως (Theocr. XXIV 71)· ἰσχυρῶς. καλῶς. [ἀκριβῶς
(τόκα· τότε)
τοκάδερ (Lacon.)· ἔγχυοι [83]
τὸ κατὰ γᾶς ξίφος· θηρίδιον σκολοπένδρᾳ ὅμοιον
τοκέες· πατέρες, γονεῖς [86—89]
τὸ κῦρος· ἡ ἐξουσία, ἡ δεσποτεία [91]
τὸ λαιόν (Eur. fr. 534)· τὸ ἀριστερόν [93]
τολμήσω· καρτερήσω
τολμητίας· προπετής, αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν
τόλυξ· αἰδοῖον
?τὸ λοβόν· τὴν ἀρχὴν τοῦ ὠτός (Aesch. Eum. 158?)
τολύπαι· τὸ κατασκευαστὸν ἔριον
τολυπεύειν (Ξ 86 Ar. Lys. 586)· ταλαιπωρεῖν. μοχθεῖν. στρέφειν. μηχανᾶσθαι. ἐργάζεσθαι
τολύπευμα (Eur. Rh. 744)· τὸ κατασκευαστὸν ἔριον
τολυπεύσας· κατεργασάμενος
τολύπευσεν (Ω 7)· ἐξειργάσατο
τολυπευτικώτατος· ἐργαστικώτατος. ἐπιτελεστικώτατος
τολύπη· τὰ προφυράματα τῶν μαζῶν, ἃ καὶ βήρηκας καλοῦσιν. καὶ ἀγαθίδιον στήμονος, ἢ ῥοδάνης
Τόμαρος· τὸ ἐν Δωδώνῃ ὄρος. καὶ προφήτης. καὶ ἱερεύς. καὶ θύτης. καὶ μάντις
τὸ μέταζε (Hesiod. Opp. 396)· τηνικάδε ⟨96⟩ [1107]

COD. 40 τὸ το̄ — ἢ γὰρ τὸ μὲν ἥμυσὶ οἰνοπεδίον — φύλατε 51 μηρυκο| 53 τοῖσι, οὗτοι 82 ἔγχυος 83 τόκαι· διόκαι 1101 τοπολ| 4 βήρικας 6 τομεταξὺ (cf.
πτ
τὰ μέταζε) 7 ἄσι

HES. 48 τόδ' ἱκάνεις (Ξ 298)· ἔνθαδε ἥκεις 52 τόθεε (III Regg. XIV 28)· παραστάς (אחׄ) Ad 53 καὶ ἀντὶ τούτοις 54 τοῖα (Ψ 67)· τοιαύτας, τοιάςδε 55 τοιγάρ (Α 76)· τοιγαροῦν. σύνδεσμος 62 τοί κεν (Β 346)· οἵτινες ἄν 64 τοΐιν (Ν 66)· ἐκείνου 67 τοὖο· τοῦτο. ἢ αὐτοῦ 68 τοῖοι· τοιοῦτοι· ἀγαθοί 70 τοῖος· τοιοῦτος 72 τοίους (Α 262)· τοιούτους 73 τοί ῥά· οἵτινες δή 74 τοῖς· τούτοις 75 τοῖσι· τοῖς σοῖς ⟨ad τεοῖσι⟩. ἢ ἐν ἑαυτοῖς. ἢ ἐν τούτοις 79 τοῖχος (μ 420)· τοῦ πλοίου ἡ πλευρά 83 τὸ καί (Γ 176)· διὸ καί 86 τοκεῦσι (Δ 477)· γονεῦσιν. ἐγγόνοις 87 τοκέων (Ο 660)· γονέων 88 τόκος (ο 175)· γένεσις 89 τὸ κρήγυον (Α 106)· τὸ ἀληθές 91 τόλα ⟨τόκα⟩· τότε 93 τολέσπευσεν (Ω 7)· εἰργάσατο 1107 τὸ μελάνδρυος (ξ 12)· τὸ μέσον τοῦ ξύλου· διὰ τὸ εἶναι εὔτονον τοῦτο τὸ μέρος. ἄλλοι δὲ διαστείλαντες τὸ μελάνδρυος εἰς ἡ (l. δύο) μέρη λόγου ἀποδεδώκασι τὸ μέσον τῆς δρυὸς μέρος μέλαν εἶναι καὶ ἄσηπτον διαμένειν

τομεύουσι· τέμνουσι

τομεύς (Trag. inc. 340)· τμήτης, ἤγουν ὁ τέμνων

τομή· ἡ ῥίζα, ὅθεν ἐτμήθη (Δ 234?). καὶ ἡ πληγὴ τοῦ ξίφους

τομία (Ar. Lys. 386 Dem. 642, 18)· τὰ ἀποτμήματα, καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. οἱ δὲ τὰ ἱερά, ἃ σφάζοντες ὀμνύουσιν [12]

τόμος· χάρτης. ἢ ὁ τέμνων (τομός)

τόμουροι· προφῆται. ἱερεῖς. οἰωνοσκόποι. διάκονοι [15]

τόν (ψ 116 Α 36)· ἄρθρον ἀρσενικὸν προτακτικὸν πτώσεως αἰτιατικῆς. ἡ τοῦτον. ἢ ὅντινα

τοναία (Alex. com. III p. 460)· φωνῆς τάσις

τὸν ἀφ' ἱερᾶς (Menand. p. 147)· γραμμή τις ἐν τῇ παιδιᾷ τῶν πεσσῶν, ἱερὰ καλουμένη [19]

τὸν εὐθυτενῆ· τὸν ὀρθόν

τονθορύζει· ἀτάκτως λαλεῖ. γογγύζει. ψιθυρίζει. καὶ τονθρύζει τὰ αὐτά

τονθρύς· φωνή

τόνθων· παρὰ Κορίννῃ (fr. 39) ἐπὶ νωτιαίου κρέως τὸ ὄνομα

τόνος· ἔντασις, ἰσχύς, ῥώμη, δύναμις

τόνους (Philippid. IV p. 470)· τὰς κειρίας ἀπὸ τοῦ τετάσθαι [26]

τὸν οὐδόν· τὸν βατῆρα ὁδοποιόν [28]

τὸν σόν· τὸν ἴδιον (Soph. Ant. 45) [ad 29]

[30]

τόνῳ· λίαν [ad 31]

τοξεύομαι· ἀποστεροῦμαι (χρημάτων)

τοξεύοντο· τόξα ἔτεινον

Τοξίου βουνός· τοῦ Ἀπόλλωνος τοῦ ἐν Σικυῶνι. βέλτιον δὲ ἀκούειν τὴν ἐν Δελφοῖς Νάπην λεγομένην· ἐκεῖ γὰρ καὶ ὁ δράκων κατετοξεύθη. καὶ ὁ ὀμφαλὸς τῆς γῆς τάφος ἐστὶ τοῦ Πύθωνος

τόξον (Δ 105)· κυρίως αὐτὸ τόξον. δηλοῖ δὲ καὶ τὴν τοξικὴν ἐμπειρίαν (Herod. I 73), καὶ αὐτὰ τὰ βέλη (Plat. Legg. VII 815 A)

τοξοποιεῖν τὰς ὀφρῦς (Ar. Lys. 8)· συστρέφειν αὐτάς

τοξόται (Ar. Ach. 54)· οἱ δημόσιοι ὑπηρέται

τοξότα λωβητήρ (Λ 385)· διὰ τόξων λωβώμενε, καὶ βλάπτων· ἀφ' οὗ τὸν δειλὸν λέγει

τοξότης (Soph. Ai. 1120)· πολεμιστής [40]

τό οἱ (Callim. Del. 31)· ὅπερ αὐτῷ

τὸ ὄντως· τὸ ἀληθῶς [43]

τὸ ὅσον ἐπ' ἐμοί· τὸ κατὰ δύναμιν

τοπάζει· εἰκάζει. ἱδρύει. ὑποπτεύει. στοχάζεται [ad 45]

τὸ παράπαν (Pherecrat. p. 311)· παντελῶς [47]

τὸ παρὸν εὖ τίθεσο· παροιμία, ἧς καὶ Πλάτων ἐν Γοργίᾳ (p. 340 E) μνημονεύει

τοπάσαι (Plat. Legg. p. 691 D)· ὑπονοῆσαι. ὑπολαβεῖν

τοπαστέον· ὑποληπτέον. ὑπονοητέον

τὸ περιόν· πλῆθος

τοπήϊα (Callim. Del. 315)· ὅπλα νεώς, σχοινία, τοπεῖα, κάλοι (Laced.)

τὸ πρὸς ἀκτῖνα· τὸ πρὸς ἀνατολήν

τὸ προμηθέ[υ]ς· τὸ προνοητικόν

τὸ προσεχές· τὸ ἐγγύς

τὸ πρῶτον· τὸ πρεσβύτατον [57]

τό ῥα· ὅπερ δή (1180)

τόρβηλος· μεμψίμοιρος

Τόργιον· ὄρος ἐν Σικελίᾳ, ὅπου νεοττεύουσιν οἱ γῦπες. ἀφ' οὗ καὶ αὐτοὶ τόργοι

τόργος (Call. fr. CCIV)· εἶδος γυπὸς αἱματορρόφου. ἔστι δὲ καὶ ὁ γὺψ παρὰ Σικελιώταις (et Cypriis)

τορεῖν· τορῆσαι, τρῆσαι, τεμεῖν

τορέλλη· ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ Θρᾳκικόν

†τορκιμόν· τὸ βαρὺ καὶ μισητόν

τόρμη· εὐθὺς δρόμος κατὰ τέχνην. καὶ στροφή. καὶ σύμπας (δρόμος)

τορμίς· ἡ δέσποινα

τόρμος· ἡ πλήμνη τοῦ τροχοῦ, εἰς ἣν ὁ ἄξων (ἐνήρμοσται)

τορνεύει (Ar. Thesm. 54)· γλύφει

τορνευταί· γλύπται

τόρνος (Eur. Bacch. 1067)· ἐργαλεῖον τεκτο-

COD. 11 σφάζονται (cf. μασχαλίσματα et ἔντομα) 18 τις τῇ παιδίᾳ 21 τονθρίζει τὰ αὐτά 23 νοτιβίου 29 τερτρέμονα 34 τοξιούβονος 41 cf. τώ οἱ 48 παροῦν εὐτίθεσο 50 ὑπομονητέον 63 τορελλῆ (cf. σορέλλη) 65 cf. ἐκ τορμῶν

HES. 12 τό μοι· τοῦτό μοι 15 τομώτερος (Hebr. IV 12)· ὀξύτερος, δυνάμενος τέμνειν 19 τόν δ' ἄρ· πρὸς τοῦτον δέ 26 τὸν ὀπισθότατον (Θ 342)· τὸν ὀπίσω, τὸν τελευταῖον, τὸν ἔσχατον 28 τόν ῥα (Β 21)· τὸν δή Ad 29 τέρμονα, τὸ τέλος (Σ 544) 30 τό νυ γὰρ κατεάξαμεν (Ν 257)· τοῦτο γὰρ τὸ δόρυ κατεάξαμεν Ad 31 [τέρατι 40 τόξου πῆχυ (Λ 375)· τὸ ὅλον τόξον, κατὰ ἀντεπέκτασιν τῆς νευρᾶς 43 τόσσα μέμηλε (Β 25)· τοσαῦτα φροντίζει Ad 45 [ἢ τοθάζει] 47 τὸ πάροιθεν· τὸ πρὸ τούτου 57 τοπυργίαις· ἐμπυρισμοῖς (—το πυρκαϊαῖς)

νικόν, ᾧ τὰ στρογγύλα σχήματα περιγράφεται
τορνῶσαι· περιγράψαι. κυκλῶσαι [71b]
τορνώσας· τῷ κύκλῳ (περιγράψας)
?τορνοῦμαι δὲ πρὸς μέτρον (Trag.?)· ἀντὶ τοῦ περιγράφομαι
τὸ ῥόθιον· τὸ κῦμα
τόρον· λιθ(οκοπ)ικὸν σκεῦος. ἢ μεγαλόφωνον (τορόν)
τορόνος· τόρνος. Ταραντῖνοι
τόρος (Philyll. fr. I p. 863)· ἐργαλεῖον φρεωρυχικόν. καὶ εἰς ὃ ὁ στελεὸς ἐμβάλλεται
†τορόν τι, ὀξεῖα (τοροτίξ Ar. Av. 260) [79]
τόρρα· ὅπερ δή (1168) [81]
†τορτυρόμενον· νιφόμενον
τορύνη· σιτῶδές τι (πο—)
τόσα καὶ τόσα (Dem. 1307, 19 Plat. Phaedr. 271 D)· ἢ τοσαῦτα
τὸ σέλας· ἡ ἔκλαμψις [86]
τὸ σκάφος (Dem. 128, 21)· τὸ πλοῖον
τόσσον (Hom.)· τοσοῦτον, τηλικοῦτον. λέγεται καὶ ἐπὶ θαυμασμοῦ [89]
τοσοῦτον· ὅλον τοῦτο
τὸ σταῖς (Eupol. fr. XL)· τὸ ἄλευρον
τόσῳ μᾶλλον· ὅσῳ πλέον
τὸ τάχος· συντόμως [94]
τὸ τεῦχος· τὸ σκεῦος
τὸ τηνικαῦτα· τὸ τότε
τὸ τί· διατί
τοῦ (Apoll. lex.)· ἄρθρον προτακτικόν [99]
τοῦμα (Lacon.)· στόμα
τοὐμοῦ· τοῦ ἐμοῦ
τοὐμφανές· φανερόν [1203]
τοὔμπαλιν (Eur. Hec. 783)· τὸ ἐναντίον, ἀνάπαλιν, ἔπειτα πάλιν [5]
τούνη· σύ. Λάκωνες
τοῦ παντὸς ἀξιόλογον· τοῦ παντὸς κύριον
τοὔργον (Eur. Hec. 1112)· τὸ ἔργον, κατὰ συναίρεσιν τῶν φωνηέντων
τοὐρθόν (Eur. fr. 205)· τὸ ὀρθόν
τούς (E 423 A 191)· ἄρθρον προτακτικόν. καὶ ἀντὶ τοῦ οὖς· καὶ ἀντὶ τοῦ τούτους
†τουσοίρ· φύσκη πλήρης κριμνῶν, στέατος, αἵματος
τοὺς ἐμβόλους (Herod. I 166)· τὰ ἔμβολα τῶν νεῶν. καὶ ἐπὶ τῶν θηλειῶν
τοὺς ἐν τέλεϊ (Herod. III 18)· τοὺς ἐν τιμῇ καὶ ἀρχῇ
τοὔσχατον· τὸ ἔσχατον, καὶ μέγιστον
τουτάκις (Dor.)· τοσαυτάκις, ὅπερ ἐστὶν ....
τουτί (Eur. Cycl. 169)· τοῦτο
τοῦτις· ὁ κόσσυφος
τοῦτο μέν· ποτὲ μέν
τοῦτο Πύθιον· τοῦτο πρῶτον καὶ ἔσχατον
τουτῶ (Theocr. I 45)· ἐντεῦθεν. Λάκωνες
τοῦφος (τόφος Aeol.)· τάφος
τόφρα (Apoll. lex.)· ἐν τοσούτῳ. ἕως τούτου τοῦ χρόνου. καὶ ἔστιν ἀνταποδοτικὸν τοῦ ὄφρα ἢ ἄχρι, ἢ ἕως. ἢ ἵνα (schol. Ap. Rhod. 3, 807) [23]
τραγαλέον· διερρωγότα
τραγᾶν· οὕτω τὸ ἀκαρπεῖν τινες τῶν γεωργικῶν· οἱ δὲ †μενῶν (ἀμπέλων?) νόσον. καὶ τῆς φωνῆς τὸ πάθος
τράγαις· (τραγᾷς), Αἰολεῖς
Τραγασαῖοι ἅλες· οἱ ἀπὸ Λεκτοῦ οὕτω λέγονται ἀπὸ λίμνης, ἣ καλεῖται Τραγ(άσ)η
τραγεῖον· πόας εἶδος
†τράγη· πεπληγμένη. πεπηγυῖα
τραγηφόροι· αἱ κόραι Διονύσῳ ὀργιάζουσαι τραγῆν περιήπτοντο
τραγίζειν (Hippocr. 1175 F)· τὸ τραγᾶν τῇ φωνῇ τοὺς ἀκμάζοντας τῶν παίδων
τραγικῆς· (τραγῳδεῖν εἰδυίας) τραγῳδῶν ᾄσματα
τραγικὸν πάθος· μεστὸν συμφορᾶς
τραγικὸς πίθηκος (Dem. 307, 25)· παροιμία ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων
τραγιστάς· τοὺς τὰ ἱερεῖα κλέπτοντας
τραγοπώγων· πόας εἶδος
τράγους· σατύρους, διὰ τὸ τράγων ὦτα ἔχειν

COD. 72 post κύκλῳ] περιέγραψεν 73 |ῶμαι 1200 τοῦμα 6 τουνή 9 τοῦθρον τὸν ὄρθρον 11 κρημνῶν 20 τοῦτο 21 cf. στοῦπος 22 τούτου καὶ ἀνταποδοτικὸν τοῦ χρόνου. ἢ (24 Γραγ—?) Post 26 οὕτω — Τράγη 27 Τραγάσαι, οἱ — Λέσβου (29 τραφερὴ γῆ· πεπηγυῖα Cyr. Voss.) 31 παιδίων 33 ἀξίας

HES. 71b (τορνώσαντο Ψ 255·) περιέγραψεν 79 τορόῳ· ἐργαλείῳ. ὀξεῖ, ἀκριβεῖ, τρανῷ, ἰσχυρῷ, μεγάλῳ (τόρῳ — τορῷ) 81 τόρτυρα· τῶν κεραμίων προμήκης πυθμήν (γοργύρα) 86 τὸ σίνεσθαι· τὸ βλάπτεσθαι (cf. ἐπὶ τὸ —) 89 τὸ σὸν μένος (Z 407)· τὴν σὴν ὀργήν 94 τότε μοι χάνοι εὐρεῖα χθών (Δ 182)· εὐρὺ καὶ μέγα μοι χάσμα γῆς γένοιτο, ἵνα με δέξηται· ὅπερ ἐστὶν ἀποθάνοιμι 99 τοῦ δὴ πολλοὶ ἀπὸ σπινθῆρες ἵενται (Δ 77)· τοῦ καλουμένου κομήτου ἀστέρος 1203 τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο (ξ 162)· τὴν τριακάδα λέγει. τὸν μῆνα ἔχειν φησὶ ἡμέρας εἰκοσιεννέα, ὥστε τὴν τριακάδα μέρος ἔχειν καὶ τοῦ παρῳχηκότος καὶ τοῦ ἐπιόντος μηνός 5 τοὔνεκα· τούτου χάριν, τούτου ἕνεκεν 23 τόφρα δέ (Λ 609)· τηνικαῦτα δέ

τραγῳδεῖν· χορεύειν

τραγῳδία· χορεία: κωμῳδία ⟨τρυγ—⟩

τραγῳδός (Ar. Vesp. 1489)· χορευτής: κωμῳδός ⟨τρυγ—⟩ [41. 42]

Τραλλεῖς (Theopomp.)· οὕτως ἐκαλοῦντο μισθοφόροι Θρᾶκες τοῖς βασιλεῦσιν, οἱ τὰς φονικὰς χρείας πληροῦντες

†τραλλόν· πικρόν

τράμις (Hippon. fr. 84 Archil. fr. 194)· τὸ (τ)ρῆμα τῆς ἕδρας. ὁ ὄρρος. τινὲς ἔντερον. οἱ δὲ ἰσχίον

τράμπις (Lycoph. 97)· ναῦς ἄκατος. πορθμίς. τινὲς πλοῖα βαρβαρικά

τρανές (Soph. Ai. 23)· σαφές. ἀληθές

τρανίαν· αὐλὴν ἐν ὁδῷ μεγάλην

Τρανιψοί (Theopomp.)· ἔθνος Θρᾴκιον

τρανός (Moschio. fr. 9, 1)· σαφής. ἀληθής

τρανόν· ἑξαμηνιαῖον πρόβατον [50—52]

τραπέζιον· παρὰ τοῖς γεωμέτραις σχῆμα, τὸ τὰς μὲν δύο πλευρὰς ἀπεναντίας πρὸς ἀλλήλας ἔχον ἀνίσους, τὰς δὲ ταύτας ἐπιζευγνυούσας ἴσας

?τραπεζεύς· παράσιτος ἄκλητος

τραπεζίτης (Eupol. fr. XXXIX)· κολλυβιστής, κερματιστής, δανειστής

τραπεζοποιός (Menand. p. 223)· οὐχ ὁ μάγειρος· ἀλλ' ὁ τῆς πάσης περὶ τὰ συμπόσια παρασκευῆς ἐπιμελούμενος (e Iuba)

τραπεζώ· ἱέρειά τις Ἀθήνησιν

?τραπεζίτην Πάριν (Trag. fr. 213)· τὸν παραβάντα τὴν τράπεζαν καὶ ἀτιμάσαντα τὸν Μενέλαον ⟨παρατραπ—⟩

τραπείομεν (Γ 441)· τερφθῶμεν

τραπελιζόμενος· συνεχῶς ἀναστρεφόμενος

τραπέμπαλιν (Pherecrat. fr. LVI)· ἐνηλλαγμένως, ἢ παρηλλαγμένως

τραπέοντο (Hesiod. Scut. 301)· ἐπατοῦντο, παρὰ (τὸ) τροπὴν λαμβάνειν τὸν βότρυν πατηθέντα [63]

τράπηχι· δόρατι (cf. τράφηξ, τρόπηχος)

τραπῆν (Dor.)· ληνοπατεῖν

τραπῆναι· στραφῆναι, πεισθῆναι

τραπητός· ὁ οἶνος

τραπομένους· τρεπομένους [69]

τραπῶ· ἀπέλθω

τραρόν (Dor.)· ταχύ ⟨198⟩

τρασιά (Eupol. fr. CXXXIV)· ἡ τῶν σύκων ψύκτρα, παρὰ τὸ τερσαίνειν. ἤγουν τόπος, ἔνθα ξηραίνουσιν αὐτά [73. 74]

τραυλόν· ἡδύ. λεπτόν

τραυλός (Herod. IV 155)· ψελλός, τὴν γλῶτταν βεβλαμ(μ)ένος

τραῦμα· πληγή. ἕλκος. μώλωψ ⟨1251⟩

τραυματεῖαι (Thuc. VII 75)· σφαγαί. τετρωμένοι ⟨τραυματίαι⟩

τραύσανον (Pherecr. fr. LVII)· ξηρὸν πᾶν ἢ φρύγανον ⟨cf. γάρσανα⟩

Τραυσός (Herod. V 4)· ἔθνος Σκυθικόν, οἱ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευτῶντας κατευφημίζουσιν

τράφαλλος· ὁ χλωρὸς τυρός. οἱ δὲ τραφαλλίδα [82]

τραφερήν (Ξ 308)· ξηράν. τὸ γὰρ πῆξαι θρέψαι λέγουσιν

τραφερόν· πηκτόν. τρόφιμον. λευκόν. ξηρόν. πεπηγμένον ⟨cf. τράγη⟩

τράφεται (Dor.)· πήγνυται

τράφηξ· χάραξ. σκόλοψ. ἔνιοι δὲ τὸ δόρυ. ἄλλοι τὸ τῆς νεὼς χεῖλος

τραφηρά· ξηρά

τράφος (Cret.?)· τάφος

τράχε (Dor.)· πορεύου ⟨cf. θρακτικόν⟩

Τραχείς· ἡ νῦν Ἡράκλεια καλουμένη

τραχηλιάσας· ἐναντιωθείς. ἀπειθήσας

τραχηλιῶ· ὑψῶ αὐχένα

τράχηλος· αὐχὴν τραχύς. σκληρός

τραχήλους (Posidipp. com. p. 517 al.)· τὰς πορφύρας. ἔνιοι τοὺς σπονδύλους τῶν κογχυλίων

τρέ· σέ Κρῆτες [96. 97]

τρεῖς θεοί· παρὰ Σόλωνι ἐν τοῖς ἄξοσιν ὅρκῳ τέτακται. ἔνιοι κατὰ τὸ Ὁμηρικόν

Τρεμιλία· ἡ Λυκία

τρέπει· μεταστρέφει

τρέπεται· ἀλλάσσεται. μεταβάλλεται

τρεπόντων· ἐπιστρεφόντων

COD. 51 τις τοῦ 57 τραπεζών 61 τραπένον πάλιν 65 τραπεῖν 71 τραχύ 80 τραῦσος 90 τραχής 99 τρέμεινα

HES. 41 τρακτεύει· μηχανᾶται 42 τ(ρ)ακτωρία· μηχανουργία 50 τράπε (Ε 676)· ἔτρεψεν 51 τραπεζῆες (ρ 309)· οἱ πρὸς ταῖς τραπέζαις λιχνεύοντες. καὶ οἱ ἐπιτραπέζιοι. καὶ οἰκουροί. λύσις τῆς τοῦ σώματος συνεχείας κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης ⟨ad τραῦμα⟩ 52 τραπεζίας (Χ 69)· παρὰ τῇ τραπέζῃ τρυφομένους 63 τραπέουσι (η 125)· πατοῦσιν ἐπὶ τῇ ληνῷ 69 τράποντο (Γ 422)· εἰς φυγὴν ἐτράποντο 73 τρατικόν· θρηνητικόν, λυπηρόν ⟨τραγ—⟩ 74 τραυλίζει· ψελλίζει (Mocr.) 82 τράφεν (Λ 266)· ἐτράφησεν 96 τρεῖν· φοβεῖσθαι. φεύγειν 97 τρεῖς ἕκαστον ἄϋσας (ι 65)· τρεῖς ἕκαστον φωνήσας καὶ ἀνακαλεσάμενος. ἔθος γὰρ ἦν †ἐν τοῖς τῶν ἐπὶ τῆς ἀλλοδαπῆς τεθνηκότων τὰς ψυχὰς μετακαλεῖσθαι κατὰ τὸν ἀπόπλουν

τρεπτότητος· τροπῆς

τρέπω· διώκω. ἢ φεύγω [1305. 6]

τρέστης· δειλός

τρέφειν· ἔχειν (v. l. Eur. fr. 326, 6). πηγνύναι. καὶ τρέφεται (ι 246). ὁμοίως

τρέχειν· ἀγωνίζεσθαι

τρέχνος· στέλεχος, κλάδος, φυτόν, βλάστημα

τρέψαν· μετέβαλλον

τρέψειαν· νικήσειαν. πατάξειαν

τρέψομαι· ἔξω πορεύσομαι. διώξω

†τρηγαλέον· διερρωγότα ⟨Fρη—⟩

τρήματα (Plat. Gorg. 494 B)· τρυπήματα

τρηματικτάς (Dor.)· κυβευτάς. ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων (Sophron. fr. 99)

τρηρόν· ἐλαφρόν. δειλόν. ταχύ. πλοῖον μικρόν

τρήρων· δειλή. περιστερά. ἀπὸ τοῦ τρεῖν, ὅ ἐστιν φοβεῖσθαι· δειλὸν γὰρ τὸ ζῷον καὶ ταχύ [19—23]

τρητοῖς ἐν λεχέεσσι (κ 12 Γ 448)· τοῖς κατὰ τὰς ἁρμογὰς τετρημένοις, ἢ ἱμαντωτοῖς. ἱμᾶσι γὰρ ἐνετείνοντο αἱ κλῖναι, ὡς καὶ τὰ βάθρα

τρητοκουρήτας· γνησίας γυναῖκας. οἱ δὲ παρθένους ⟨cf. τριτοκούρη⟩

τρητὸν ἔλαιον· διὰ τὸ κοίλωμα ἔχειν τὸν ἄγριον ἔλαιον

τρηχαλέῳ· τραχεῖ [28. 29]

τρηχὺ νόημα· σκληρὸν νοῦν

τρι· κατὰ τοῦ πολλοῦ τοῦτο προστίθεται

τρία Θηραμένους (Polyzel. p. 867 Arist. p. 1165)· ἄντικρυς τὰ τοῦ Θηραμένου(ς) ἐπιζήμια ἐκτέθεικεν

τρίαινα· δόρυ τρεῖς ἔχον ἀκμάς

τριαινατῆρες· ἀντὶ τοῦ ἀροτριοῦντος

τρία καὶ δύο (Ar. Eqq. 1187)· ἐπὶ κράσεως πότου. δύο δὲ ἦσαν κράσεις· τρεῖς μὲν ὕδατος πρὸς ἕνα [ad 35] καὶ πέντε ὕδατος πρὸς δύο

τριακάς (Hyperides)· ἡ τριακοστὴ τοῦ μηνός. καὶ σύστημά τι τῶν πολιτῶν

τριακατίοι· οἱ ἔφηβοι. καὶ τὸ σύστημα αὐτῶν ⟨Dor.⟩

τριάκις (Arist. fr. CLX)· ἀντὶ τοῦ τρίς. Λάκωνες

τριάκοντα (Phrynich. com. I p. 159)· οὗτοι ἐχειροτονοῦντο δικασταὶ Ἀθήνησιν, οἵτινες ἐζημίουν τοὺς μὴ παραγενομένους τῶν πολιτῶν εἰς ἐκκλησίαν

τριακοντόρι(οι)· πλοῖα ὑπὸ λή ⟨λ' ?⟩ κωπηλατούμενα

τριᾶντος πόρνη (Epicharm.)· λαμβάνουσα τριᾶντα, ὅ ἐστι λεπτὰ εἴκοσι ⟨κα'⟩

τριάξ· τριακάς

τρία Στησιχόρου (Eupolid. p. 481)· ἔθος ἦν παρὰ πότον ᾄδεσθαι, ὡς καὶ τὰ Ὁμήρου

τριβακὸν ἱμάτιον

τριβαλλοί (Demosth. 1269, 9)· συκοφάνται. οἱ δὲ τοὺς θωπευτικούς, ἐν τοῖς βαλανείοις (δια)τρίβοντας, καὶ ἐπὶ τὰ δεῖπνα ἑαυτοὺς καλοῦντας

τρίβανον· λήκυθον

τριβή· διατριβή. ἡ βραδυτής

τρίβολα (Ar. Nubb. 999. 1003)· στρεπτά. στωμύλα

τρίβολοι (Alcaei)· ἀκάνθης εἶδος· ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον (Poll. I 148)

τρίβολον ἄκοντα· τρίαιναν

τρίβοντες· λειοῦντες. ἢ φανερὰν ποιοῦντες, ἢ λείαν

τρίβος· ἀτραπός, ὁδός

τρίβουνος (Cyprii)· ἔμπειρος [54]

τρίβων· στολὴ ἔχουσα σημεῖα ὡς γάμμα

τρίβωνα· στολισμόν

τριβώνιον (Eupolid. fr. IV p. 537)· πάλλιον. περιβόλαιον

τριβωνοφόρος· ὁ φορῶν στολήν [59]

COD. 1310 cf. τέρχνεα 16 τρησμαστικτάς — ἀντὶ 17 τρηιρόν ⟨τρηρόν et τριήριον?⟩ 24 ἱμάντα. τοῖς 26 τὸ 31 τρή 32 ἐκτέθηκεν ⟨34 τριαιτω—?⟩ 37 τριακάτιοι, εὔφημοι 38 τρεῖς 39 οὕτω — ἐζημιοῦντο — παραγινομένους 40 ὑποληκοπελατούμενα 41 τριάκοντα 43 τριάς, τησιχόρου — περὶ 44 τρίβακον 45 τρίβαλλοι

HES. 1305 τρέσαι (Ν 515)· φυγεῖν, φοβηθῆναι 6 τρεσάντων (Ξ 522)· φοβηθέντων. ἢ διὰ δέος φευγόντων (non Tyrtae. fr. 11, 14). καὶ τρέσσοντες ὁμοίως 19 τρήρωνες (μ 63)· περιστεραί 20 τρήρωσι (Ε 778)· περιστεραῖς 21 τρηρσῶνα (Ψ 855)· δειλήν. ἀπὸ τοῦ ..... τρέμειν 22 τρητοὶ λοβοί (Ξ 182)· τὰ ἀλόβα. τὰ γὰρ ἐνώτια ἐλλόβια, διὰ τὸ ἐν τοῖς λοβοῖς ἐνίεσθαι 23 τρητοῖο λίθοιο (ν 77)· εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν λίθους, ἵνα ἐξ αὐτῶν τὰ ἀπόγεια σχοινία ἐξάπτωσιν οἱ ναῦται 28 τρηχεῖα (ι 27)· τραχεῖα. πολλὰς ἐξοχὰς ἔχουσα 29 τρηχεῖαν (Β 633)· τραχεῖαν. καὶ τὰ ὅμοια Ad 35 [οἴνου δὲ μία] 54 τρίβος· ὁδός (cf. Philemon. p. 67) 59 τρίγανον· εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις

Τρίγλα (Com. V p. 1066)· ἰχθῦς θαλάσσιος. καὶ τόπος τις (Athenis)

τρίγληνα (Ξ 183)· πολυθέατα· γλῆναι γὰρ οἱ ὀφθαλμοί· τρίκοκκα, τριόφθαλμα, πολυειδῆ

τριγλίζειν· κατὰ μίμησιν ἐπὶ τῶν γελώντων [64. 65]

τριγλώχινι (Call. Del. 31 E 303)· τριγώνῳ, τρεῖς γωνίας ἔχοντι

τρίγονοι (Eur. Ion. 496)· τρίτην γενεὰν ἐπισχόντες. ἢ οἱ τρεῖς (Eur. H. f. 1023)

τρίγωνον (Eupol. p. 481)· εἶδος ὀργάνου ψαλτηρίου. ἢ φυτὸν ἐν Αἰγύπτῳ. (εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις)

†τριγός· τρηγών ⟨1551⟩

τρίζει· φωνεῖ

τριγχός· περίφραγμα, στεφάνη, τειχίον

τρίζουσα (ω 5, 7)· φωνοῦσα λεπτόν τι

τρίζωος· ὃς τρεῖς γενεὰς ἐξήγαγε

τριήμερος· Θεσμοφόρια ὑπὸ † Λάκωνεις ⟨1440⟩

τριημιολία (Callixenus)· ναῦς μακρὰ ἄνευ καταστρώματος

τριήραρχος· τριήρους ἄρχων, ἤτοι πλοίων πολεμικῶν

τριήρεις· πλοῖα πολεμικά

τριήρης· ἔξω τῆς νεὼς καὶ ῥυτόν τι ἔκπωμα

τρίηρον· πλοῖον μικρόν

τριηρονόμος· τριήραρχος

τριθαλλίαι· μεγάλως τοῦ θάλλειν αἰτίαι ⟨τριθαλίδες?⟩

τρίκαρπον· τριετῆ ⟨cf. τερι—⟩ [83]

τρίκκος· ὀρνιθάριον, (ὁ) καὶ βασιλεύς, ὑπὸ Ἠλείων

τρικόλ(λ)υβον (poet.)· νομισμάτιόν τι

τρικόνητος· ὁ πολλάκις ἀπολέσθαι ἄξιος καὶ καταχωσθῆναι

Τρικόρυνθος· ἀνδρεῖος ἥρως

τρικότυλος οἶνος· οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται

τρίκουρος· ὁ ἐπὶ τρία ἔτη κεκ[αθ]αρμένος κριός. ὁμοίως καὶ ὁ μὴ κεκ[αθ]αρμένος ....

τρικτεῖρα· θυσία Ἐνυαλίῳ. θύεται δὲ πάντα τρία καὶ ἔνορχα

τρικτύα (Callim. fr. CCCCIII)· τριάδα ⟨ad τριττύα pro τριττύν⟩. ἔνιοι θυσία κάπρου, κριοῦ, ταύρου [92]

τρίκυζα· πολλῆς δεόμενα λιτανείας

τρικυμία (Aesch. Prom. 1015)· ζάλη

τρίλλιστος (Θ 488)· πολυλιτάνευτος

τρίμηνοι πυροί (Theophr. VIII 1, 4)· οἱ καὶ σητάνιοι λεγόμενοι

τρίμι.ον (Cratin. min. p. 376)· τὸ εὐσπάθητον ἱμάτιον

τριμίσχον· ἱμάτιον. Ἀσπένδιοι [99]

τριμίτινα ὑφάσματα (Aeschyl.)· τρίμιτα [1401]

τρῖμμα (Alexid. p. 471)· ἀρωματίζον πόμα ἐν γάμοις πινόμενον καὶ ἐν θεατρικοῖς ἀγῶσιν

τρίουδον· μέτρον τι παρὰ Ταραντίνοις

τρίοδος (Ar. fr. XII p. 1030) καὶ τριόδους πληθυντικῶς· ἰδίως τὰς τρεῖς ὀδούς. καὶ τρίαινα

τριολύμπιον ἅρμα (Sophocl.)· τὸ ἐκ τριῶν Ὀλυμπιάδων ἐξευγμένον [6]

τριοπηλίς (Ar. Ach. 813)· δέσμη σκορόδων

Τριόπιον (Thuc. VIII 35)· ἡ Κνίδος. καὶ ἱερὸν ἔνθα ἑορτάζουσιν

τριοπίς ⟨τριοττίς⟩· τριόφθαλμος. ἔνιοι ζῷον ὅμοιον ἀκρίδι. καὶ περιτραχήλιον τρεῖς ἔχον ὀφθαλμοὺς ὑαλοῦς [10]

τρίορχος (Simonid. Am. fr. 9)· εἶδος ἱέρακος

τρίοψ· ὁ ὑπὸ τῶν Πυθαγορικῶν ἐν Δελφοῖς τρίπους

Τριπατρεῖς· οἱ πρῶτοι γεννώμενοι ⟨1448⟩

τρίπεζαν· τὴν τράπεζαν. Βοιωτοί

τρίπλακα (Σ 480)· τρὶς ἐπιπτυχθῆναι δυναμένη(ν)· ἐξ οὗ τὴν μεγάλην δηλοῖ· τρίπτυχον, τριπλῆν [16]

τρίποδα (Θ 290)· λέβητα τρισκελῆ. χαλκίον

τρίπολον (Σ 542)· τὴν τρὶς ἢ πολλάκις μεταβεβλημένην διὰ τῆς ἀροτριάσεως γῆν

Τρίπολις· εἶδος πέμματος. καὶ πόλις

†τριπονῆται· ἑορτή τις [21]

τρίπους· λέβης, κρατήρ. ἐχρῶντο δὲ αὐτὸ εἰς τὸ θερμαίνειν ὕδωρ. ὁ δὲ ἐμπυριβήτης ἐστὶν ὁ ἐξ ἑαυτοῦ πόδας ἔχων εἰς τὸ ὑποκαίεσθαι

COD. 62 τριγλήζειν 71 cf. στριγχός 78 ῥητόν 84 ἀπὸ ἰλείων 91 τρίκτυα 95 τρύλλιστος 96 σηταμήνιοι ⟨l. σιτανίαι⟩ 1400 τριμίτοστα 2 τρίμμα ὁ ἀρωματίζων πέμμα — γινόμενον 9 τριόπιος — ὑαλούς 11 τριόρυχος εἶ 15 τριπλάκαι, προσεπι— — τριπτυχῶν 17 χαλκία 18 τρίπολιν

HES. 64 τριγλήνας· εὐμόρφους ὀφθαλμούς 65 τριγκῶσαι· φράξαι 83 Τρίκκη (B 729)· πόλις Θεσσαλίας 92 τρικτῆς· μέρ(ος) φυλῆς ...... 99 τριμηταγωνιστής· ὁ τρίτος ἀγωνιζόμενος 1401 τρίμ με (E 256)· φοβεῖσθαί με 6 τριοπην· τριόφθαλμον ⟨τριοττίς⟩ 10 τριόροφα (III Regg. VI 8)· τρίστεγα 16 τριπλῇ τετραπλῇ τε (Α 128)· τριπλασίονα καὶ τετραπλάσια 21 τρίπος (Χ 164)· τρίπους

τριπτήρ (Nic. Al. 490)· ᾧ τὴν σταφυλὴν τρίβουσιν. ὑπὸ δὲ Σικελῶν ὁ δοῖδυξ [24. 25]

τρὶς ἀλιτήριος· ἁμαρτωλός

τρὶς ἕξ (Aesch. Ag. 33 Pherecrat. p. 315)· νικητήριος βόλος. καὶ παροιμία· τρὶς ἓξ ἢ τρεῖς κύβοι. ἐλέγετο δὲ ἐπὶ τοῦ εὐστόχου, ἀπὸ τῶν κυβευτῶν ......

τρὶς εὐδαίμων· τρισμακάριστος

τρὶς ὄλβιος (Soph. fr. 750)· τρισμακάριστος

τρισπόλιον (Hesiod.)· βοτάνη τις

τρισσός· εἶδος ὄφεως (cf. θρίσσος) [32. 33]

Τρίτα· οὕτως ἡ Κνωσσὸς ὠνομάζετο

τριταγωνιστής· ὁ τρίτος ἀγωνιζόμενος ⟨1399⟩ [36]

† τριταία· παρὰ Σόλωνι μὴ πλείω εἶναι τριταίας τὴν κτιστήν

† τριτεύς· γὰρ χοίνικος οὗτος

Τριτῆες γενεήν· οἱ ἀπὸ τοῦ Τριτέων πόλεως κύνες, ἥ ἐστι πλησίον Φωκίδος

τρίτη Θεσμοφορίων (Ar. Th. 86)· ζητεῖται, πῶς ἅμα μὲν λέγει τρίτην Θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τεττάρων ουσῶν ἡμερῶν ⟨1374⟩

τριτημόριον· οἱ ἓξ χαλκοῖ

τριτήμορον (Thuc. II 98)· ἐλέγετο καὶ ἐπὶ τῆς μοίρας, καὶ ἐπὶ νομίσματος ἀργυρίου

Τριτογένεια (Δ 515)· ἡ τὸ τρεῖν ἐνγεννῶσα τοῖς ἐναντίοις

Τριτογενής (Ar. Eqq. 1189)· ἐπιθετικῶς ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ τρεῖν ἐνγεννᾶν τοῖς πολεμίοις· ἢ τῷ παρὰ Τρίτωνι, τῷ ποταμῷ Λιβύης ἐμφανισθῆναι

τριτοκούρη· ᾗ πάντα συν(τε)τέλεσται τὰ εἰς τοὺς γάμους· τινὲς δὲ γνησία παρθένος ⟨1325⟩

τριτόμηνις (Lycurg.)· ἡ τρίτη τοῦ μηνός

τρίτον ἡμίδραχμον (Dinarch.)· αἱ δύο δραχμαὶ καὶ τριώβολον

Τριτοπάτορας (Philochor. al.)· ἀνέμους ἐξ Οὐρανοῦ καὶ Γῆς γενομένους, καὶ γενέσεως ἀρχηγούς. οἱ δὲ τοὺς προπατέρας ⟨1413⟩

τριτοπηλίς· σκορύδων δέσμη, ἀπὸ τοῦ πεπιλῆσθαι καὶ συνεστράφθαι

τρίτος κρατήρ· Σοφοκλῆς Ναυπλίῳ καταπλέοντι (fr. 389). ἐν ταῖς συνουσίαις ἐκιρνῶντο κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον· τὸν δὲ δεύτερον ἡρώων· τὸν δὲ τρίτον σωτῆρος

τριτοστάτις· Ἀριστοφάνης ἐν Σκηνὰς .... (fr. XVIII)

τριττύς (Dem. 184, 10)· τριάς

τριτώ· ῥεῦμα. τρόμος, φόβος

τριτώ· Νίκανδρος ὁ Κολοφώνιός (fr. 145) φησι τὴν κεφαλὴν καλεῖν Ἀθαμᾶνας

τριφάσιοι (Herod. II 156)· τριπλάσιοι. τρίφωνοι

τρίφυλλα· πολύφυλλα. καὶ πόα δέ τις μηδίκη οὕτω καλουμένη

Τρίφυλοι· οἱ Καύκωνες

τριφυόν· τριπλοῦν

τρίχα· τριχῶς

τριχάϊκες (τ 174)· τριχόθεν ἐλθόντες † ἀπὸ βίας [61. 62]

τριχῆ· εἰς τρία μέρη

τρίχηλ(ον Aesch. Sept. 760)· τρικόρυφον

(τρίχθα)· τριχῆ· τὸ δ' αὐτὸ καὶ τὸ τρίχα, ἢ τὸ τρίτον μέρος (Ο 189)

τριχίδες (Eupol. fr. XVI p. 493)· αἱ χαλκίδες. Ἡρακλέων δὲ μεμβράδες

τριχόβρως (Ar. Ach. 1111)· θηρίδιον κατεσθίον τοὺς λόφους τῶν περικεφαλαίων

τρίχορδον· ὄργανον

τριχοκόμος· τριχῶν ἐπιμελούμενος

τριχοτρῶκται· ζωύφια τὰ τὰς τρίχας κατεσθίοντα

τριχώδη· ὄργανα πολιορκητικά, πρὸς † χώρησιν ἐπιτήδεια

τριχῶς· τρισσῶς. † ὑπομονητικῶς

† τριχῶσαι· θάψαι

τριψ(η)μερεῖν (Ar. Vesp. 849)· στραγγεύεσθαι, καὶ παρέλκειν τὰς ὥρας

COD. 26 τρισαλ— 27 τρισὲξ — τρὶς κύβοι 28 τρισευδ— 34 τρίττα
γ
42 τριτημόριον — ἀρ; cf. ἐκ τριτημόρου 43 ἐν γεννῶσα 44 ἐν γεννᾶν — τὸ περὶ 46 τριτομηνίς 49 πεπηδεῖσθαι (cf. τριοπηλίς) 50 ἐκέρνοντο 51 τριτοστάτης — σκηναῖς 57 τρίφυλλοι 62 πολύτιμον 64 τριχὴν 66 τριχθάδες 67 τριχόβορος 69 τρίχος

HES. 24 τρίπτυχος (Δ 354)· τριπλῆ, ἡ πολύπτυχος, ἡ τρεῖς ἐπιπτυχὰς ἔχουσα 25 τρίς (Λ 213)· ἐπὶ τοῦ πολλάκις 32 τριστάται (IV Regg. VII 2)· οἱ παρὰ χεῖρα τοῦ βασιλέως, ἔχοντες ἀνὰ τρεῖς λόγχας 33 τριστιχεῖ (Κ 473)· ἐπὶ τρεῖς τάξεις 36 τριτάτη (Κ 253)· τρίτη 61 τριχάν (μ 312 ξ 483)· ἡ τρίτη φυλακή 62 τριχαπτόν (Ezech. XVI 10)· τὸ βαμβύκινον ὕφασμα ὑπὲρ τῶν τριχῶν τῆς κεφαλῆς ἀπτόμενον, ἡ πολύμιτον

τριώδελον (Dor.)· τριῶν ἡμιμναίων σταθμός [76]
τριῶλαξ· ἀγὼν παρθένων δρόμου
Τροία· πόλις
Τροίης (α 2)· τῆς Ἰλίου
Τροιζή(ν)· πόλις, ἢ χωρίον ἐν Ἄργει [81]
τρόμος· εὐλάβεια. δέος. φυγή (Γ 34?)
τρόνα· ἀγάλματα. ἢ ῥάμματα ἄνθινα (Χ 441?)
τρόνοι· †στύππιοι. στήμων. ἀρπεδόνη. ἄτρακτος
τρόπα (Cratin. p. 113)· εἶδος παιδιᾶς, καθ' ἣν στρέφουσι τοὺς ἀστραγάλους εἰς τὸ ἕτερον μέρος
τροπαγός· ὁ ἀπητιμασμένος
τρόπαι(α Soph. Tr. 751)· νικητήρια, σύμβολα νίκης
τροπαί· αἱ δύσεις. καὶ αἱ μεταβολαί, αἱ φυγαί, αἱ διώξεις: νομίσματά τινα (ad τροπαϊκά). καὶ αἱ μεταβεβλημέναι φροντίδες (ad τροπαία)
τροπαλίζει· στρέφει
τροπαλισμός· μεταβολή. καὶ τὸ ἐκ συμβόλων ὑποδέχεσθαι [91]
τροπέοντο (Dor.?)· ἐπάτουν. ἀπὸ τούτου καὶ ὁ οἶνος λέγεται τραπητός (1262)
τρόπηκος· μερὶς τῆς κώπης ὁ τρόπηξ, οὗ ἐπιλαμβάνονται οἱ ἐρέσσοντες· ὥστε ἀπὸ μέρους τὴν κώπην [94. 95]
τροπίας (Ar. fr. VI p. 1028)· οἶνος μεταβεβληκὼς καὶ ἔκλυτος [97]
τρόπις· τὸ κατώτατον τῆς νεώς (ε 130)
τροποί· οἱ ἱμάντες τῶν κωπῶν, ἢ οἱ κατέχοντες τὰς κώπας δεσμοὶ δερμάτινοι, ὅταν ἐλαύνωσιν. οἱ τροπωτῆρες (δ 782)
τρόπον τινά (Menand. fr. IV p. 234)· ἀντὶ τοῦ (καλῶς ἄν) [ad 1500]
τρόπος· ἦθος. γνώμη, προαίρεσις
τροποῦσθαι (cf. Eubul. p. 229 Aesch. Pers. 376)· ἁρμόζεσθαι. μεταβάλλεσθαι, τρέπεσθαι
τροπώσασθαι· τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν δῆσαι τῷ τροπωτῆρι. ἢ διὰ †μηχανῆς νικῆσαι [4]
τρούεται (Lacon.)· ἰσχναίνεται, τήκεται
†τροῦροι· δρόμοι, στάδιοι
τρουφωνίδαι (Lacon.)· εἶδος κροκωτοῦ
τροφαλίς (Eupol. p. 538)· τυρὸς μακρός
τροφίμη· δέσποινα. ἡ μήτηρ
τρόφηξ (Dor. Aeol.?)· χάραξ, σκόλοψ
τρόφι· τεθραμμένον. μέγα (Δ 307)·

πολλὸν δὲ τρόφι κῦμα·

γέγονε δὲ κατὰ ἀποκοπὴν τοῦ τρόφιμον
τρόφιμον· ὃν ἡμεῖς δεσπόσυνον. καὶ τρόφιμον· †ἀνδρὸς δακτυλίω [8]
τρόφις (Hippocr.)· εὖ τεθραμμένος
τροφιοῦται· παχύνεται
τροφόεντα (Ο 621)· εὐτραφῆ καὶ μεγάλα
τροφοί· ἀντὶ τοῦ θρέμματα
τροφός· νεώτερος δεσπότης (ad τρόφιμος). ἡ μήτηρ (Soph. OT. 1092)
τροχάδες· σανδάλια ἀπὸ αἰγείου δέρματος
τροχαῖα· μέσα ἐν κύβοις: ἡ ὁδός, ὡς Πίνθων (τροχιά?)
τροχαλοί· οἱ ἤδη περι(ι)όντες
τροχαλόν· τροχαῖον. ταχύ. ἢ περιτρέχον
τροχαντῆρες· πρὸς τὰ πηδάλια. καλεῖται τῆς πρύμνης μέρος
τροχαντήρ· τῆς τοῦ μηροῦ κεφαλῆς ἡ ἔξω ἔκφυσις
τροχάσας· σπεύσας, δραμών, προλαβών
τροχηλατεῖ (Eur. Or. 26)· ἐλαύνει
τροχιαί· αἱ τῶν τροχῶν χαράξεις [28]
τρόχις (Aesch. Prom. 941)· ἄγγελος. ἀκόλουθος
τρόχμαλον (Ar. fr. inc. CCLXX)· τὸ πλῆθος τῶν λίθων, καὶ τὸν σωρόν
τροχόεν· τροχοειδές, στρογγύλον
τροχός· περιβόλαιον, τεῖχος. ἢ κύκλος (Sophocl.). ἢ δρόμος (τρόχος)
τροχ(όω)σαι· τρέχουσαι
τρόχων (Eur. Med. 46)· δρόμων. καὶ τὰ ὅμοια
τρύβλιον (Antiph. com. p. 39)· ὀξυβάφιον. ἢ ποτήριον †μυστηρίου
τρύγα (Theocr. VII 70)· οἶνον ἀδιήθητον ἀπὸ ληνοῦ

COD. 80 τροίζη 83 cf. θρόνα 89 ἀρπεδώνη (cf. τρώα. τρύνης) 93 τρώπηξ (cf. τράπηξ τράφηξ τροφῆς) 1509 τροφήμ. δέσποινα ἡ (Poll. III 73) 10 τροφῆς — σκώληξ (17 cf. schol. Oppinian. Hal. II 634) 19 τροχαδέσαι 21 τρόχαλοι 22 τραχύ (ad τρόχμαλον?) 26 τροχηματεῖ 30 τροχμαλόν 35 τρυβλίον

HES. 76 τριώροφα (Genes. VI 36 al.)· τρίστεγα 81 τρομέοντο (Κ 10)· ἔτρεμον 91 τροπαλόν· τραχύ (1522) 94 τροπηκότερον (Epiphan. I p. 771 D)· θεωρητικώτερον …… ἀλληγορικῶς, μεταφορικῶς, οὐκ ἀληθῶς 95 τροπῆς ἀποσκίασμα (Iacob. I 17)· ἀλλοιώσεως καὶ φαντασίας ὁμοίωμα 97 τροπή· ἀλλοίωσις Ad 1500 [τον τὸν τρόπον] 4 τροπώσομαι (Ps. LXXXVIII 23)· νικήσω. πλήξω 8 τροφόεντα (Ο 621)· εὐτραφῆ, καὶ μεγάλως αὐξόμενα 28 τροχίας (Hebr. XII 13)· πορίας

τρυγαβόλια· εἰς ἃ καρποὺς ξηροὺς ἀπετίθεντο

τρυγεῖ (Nic. Th. 358?)· ξηραίνει [39]

τρυγέρανος (Philem. p. 15)· φάσματι ἐοικώς

τρυγεροὺς· τρυγώδεις, ὀξεῖς

τρύγη (Hippocr. 356, 29)· ὁ πυρός, καὶ ἡ κριθή, καὶ πᾶς ἄλλος καρπός, καὶ ποιὰ βοτάνη

†τρυγήλλα· τρώγλη ⟨τρύπημα?⟩

†τρύγηλλος· οἰκοδόμημα μεταλλικὸν κατασκευαζόμενον ⟨τροῦλλος?⟩

(τρυγηφάνιον· ὁ δεύτερος οἶνος) cf. ἐντρυφάνιον

τρύγιος· τρυγία οἴνου, ἢ ἐλαίου

†τρύγμα· δίπλωμα ⟨πτύγμα?⟩

τρυγόνα ψάλλειν· παροιμία ἐπὶ τῶν φαύλως πραττόντων· ἀπὸ τοῦ τρύζειν

τρύγοιπος (Arist. Pac. 535)· ὑλιστήρ

τρυγῳδεῖν· κωμῳδεῖν

τρυγών· ἰχθῦς θαλάσσιος, ἧς τὸ κέντρον δηλητήριον. καὶ ὄρνις. καὶ ἡ τῶν γυναικῶν μίξις. καὶ σύντροφος

τρυγῶς· τὰς τρυγῶνας ⟨1369⟩

τρύειν· κατατρίβειν, καταπονεῖν

τρύζει (Hippocr. 664, 52)· γογγύζει, ψιθυρίζει

τρύζητε (*I* 311)· ψιθυρίζητε, λογοποιῆτε, γογγύζητε

τρυηλίς· ζωμήρυσις

τρυμαλιαί· τρῦπαι

Τρυμαλῖτις· Ἀφροδίτη

τρύνης· ἐφίππιον. στήμων

τρύξ· ὁ νέος οἶνος, παρὰ τὴν τρύγην. καὶ γλεῦκος ἀδιήθητον

τρύξοντα (*ρ* 387)· καταπονήσοντα, ἀνιάσοντα

τρυπᾶν· τρίβειν (obscoen.)

τρυπάνη· ἐργαλεῖον τεκτονικόν

τρυπανίζεται· τρυπάνῳ πλήσσεται

τρυπήλα· τορύνη

τρυσίππιον (Eupol. fr. XVII p. 555)· τὸν χαρακτῆρα τὸν ἀπὸ τῆς βουλῆς ἐν ταῖς δοκιμασίαις τοῖς ἀδυνάτοις καὶ τετρυ[μ]μένοις ......, ἵνα μηκέτι στρατεύωνται, τὸ παλαιὸν ἐκάλουν τρυσίππιον. τροχὸς δὲ ἦν ὁ ἐπιβαλλόμενος χαρακτὴρ τῇ γνάθῳ τῶν ἵππων

τρύσκει· τρύχει. ξηραίνει ⟨cf. τρυγεῖ⟩

τρῦσις (Ar. fr. VI 6 p. 1079)· νόσος. πόνος

τρυσμός· γογγυσμός ⟨cf. θριμμός⟩

τρυσόν· νοσερόν. λεπτόν, ἀσθενές

τρυτάνη· ὁ ζυγός

τρύφακτος· ἔνιοι διὰ τοῦ Δ· δρῦς γὰρ τὸ ξύλον

τρυφάλη· περικεφαλαία, τρεῖς ἔχουσα λαμπροὺς ἀστέρας, ἢ ἥλους

τρυφαλίδες· τὰ τμήματα τοῦ ἁπαλοῦ τυροῦ

τρυφερός· νέος ἁπαλός, ἢ ψιλός

τρυφέν· κλασθέν

τρυφηλοῖς· ἐπιθυμητ⟨ικ⟩οῖς

τρυφοχαλάσιρις· ἔνδυμα γυναικεῖον

τρύφος (Apoll. lex.)· κλάσμα ἄρτου. ἢ ξύλον καταδεδαπανημένον [79]

†τρυφώματα· θρέμματα. Ἰταλ†οί

τρύχειν (Hippocr. 310, 34)· φθείρειν, τήκειν. καταπονεῖν. κακοπονεῖν. [κακοπαθεῖν]

τρυχηρά (Eur. Tro. 498)· ῥακώδη

τρυχίνοις· ῥακίοις [84]

τρύχωσα (Dor.?)· τρύχουσα. ἐπιτρίβουσα

τρῶα· ἀρπεδόνη

τρωγάλια (Diphil. p. 413)· τὰ τραγήματα. Λάκωνες

†τρωγάλιον δέρμα· †τὰς μελικοκκίδας

τρῶγας [ad 89]

τρώγλας· τρύπας

Τρωγλοδύται (Herod. IV 183)· οἱ εἰς τὰς τρώγλας οἰκοῦντες

†τρωγμός· τὸ ἐπιθέσθαι τὴν ὕλην τρωγμόν

τρώει (*φ* 293 Call. D. 133)· τιτρώσκει. δαπανᾷ [94]

τρώεσθαι· τραυματίζεσθαι (*M* 65)

τρώζειν (Cyprii)· ψιθυρίζειν. συνουσιάζειν

τρωθείς· πληγείς

Τρώϊοι ἵπποι (*E* 222)· ἀπὸ Τρωὸς τοῦ ἥρωος· ἢ ἀπὸ Τροίας [99]

τρώκτης (*ξ* 289)· φάγος, ὁ ἀπὸ πάντων ἐσθίων. καὶ κερδαίνειν βουλόμενος, πανοῦργος, ἀπατεών

COD. 38 cf. ἐτρύγη. τρύσκει 47 τρυγονοψάλλειν (Imo κατὰ τρ. ψ.) 48 τρυγητός, ὑλιστήρ (50 τροφός sc. Aesculapii? Paus. VIII 25, 11) 51 Forte τῆς τρυγόνος 54 τρύζεται κτλ. 55 ζῶον ῥύσις 65 ἐκάλουν τρισ| 66 cf. τερύσκεται 67 τρύσις 69 τρυσσόν (80 τρόφιμα· τά?) 86 τρῶα, ἀρπεδώνη (cf. τρόνοι) 88 τρωγάλιν ⟨Ϝρωγαλέον?⟩ 92 cf. ῥώσασθαι. Leg. τρωσμός· τὸ ἀποθέσθαι τὴν ὕλην τρωσμόν (abortus)

HES. 39 τρύγητος· ὁ καιρός, τρυγητός· ὁ τρύγος (Theophr. V 1, 2) 79 τρυφή· γαστριμαργία, πολυφαγία, εἰκαιοφαγία 84 τρυχόμενος (*α* 288)· καταπονούμενος. ἀνιώμενος. δαπανώμενος Ad 89 †τρώγλας 94 Τρῶες (*A* 256)· οἱ τὴν Ἴλιον οἰκοῦντες, καὶ οἱ τὴν Τρωάδα χώραν 99 τρῶκται (*ο* 415)· κακοῦργοι

τρώματα (Iones)· τραύματα [1602. 3]
τρωπασκέσθω· μεταβαλλέσθω, ἐπιστρεφέσθω
τρωπᾶν· [ad 5] πείθειν [ad 5]
τρωπῶντο (ω 535)· ἐτρέποντο, μετεβάλλοντο
τρωπῶσα (τ 521)· τρέπουσα τὴν φωνήν
τρώσας· πλήξας, τοξεύσας
τρωτός· παθητός (πληκτός?) [10—12]
†τυῖ· ὧδε. Κρῆτες
τυβηκτίς· κακοσχόλος
τῦδε (Sapph. 1, 5)· ἐνταῦθα. Αἰολεῖς
†Τυδᾶν κολωνᾶν· Τυνδαριδᾶν κολωνᾶν
τύϊγγα· ὀρνιθάριόν τι
τυκτόν (Ε 831)· κατεσκευασμένον
τυκτὸν κακόν· τουτέστι μέγα κακόν
?τυτθόν· ὀλίγον (τυθθὸν Cret.?) [21]
τύκω· ἑτοιμάζω
τύλαι (Ar. Ach. 860 Teleclid.)· αἱ ἐν ταῖς χερσὶ φλύκταιναι, ὡς περισσά τινα, καὶ τοῖς ὤμοις
τύλη· τῆς καμήλου ἀπὸ τῆς ῥάχεως τὸ ἄκρον δέρμα
τύλοι· αἱ ὀχθώδεις ἐπαναστάσεις, καὶ τὰ τῶν ἀχθοφόρων ἐπὶ τῶν ὤμων τυλώματα
τύλον (Ar. Ach. 553)· τὸ αἰδοῖον. οἱ δὲ ξύλον (Eur. fr. 694)
τύλος· νενεκρωμένη σάρξ
τύλωμα· τύμμα
†τύλαρος· μάνδαλος
†τυλαρώσας· μανδαλώσας
τυμβὰς γυνή· τυμβάδας ἔλεγον τὰς φαρμακίδας, ἀπὸ τοῦ περὶ τοὺς τύμβους διατρίβειν καὶ τοὺς νεκροὺς ἀκρωτηριάζειν
τυμβογέρων (Com. an. fr. CCCXI[b])· ἐσχατόγηρως, καὶ παρη(λλα)γμένος τῇ διανοίᾳ
τύμβος· τάφος, μνημεῖον
τυμβωρύχος (Ar. Ran. 1149)· λωποδύτης νεκρῶν [35. 36]
τύμμα (Theocr. IV 55)· πληγή
τύμπανα (Eur. Bacch. 59)· τὰ δερμάτινα ῥακτήρια κόσκινα, τὰ †ἐν ταῖς βάκχαις κρουόμενα

τυμπανίζεται· πλήσσεται, ἐκδέρεται, ἰσχυρῶς τύπτεται
τύμπανον (Ar. Plut. 476)· ᾧ αἱ Βάκχαι κρούουσιν. ἢ εἶδος τιμωρίας
Τυμφαῖον ἔθνος· ἄθεον ἔθνος. λέγει δὲ τοὺς Ἠπειρώτας
τύνη (Callim. D. 124)· †ἐν [ad 42] Δωρικῶς δὲ σύ
τύνη δὲ ἐποιήσας (Dor.)· σὺ δέ (799)
τυννός· μικρός. τηλικοῦτος
τυννοῦν· τὸν (Ar. Th. 745)· μικρόν
τυντλάζει (Ar. Pac. 1148)· αὐτὸ καὶ αὐτὸ λέγει. ἢ ταράττει. ἐπιβαίνει πηλοῦ. οἱ δὲ σκάπτειν ἀμπέλους
τύντλον (Menand. fr. CCCXCII)· πηλόν
τυντλώδους· ὑλώδους
τύξιν· τεῦξιν. παρασκευήν
τυπάδι (Soph. fr. 756)· σφύρᾳ
τυπάζειν· κόπτειν
τύπαι· ἑορτή τις
τυπαῖς· πληγαῖς
τύπανον (Aesch. fr. 54 Df.)· ξύλον τι, ἐν ᾧ τυμπανίζουσιν
τυπαστήριον· τὸ τῶν ἁλιέων †στυμνίον
τυπεῖ· ψοφεῖ, κτυπεῖ, κροτεῖ, πλήσσει
τυπείς (Λ 191)· πληγεὶς ἐκ χειρός, καὶ πεσών. ἢ τρωθείς
τυπήσει· πλήξει (τυπτ—)
τύπης· πλήκτης (τύπτ—) [60]
τυπίας· οὕτω καλεῖται τῶν τοῦ χαλκοῦ τις †τροχῶν (Poll. VII 105)
τυποῖ· πλάττει, γλύφει
τύπος (Aesch. Suppl.)· χαρακτήρ, εἰκών
τυποῦται· †πλήσσεται. †ἰοῦται. μιμεῖται. ἢ πλάττεται
τυπῶντες· χοροί τινες
τυραννοδαίμονα (cf. Cratin. p. 149)· ἣν οὐκ ἄν τις τύραννον μόνον εἴποι, ἀλλὰ καὶ δαίμονα
τύραννος· παράνομος βασιλεύς, ἢ ἄρχων ἀπηνὴς καὶ ἀπάνθρωπος
τυρβασία· χορῶν ἀγωγή τις διθυραμβικῶν

